γενησόμενα εἶναι τῶν παρόντων. Φήσαντος δὲ τοῦ θεοῦ ῥᾴω τε 13
ἔσεσθαι καὶ παντὸς ἄλλου σαφέστερον θεραπεύσειν, οὕτω δὴ ὑφί-
σταται τὴν νόσον, καὶ αὐτῷ ἥκει τεταρταῖος πυρετὸς, καὶ τὸ ἀπὸ
τοῦδε τῆς ἐπιληψίας ἐξάντης γίνεται. Τεταρταῖος δὲ καὶ μελαγχο- 14
λίας ῥύεται, καίτοι πολὺς μὲν ἐν τῇ μελαγχολίᾳ ὁ χυμὸς οὗτος
ἔνεστι, πολὺς δὲ ἐν τῷ τεταρταίῳ πυρετῷ. Ἀλλὰ εἰ ἐπὶ πᾶσι τὴν 15
πρόφασιν ἐθέλοις ζητεῖν, οὐκ ἂν ἐξευρίσκοις, ἐπεὶ καὶ τόδε ἄπορον

si cette fièvre survient après coup, elle délivre de l'épilepsie; et, en second lieu, que, si elle vient avant, l'individu auquel cela arrive sera dorénavant à l'abri de l'épilepsie. Il vaut la peine de raconter comment 11
les choses se passèrent chez Teucer de Cyzique : ayant été frappé d'épilepsie, Teucer vint à Pergame pour consulter Esculape, lui demandant d'être délivré de sa maladie; le dieu, lui étant apparu, daigna lui adresser la parole, et lui demanda s'il voulait échanger ses incommodités actuelles contre d'autres. Teucer répondit que ce n'était pas là ce qu'il 12
désirait le plus ardemment, mais qu'il espérait obtenir une suppression franche de ses maux : si, cependant, c'était absolument nécessaire, il désirait savoir si les incommodités futures ne seraient pas plus graves que ses incommodités actuelles. Le dieu lui ayant répondu qu'elles se- 13
raient plus légères, et qu'elles le guériraient plus sûrement que ne le ferait aucun autre remède, Teucer, à ces conditions, se soumit à sa [nouvelle] maladie; il lui arriva une fièvre quarte, et, depuis ce temps, il fut guéri de l'épilepsie. La fièvre quarte sauve aussi de la mélancolie, 14
bien qu'il existe une grande quantité d'humeur atrabilaire dans cette maladie, et qu'il y ait également beaucoup de cette même humeur dans la fièvre quarte. Si vous voulez scruter la cause dans tous les cas, vous 15
ne la découvrirez pas; en effet, c'est encore un fait inexplicable que le

Mai 73-74.

ἣν· ποτὲ τοῦ ἄσθματος· νόσος δὲ αὕτη τοῦ πνεύμονός ἐστι δυσμεταχείριστος καὶ τοῦ ψυχροτέρου τρόπου· πάλιν δὴ ὁ τεταρταῖος
16 ἔχει λύσιν, πυρετῶν πάντων ὀρθῶς εἶναι λεχθεὶς ψυχρότατος. Τεταρταῖον δὲ οἶδα καὶ ἐξανθημάτων κατὰ δέρμα πολλῶν καὶ τραχέων, ὁποῖα λέπρας καλοῦσι, γεγενημένον ἴαμα, καίτοι καθάρσεις μὲν πάσας ἐκαθάρθη ὁ ἄνθρωπος καὶ ἔξωθεν καὶ ἔνδοθεν, διαίτῃ δὲ ἐπὶ τὸ χρηστὸν τρεπούσῃ εἰς πολὺ ἐχρήσατο, ὅλως τε οὐδὲν τῶν νομιζομένων ἐπὶ τούτοις παρῆκεν, ἀλλὰ οὐδέν τι μᾶλλον αὐτῷ κατέστη πρὶν τὸν τεταρταῖον ἐλθεῖν, ἀρξάμενον μὲν ἀπὸ φθινοπώρου, τεί-
17 ναντα δὲ μέχρι τροπῆς θερινῆς. Ὅτι γε μὴν καὶ πυρετοῖς, τὰ ἄλλα
18 οὐκ ἀσφαλέσιν, ἐπιγενόμενος ἐξέωσεν, πᾶς τις οἶδεν. Κατὰ μὲν τὸν τεταρταῖον ὧδε ἔχει· καὶ αὐτὸς δέ που ἤδη ἑτέροις ἐλύθη τισί,
74 τοῦτο | μὲν ἀποσκήμμασιν οἷς καὶ οἱ ἄλλοι πυρετοί, περὶ ὧν ἤδη

suivant : parfois l'asthme (or l'asthme est une maladie du poumon difficile à traiter et appartenant à la classe des affections plus ou moins froides) trouve à son tour un moyen de résolution dans la fièvre quarte, quoiqu'on ait raison de dire que la fièvre quarte est la plus froide de
16 toutes les fièvres. Il est à ma connaissance que la fièvre quarte a aussi été le moyen de guérir une efflorescence à la peau étendue et raboteuse, de celles qu'on appelle *lèpre*, quoique le malade se fût soumis à toutes sortes de purifications, aussi bien à l'extérieur qu'à l'intérieur; qu'il eût suivi pendant longtemps un régime capable de donner une bonne tournure à sa maladie, et qu'il n'eût négligé aucun des moyens généralement reçus pour les cas de cette espèce; mais son affection ne s'amenda pas pour cela, jusqu'au moment où il fut pris de fièvre quarte, fièvre qui débuta dès l'automne et qui se prolongea jusqu'au solstice
17 d'été. Que la fièvre quarte, si elle survient dans d'autres fièvres, qui, du reste, ne sont pas exemptes de danger, expulse ces fièvres, c'est ce
18 que tout le monde sait. Voilà pour la fièvre quarte; à son tour, cette fièvre peut aussi trouver en quelque sorte sa solution dans d'autres accidents, tantôt au moyen des dépôts, qui délivrent également des autres fièvres, et dont je vais traiter tout à l'heure, tantôt par l'intervention

2-3. τεταρταῖος καὶ τοῦ ἄσθματος ἔχει R. — 11. ἐξέωσε R 2ª m.

Mai 74.

αὐτίκα γράψω, τοῦτο δὲ περιόδῳ ἄλλῃ. Μάλιστα μὲν οὖν εἰς 19
ἀμφημερινὸν τοῦτο τρέπεται· καὶ γὰρ μάλιστα ἐκεῖθεν γίνεται·
εἰς τριταῖον δὲ οὐ μάλα τρέπεται· ἑτεροία γὰρ ἡ φύσις τριταίου
πυρετοῦ πρὸς τεταρταῖόν ἐστιν. Καὶ οἱ πεπλανημένοι δὲ κα- 20
λούμενοι πυρετοὶ κατέπαυσαν τεταρταῖον, ὥσπερ οὖν καὶ ἐπηγά-
γοντο· καὶ συνεχὴς δὲ ὡσαύτως, οὐ μὴν ἀφροντίστως, ἀλλὰ ὥστε
δεῖσαι περὶ τῷ ἀνθρώπῳ, τεταρταίου κρίσιν ἤνεγκεν, ὅσαις τε ἄλ-
λαις περιόδοις κεχρονισμέναις ἐπιγίνεται συνεχὴς πυρετὸς, κρί-
νειν εἴθισται. Καλὸν δὲ καὶ τῷ λειπυρίᾳ καὶ τῷ ἠπιάλῳ καὶ τῷ 21
κρυμῷ καῦσον ἐπιγενέσθαι. Δύο δὲ καῦσοί εἰσιν, ὡς οὕτω φάναι, ὁ 22
μὲν τὰ εἴσω καίει, καὶ δίψος γε ἄπαυστον ἔχει, καὶ οὖρα μέλανα,
καὶ ἡ γαστὴρ τὸ μὲν ἄνω ὑπερβάλλει χολὴν παντοδαπὴν, τὸ δὲ κάτω
ἐκδίδωσιν ὁποῖα συντήξεις ὀνομάζομεν, καὶ μυκτήρ τε ἀποστάζει,
καὶ ἡ γλῶσσα τραχύνεται καὶ μελαίνεται, καὶ ἄγρυπνοί εἰσι, καὶ

d'un autre type de fièvre. Le plus souvent, donc, la fièvre quarte se 19
change en fièvre quotidienne; car c'est le plus souvent aussi de là qu'elle
prend son origine; au contraire, elle ne se change pas très-souvent en
fièvre tierce, car la nature de la fièvre tierce est d'une autre espèce que
celle de la fièvre quarte. Les fièvres dites *erratiques* mettent aussi fin à la 20
fièvre quarte, comme, du reste, elles y donnent également lieu; il en est
de même pour la fièvre continue; mais, si cette dernière fièvre amène la
crise d'une fièvre quarte, et si habituellement la fièvre continue juge toutes
les fièvres intermittentes de longue durée, dans lesquelles elle survient,
une telle crise ne laisse pas de causer de l'inquiétude; au contraire, elle
fait concevoir des craintes pour le malade. Il est bon aussi qu'une fièvre 21
ardente survienne en cas de fièvre à frissons irréguliers, de fièvre algide,
ou de froid glacé. Mais il y a, pour ainsi dire, deux espèces de fièvre 22
ardente : l'une brûle les parties intérieures; elle est accompagnée d'une
soif inextinguible et d'urines noires; le ventre supérieur (*l'estomac*)
laisse déborder de la bile de toutes les espèces, tandis que le ventre
inférieur rend des matières de la nature de celles que nous nommons
colliquatives; des gouttes de sang tombent du nez, la langue devient ra-
boteuse et se noircit; les malades n'ont pas de sommeil, mais de la pros-

7. δεῖσαι conj.; δ' ἦσαι R 2ª m.

Mai 74-75.
ἄσηροι, καὶ παράληροι, τό τε πνεῦμα συνεχὲς, καὶ ἀπορία πολλή·
τὰ δὲ ἔξω πάντα ψυχρότεροι, καὶ ἔτι μᾶλλον χεῖρας καὶ πόδας.
23 Οὗτος μὲν οὖν ὁ καῦσος ἐπιπονώτατος πυρετῶν καὶ θανατωδέστα-
τος· ὁ δὲ ἕτερος καίει μὲν ὥσπερ φλογὶ, πάντη δὲ ἐξικνεῖται· κα-
κὸν δὲ οὐδέν ἐστι μέγα τοῖς εἴσω, ῥᾳδίως τε σὺν ἱδρῶτι σϐέννυται.
24 Καὶ δὴ τοῦτόν φημι τῶν προειρημένων πυρετῶν τὸ ἴαμα εἶναι· γέ-
νοιτο δὲ ἂν οὗτος καὶ τοῦ πρώτου καύσου ἴαμα, εἰ μηκέτι κρύπτοιτο
25 ἔνδον τυφόμενος, ἀλλὰ ἐκλάμψαι. Τοσαῦτα ἔγνων ἀγαθὰ ἐκ πυρε-
τῶν γινόμενα· ἐπὶ δὲ πυρετοῖς πόνοι τε ἰσχίων χρηστῶς ἐπιγί-
75 νονται, καὶ τῶν ἄλλων ἄρθρων, καὶ μηροῦ καὶ σύμπαντος σκέ|λους.
26 Εἰ δὲ διασημήνειε μὲν ὁ πόνος τῇδε, ἀφανισθείη δὲ μήτε ἐκκρίσεώς
τινος γενομένης πεπείρου, μήτε ἐπί τινι τῶν εἰωθότων ἰαμάτων,
μήτε ἑτέρωθι μεταστάντος τοῦ πόνου· χρὴ δὲ τὴν μετάστασιν [μὴ]

tration et un léger délire; l'embarras de la respiration est continuel, et il
y a une grande anxiété : toutes les parties extérieures sont froides, mais
23 plus particulièrement les pieds et les mains. Cette fièvre ardente est la
plus pénible et la plus meurtrière de toutes les fièvres; l'autre espèce
brûle, en vérité, comme si c'était une flamme, mais elle se porte de tous
côtés vers l'extérieur; elle n'est pas du tout un grand mal pour les par-
ties internes, et elle s'éteint facilement dès qu'il survient de la sueur.
24 J'affirme que cette fièvre est un remède pour les fièvres énumérées plus
haut; elle sera aussi un remède pour la première espèce de fièvre ar-
dente, puisque dorénavant cette fièvre ne se cache plus dans l'intérieur
25 en brûlant sourdement, mais éclate comme la lueur d'une flamme. Au-
tant que j'ai pu le constater, ce sont là tous les bons résultats produits
par les fièvres; mais, parmi les accidents qui surviennent dans le cours
des fièvres, les douleurs de la hanche et des autres articulations, de la
26 cuisse et de toute la jambe ne se montrent pas sans avantage. Cepen-
dant, si une douleur se révèle de ce côté, mais disparaît sans que ce soit
à la suite d'une évacuation de matières cuites, ou de l'emploi d'un des
remèdes habituels, ou à cause du transport de la maladie dans un autre
endroit (mais le transport ne doit pas se faire vers une partie importante,
car, si ce n'est pas là le plus grand des maux, du moins ce n'est cer-

12. μηδέ R. — 13. [μή] conj.; om. R.

Mai 75.

εἰς ἐπίκαιρα γίνεσθαι· οὐδὲ γὰρ τοῦτο ἀγαθὸν οὐδὲν, εἰ μὴ κακὸν ἔσχατον· ταῦτα εἰ μηδὲ ὧδε γίνοιτο, ἀνάγκη τὸν πυρετὸν ἐπανελθεῖν σὺν παραφροσύνῃ, ἢ σπασμῷ, ἢ κώματι, ἤ τινι ἄλλῳ κακῶς ἀνηκέστῳ.
27 Ἀγαθὸν δὲ καὶ τὰ παρὰ τὰ ὦτα ἐπαιρόμενα οἰδήματα, εἰ μὴ ἀπέπτως καὶ σκληρῶς καὶ βιαίως ἐπαίρηται· πολλοὶ γὰρ δὴ σφόδρα ἐρεισάντων διεφθάρησαν, καὶ τὰ ἄλλα οὐκέτι ἀντέχοντες ὑπὸ ἀσθενείας τῇ νόσῳ· εἰ δὲ ἐν τῇ ἀκμῇ τῶν πυρετῶν ἥκοιεν καὶ ἐκ προσαγωγῆς, καὶ ὁ πόνος μικρὸς εἴη καὶ τὸ οἴδημα μαλακὸν, καὶ πᾶν ἔξω τρέποιτο, ὥστε μήτε συναγχικόν τι εἶναι, μήτε γλῶσσαν ἐπιξηραίνεσθαι, καὶ εἰ τῆς νόσου μὴ ἀπέπτου οὔσης, καὶ εἰ αὐτὸ τὸ οἴδημα συμπεπαίνοιτο, ἢ ἄλλως διαλύοιτο, καὶ εἰ μὴ νῦν μὲν ἐξίσχοι, νῦν δὲ ἀφανίζοιτο, τὰ οὕτω γινόμενα τοὺς πυρετοὺς παύει.
28 Παύει δὲ καὶ ληθάργους καὶ παραφροσύνας· ἧσσον μέντοι ληθάργῳ ἀγαθὸν ἢ παραφροσύνῃ· τὸ δέ τι καὶ μέλλον ἐπὶ πνεύμονα ὁρμᾷν

tainement pas un bien); si, dis-je, cette disparition n'a pas lieu d'une telle manière, il est nécessaire que la fièvre revienne accompagnée de délire, de convulsions, d'assoupissement, ou de quelque autre accident pernicieux et incurable.
27 C'est encore un bien que des tumeurs s'élèvent à côté des oreilles, pourvu que cette élévation ne soit pas accompagnée de crudité, de dureté et de violence; en effet, de telles tumeurs s'étant développées violemment, plusieurs malades périrent, attendu que, sous les autres rapports, ils ne pouvaient plus, pour cause de faiblesse, résister à la maladie; mais, si ces tumeurs arrivent petit à petit au summum de la fièvre, si la douleur est peu considérable et la tumeur molle, si tout se tourne vers l'extérieur, de sorte qu'il n'y ait pas le moindre symptôme d'angine, et que la langue ne se dessèche pas; si la tumeur survient à l'époque où la maladie n'est plus à l'état de crudité, si elle-même mûrit en même temps, ou se résout de quelque autre manière; si elle ne s'élève pas à tel instant et disparaît à tel autre, les tumeurs qui se forment dans ces conditions-là mettent fin aux fièvres.
28 Ces mêmes tumeurs font aussi cesser le léthargus et le délire; mais elles sont un moins grand bien pour le léthargus que pour le délire; d'autres fois elles interceptent aussi une matière qui devait se porter vers le

2. γρ. τὸν πυρέτοντα R marg. — 13. μέν R. — 14. ἡ R. — Ib. τε R.

Mai 75-76.

29 ὑπεδέξατο. Σκληρὰ δὲ καὶ ἀνεκπύητα τὰ οἰδήματα ἔστιν ὅτε λύεται
σὺν γαστρὸς ταραχῇ καὶ οὔροις πολλοῖς παχέσι, καὶ ἥδε ἡ λύσις
30 οὐ παροξύνει τὸν πυρετὸν, οὔτε ἀνακαλεῖται εἰς ὑποστροφήν. Ἐν
δὲ τοῖς λοιμώδεσι πυρετοῖς αἱ ἀποσκήψεις τὴν μεγίστην ἀσφάλειαν
ἔχουσιν· γίνονται δὲ παντοδαπαὶ μὲν ὥσπερ τῶν τοιούτων πυρετῶν·
τὸ γοῦν πλεῖστον εἰς ἄκρα κατασκήπτει σὺν πόνοις καὶ ἕλκεσι καὶ
ἄρθρων ἀποπτώσεσι, καί ποτε οἶδα γνάθους ἀποψιλωθείσας, καὶ
ὀδόντας μελανθέντας, καὶ μεγάλα τῶν γνάθων ὀστᾶ ἐν χρόνῳ ἀπο-
31 στάντα. Κρίνεται δὲ καὶ ἰκτέρῳ πυρετὸς, ἀλλὰ δεῖ μὴ αὐτίκα καὶ
76 ἐν ἀρχαῖς ἐπιφαίνεσθαι, | ὡς τοῦτο δεινὸν πρὶν ἢ τῆς ἑβδόμης ἐξαν-
θῆσαι τὸν ἴκτερον, καὶ σημαίνει κατὰ ἧπαρ πονηρεύεσθαι τὴν νό-
32 σον. Ἐπὶ δὲ τοῖς καύσοις τὰ ῥίγη ἀγαθὰ, ἢν ἰσχύῃ ὁ νοσῶν· τοῖς
33 δὲ πάνυ ἀῤῥώστοις θανατώδη. Καὶ ἄλλας δὲ συνεχείας πυρετῶν
34 ῥίγη διέστησε καὶ εἰς περιόδους ἵδρυσεν. Οὐ φαῦλον δὲ οὐδὲ διάῤ-

29 poumon. Les tumeurs dures et non suppurantes se résolvent quelquefois
dès qu'il survient un trouble du ventre, ou des urines abondantes et
épaisses, et cette solution n'exaspère pas la fièvre, et ne la provoque
30 pas non plus à revenir. Dans les fièvres pestilentielles, les dépôts méritent
une très-grande confiance, et il s'en fait de toutes les espèces, attendu
que ce sont des dépôts de fièvres très-graves; le plus souvent, cepen-
dant, ces dépôts tombent sur les extrémités et s'accompagnent de dou-
leurs, d'ulcères et de chute des membres; je sais que quelquefois il y
a eu des mâchoires dénudées, des dents noircies, et de grands os des
31 mâchoires qui se sont détachés par l'effet du temps. La fièvre est aussi
jugée par l'ictère; mais cet accident ne doit pas se montrer aussitôt que
débute la fièvre, car c'est un symptôme effrayant quand l'ictère pousse
avant le septième jour; cela indique que la maladie fait des ravages dans
32 le foie. Dans les fièvres ardentes, les frissons sont avantageux, pourvu
que le malade soit vigoureux; car, pour les malades extrêmement affai-
33 blis, ils sont mortels. Les frissons brisent aussi la continuité des autres
34 fièvres et leur donnent un type fixe. Il n'est pas mal non plus qu'un flux
de ventre survienne en cas de fièvre; la dyssenterie est quelque chose

10. πρὶν ἐκ τῆς R.

Mai 76.

ῥοια ἐπὶ πυρετῷ· δυσεντερία δὲ χαλεπώτερον μὲν, ἀλλὰ καὶ ἥδε
πυρετῶν ἔστιν ὧν δὴ κεχρονισμένων ἐρύσατο. Κύστις δὲ ἐπώδυνος 35
κάκιστον μὲν ἐν πυρετῷ· καὶ γὰρ παραφροσύνην σημαίνει, καὶ
ἄλλα πολλὰ δυσχερῆ· γένοιτο δὲ ἄν που καὶ τοῦτο χρηστὸν, ἢν
αὐτὴ μὲν ἡ κύστις μαλθακὴ ᾖ, τῇ δὲ διαδόσει τῶν οὔρων πονῇ,
παχέων τε ὄντων καὶ πολλῶν· καὶ γὰρ ἂν κοιλίαν ἐπιξηράναι κάθυ-
γρον, καὶ κρίσιν βεβαίαν παράσχοι. Τὰ δὲ ἐξανθήματα, καὶ ὅσαι 36
τραχύτητες, ἢν μὲν ἐν καιρῷ γίνωνται καὶ μετρίως τῇ νόσῳ, καὶ
τρεπόμενα ἔξω μηκέτι παλινδρομῇ εἴσω, ταῦτα λύει πυρετοὺς καὶ
εἰς ἀσφάλειαν ἄγει· τὰ δὲ ἐναντία πάντα ὕποπτα, ἢν μή τις ἑτέρα
ἔκκρισις ὑποδεξαμένη αὐτὰ ἀπενέγκῃ. Περὶ δὲ τοῦ ἐρυσιπέλατος, 37
οὐδὲν μὲν ἡγοῦμαι ἀγαθὸν ἐρυσίπελας ἐν πυρετοῖς· καὶ γὰρ νέμεται
πάντῃ, καὶ φλογώσεις ἄλλας πρὸς ταῖς ἐκ πυρετοῦ παρέχει, καὶ
εἰ θελήσει τρέπεσθαι εἴσω, σαφέστατα ἀπόλωλεν ὁ ἄνθρωπος·

de plus grave, il est vrai; cependant il existe des fièvres de longue durée
pour lesquelles cet accident a été aussi un moyen de salut. La douleur de 35
vessie est un symptôme très-mauvais en cas de fièvre, car elle annonce
le délire et un grand nombre d'autres accidents graves; cependant ce signe
peut être bon aussi, si la vessie elle-même est molle et souffre par suite
de la transmission des urines, quand elles sont épaisses et abondantes;
car [dans ce cas] elle peut dessécher des selles liquides et amener une
crise sûre. Si les efflorescences et toutes les autres aspérités [de la peau] 36
surviennent en temps opportun, et sur une étendue proportionnelle à
la gravité de la maladie; si, s'étant dirigés vers l'extérieur, ces accidents
ne retournent plus vers l'intérieur, ils résolvent les fièvres et mettent les
malades à l'abri du danger; mais toutes les circonstances contraires sont
suspectes, à moins que la cause qui les a enlevées ne consiste en une autre
excrétion qui les remplace. Pour ce qui regarde l'érésipèle, je ne le con- 37
sidère pas du tout comme un bien dans les fièvres; car il s'étend de tous
les côtés et ajoute de nouvelles ardeurs à celles que la fièvre amène par
elle-même, et, s'il tend à se porter vers l'intérieur, la mort du malade est
tout à fait certaine; si, au contraire, il se fixe quelque part et donne lieu

5. αὔτη R.

Mai 76-77.
στηρίξαν δέ ϖου καὶ ἕλκος ϖοιησάμενον, τὸ μὲν ἕλκος οἷον ϖυρί-
καυτον ὑγρὸν καὶ δύσοδμον καὶ κακῶς σηπόμενον γίνεται· σάρκες
δὲ μεγάλαι ἐκπεσοῦσαι καὶ ὀστᾶ ψιλωθέντα καὶ ἀποστάντα σωτη-
38 ρίαν ἤνεγκεν. Οἱ δὲ κεχρονισμένοι ϖυρετοὶ καὶ ϖρὸς ἕδραν ἀφί-
στανται, ὥστε ἐμπύημα μὲν ϖαρὰ τὴν ἕδραν γενέσθαι, λυθῆναι δὲ
ταύτῃ τὸν ϖυρετόν· ἄλλοις δέ τισι κατὰ βουβῶνα ἐκπυεῖ, ἄλλοις
39 δὲ ἄλλῃ. Πονηρὰ δὲ ϖάντα ὅσα ἔνδον ἢ ὑπὸ στῆθος, ἢ ὑπὸ κενεῶνας
ἐκπυεῖ· τῶν μὲν γὰρ ϖυρετῶν τὸ ὀξὺ θραύει· τρόπον δὲ ἕτερον
40 θανατηφόρα ἐστίν. Ἐπῄνεσα δέ ϖοτε καὶ σπληνὸς οἴδημα, καὶ ὑπο-
77 χονδρίου | ἔντασιν ἐν ϖυρετοῖς κακοήθεσι, καί μοι καλῶς ἀπέβη,
καὶ μᾶλλον ὅσοις ἐπὶ σπλῆνα ἀνώρμησεν· εἰ δὲ ἐντεῦθεν ἐπὶ κύ-
41 στιν ῥυείη, τοῦτο δὴ κάλλιστον καὶ ἀγαθὸν τελειότατον. Οἱ μὲν δὴ
ϖυρετοὶ διὰ τοιῶνδε τόπων καὶ διὰ τοσῶνδε καὶ τοιῶνδε ϖαθημάτων
δύονται· τὰ δὲ ἄλλα νοσήματα, δυσεντερία μὲν χρόνιος ἐπιληψίαν

à un ulcère, cet ulcère, comme s'il venait d'une brûlure par le feu, devient
humide, exhale une mauvaise odeur et est recouvert d'une pourriture
maligne; s'il y a de grandes masses de chair qui tombent et des os qui se
38 dénudent et se détachent, cela sauve les malades. Les longues fièvres se
jugent aussi par un abcès au siége, de telle sorte qu'il se forme une
tumeur purulente dans cet endroit, et que la fièvre se résout de cette
façon-là; chez d'autres il survient de la suppuration aux aines; chez d'autres
39 encore, dans quelque autre région. Mais toutes les suppurations internes
qui se forment, soit sous les parois de la poitrine, soit sous celles de la
région iliaque, sont mauvaises; elles émoussent, il est vrai, l'acuité des
40 fièvres, mais elles amènent la mort d'une autre manière. J'ai vu un jour
avec satisfaction la tumeur de la rate et la tension de l'hypocondre dans
les fièvres de mauvais caractère, et je m'en suis bien trouvé, surtout
chez les individus où la maladie remonta vers la rate; si, de là, il se
fait un écoulement vers la vessie, c'est très-beau, et le comble du bien.
41 Voilà quelle est la nature des lieux affectés, et quel est le nombre et la na-
ture des affections qui font baisser les fièvres; pour ce qui est des autres
maladies, une dyssenterie chronique guérit l'épilepsie, les vertiges, les

6. ταύτης R. — 13. διὰ τοιῶνδε..... ϖαθ. R text.; διὰ τόσονδε καὶ τοιῶνδε ϖαθημ. conj.; διὰ τοιῶνδε καὶ τόπων καὶ ϖαθ. R ad calcem pag. — 12. ῥύη R.

Mai 77.

τε ἰάσατο, καὶ εἰλίγγους καὶ ἕλκη κεφαλῆς καὶ πόνους ἰσχίων, καί μοι δοκοῦσιν οἱ ἰατροὶ παρὰ τῆσδε τῆς νόσου ἐκμαθόντες, ἢ τὰ ἄλλα μηδὲν, πρὸς τὴν ἰσχιάδα φάρμακα ἐνιέναι τῷ ἀνθρώπῳ, ἀπὸ ὧν αἷμά τε καὶ ἰχὼρ παντοδαπὸς ῥυήσεται, ὥσπερ ἐν τῇ δυσεντερίᾳ· οἱ δὲ αὖ τινες ἔσωθεν διακαίειν τὰ ἰσχία· χρῆναι γὰρ δὴ πάντων ἐπὶ ἕλκει παύσασθαι τὴν νόσον. Ἰάσατο δὲ δυσεντερία καὶ μανίας 42 τῆς τε ἄλλης καὶ μελαγχολίας· ἰάσατο δὲ καὶ γυναῖκα νοσημάτων ὑσΊερικῶν, καί τινος φύματος τοῦ παντάπασιν εὐήθους, οἷα δὴ φύεται γυναιξὶν ἔν τε τιτθοῖς καὶ ὑπὸ μασχάλαις, κρυπΊὰ καρκινώδη ὀνομαζόμενα. Καὶ σπονδύλων δὲ κυφώματα, ὅσα κατὰ ὀσφὺν γίνεται, δυσεντερία ἔλυσεν. 43 Τό γε μὴν φοβερώτατον τῶν νοσημάτων 44 καὶ δυσμεταχείρισΊον, ὃ νῦν μὲν ἐλέφαντα καλεῖν εἰθίσμεθα διὰ τὴν ὁμοιότητα τῆς τε τοῦ νοσήματος ἕξεως καὶ τῆς τοῦ θηρίου φύσεως, πάλαι δὲ ἀπὸ τῶν χυμῶν τῆς κακίας τὴν ἐπίκλησιν εἶχε, τοῦτο δυσεντερία χρονίσασα ἐξεκάθηρεν. Αἱ δὲ τοῦ αἵματος ἐκκρίσεις, αἱ 45

ulcères de la tête et les douleurs de la hanche, et, si jamais les maladies ont appris quelque chose aux médecins, il me semble que c'est cette maladie qui leur a appris à donner, dans la sciatique, des lavements composés d'ingrédients capables de produire un écoulement de sang et de toute espèce d'ichor comme dans la dyssenterie, tandis que d'autres ont, pour la même raison, cautérisé le côté intérieur des hanches; ils supposaient, je pense, que, chez tous les sujets, la maladie devait se terminer par un ulcère. La dyssenterie guérit aussi de la mélancolie et de toute autre 42 espèce de fureur; elle guérit encore les femmes des maladies hystériques, et de certain tubercule éminemment bénin, qui, chez les femmes, pousse sur les seins et sous les aisselles, tubercule qu'on nomme *affection carcinomateuse larvée*. La dyssenterie résout encore les gibbosités qui 43 se forment dans les lombes. Mais, de plus, la maladie la plus effroyable, 44 maladie difficile à traiter, et qu'à présent on a l'habitude de nommer *éléphantiasis*, à cause de la ressemblance qui existe entre l'aspect de la maladie et l'éléphant, mais qui tirait autrefois son nom du mauvais état des humeurs (voy. ch. 28, p. 63, l. 5), cette maladie est éliminée par une dyssenterie de longue durée. Les écoulements de sang qui se font par 45

5. ἰσχία] γρ. τὰ αἰδοῖα R marg.

μὲν κατὰ αἱμοῤῥοΐδας μελαγχολίαν τε ἰῶνται, καὶ πᾶσαν μανίαν
ἄλλην· καὶ ἐπιληψίαν δὲ ἰῶνται, καὶ εἴλιγγον κεφαλῆς, καὶ πτύσιν
αἵματος· οὐδὲ ἂν οὔτε πλευρῖτις γένοιτο ἐπὶ αἱμοῤῥοΐδι, οὔτε περι-
πνευμονία, οὔτε καυσώδης πυρετὸς, οὔτε τι ἄλλο κάτοξυ νόσημα·
ἀτὰρ οὔτε ἕλκος πονηρὸν ἄν τι γένοιτο, οὔτε ὅσα ἐξανθεῖ ἔξω λέ-
46 78 πραι καί λειχῆνες, καὶ ὅσαι τοιαῦται τραχύτητες. Καὶ | τί δὴ κατὰ
ἕκαστον οὕτω λέγω, ἐξὸν τὸ σύμπαν εἰπεῖν, ὅτι μεγάλη αὕτη κώ-
λυσίς τε εἰς τὸ γενέσθαι νόσημα, καὶ λύσις τῶν ἤδη παρόντων;
47 Μάθοις δὲ ἂν ἰδὼν τὸν εἰθισμένον μὲν κενοῦσθαι κατὰ αἱμοῤῥοΐδα
διὰ ἐπισχέσεως δὲ ὄντα, ὡς οἰδεῖ μὲν ἅπας καὶ ὑδερώδης γίνεται·
βαρύνεται δὲ καὶ ὑπνοῦν ἐθέλει· καὶ νωθρὸς μὲν τὴν γνώμην ἐστίν·
ἀλγεῖ δὲ ὅ τι ἂν τύχῃ· ὁ δὲ αὖ καὶ ὑπερεμήσας ἄνω ἔκλυσεν· ὁ
48 δὲ αὖ καὶ τέλεον ἀπεπλήχθη. Μικρὸν δὲ καὶ ἐπὶ ταῖς αἱμοῤῥοΐσι
καθαιρομέναις μετρίως τὸ γινόμενον βλάβος, οὐ νόσημα, ἀλλά τις

les hémorroïdes guérissent la mélancolie et toute autre espèce de fureur; ils guérissent aussi l'épilepsie, le vertige qui vient de la tête et le crachement de sang; il ne surviendra non plus ni pleurésie, ni péripneumonie, ni fièvre ardente, ni aucune autre maladie suraiguë, quand on a des hémorroïdes; il ne se formera pas même d'ulcère malin, ni aucune de ces efflorescences qui se portent vers l'extérieur, comme les *lèpres*,
46 les *lichens* et toutes les autres aspérités semblables. Mais pourquoi énumérer un à un les faits particuliers, tandis qu'il m'est possible de dire en général que les hémorroïdes sont un grand obstacle à la formation
47 des maladies, et une solution pour celles qui existent déjà? Vous l'apprendrez si vous observez un individu habitué à avoir des évacuations par les hémorroïdes; vous verrez comment, lorsqu'il existe chez lui une rétention, il devient entièrement bouffi et hydropique; il se sent appesanti et veut dormir; son intelligence est lourde; quelle que soit la partie que vous examiniez, vous la trouverez douloureuse; tel ou tel de ces individus est pris de vomissements exagérés; tel autre est en proie à
48 une apoplexie complète. Si l'épuration produite par les hémorroïdes est modérée, le mal qui en résulte n'est pas une maladie, mais une simple

2. εἰλίγγων R.

Mai 78.

ὀλίγη ἀσθένειά τε καὶ κακόχροια· τὰ δὲ ἄλλα μέγιστα ἀγαθὰ, ὡς
εἴρηται· εἰ δὲ ὑπερβάλλοι, κίνδυνος ὑδατωθῆναι. Καὶ γυναικὶ δὲ, 49
ἣν ἀπὸ ῥοῦ ἐνοχλουμένῃ ἐπιγένηται αἱμοῤῥοῒς, καταπαύσει τὸν
ῥοῦν· εἰ δὲ καὶ ταύτῃ ὑπερβάλλοι, κίνδυνος ὑδατωθῆναι. Δεύτερα 50
δὲ φέροιτο ἂν κιρσὸς ἐπὶ τῇ αἱμοῤῥοΐδι· καὶ γὰρ οὖν καὶ κιρσοὶ
πολλὰ προσωφελοῦσιν, ἐπεὶ καὶ μελαγχολίαν καὶ μανίαν, καὶ ὅσα
περὶ κεφαλὴν κεχρονισμένα γίνεται, καὶ βάρη ὀσφύος, καὶ κυφώ-
ματα ὅσα ὑπὸ συντάσεως τῶν νεύρων κατὰ ὀσφὺν γίνεται, προσω-
φελοῦσιν. Καί μοι δοκεῖ ἄμφω κίνδυνον φέρειν ἰαθέντα, εἰ μή τις 51
πόνοις τε τοῦ σώματος καὶ ἕτερον τρόπον τὸ πλήρωμα ὑπεκκομί-
ζοι. Οἶδα γοῦν τινα κιρσοῦ ἰαθέντα, ὃς οὐ πολὺ ὕστερον εἰς δυσεν- 52
τερίαν ἐμπεσὼν τὴν αἱματώδη διεφθάρη, καὶ ἄλλον ἐκμανέντα·
οἵτινες οὐκ ἐδόκουν ἄν μοι παθεῖν τάδε, εἰ μὴ ἀπεκλείσθησαν αὐ-
τοῖς αἱ ὁδοὶ τοῦ αἵματος αἱ ἐπὶ τοὺς κιρσούς. Πλευρῖτις δὲ περι- 53

faiblesse et une perversion légère du teint, tandis que les autres conséquences de cette évacuation sont, ainsi que je viens de le dire, de très-grands bienfaits; cependant, si cette évacuation dépasse la mesure, il y
a danger d'hydropisie. Si, chez une femme qui a un flux utérin, il sur- 49
vient des hémorroïdes, elles arrêtent le flux; cependant, si, chez cette
femme, elles dépassent la mesure, il y a également danger d'hydropisie.
Après les hémorroïdes, les varices devront occuper le second rang; car 50
les varices produisent, du moins, du soulagement dans un grand nombre de cas; en effet, elles exercent une action bienfaisante sur la mélancolie, sur la fureur, sur toutes les maladies chroniques qui surviennent à la tête, sur la pesanteur des lombes, sur toutes les gibbosités qui provien-
nent de la tension des nerfs dans les lombes. Il me semble que la gué- 51
rison de ces deux affections est dangereuse, à moins qu'on n'élimine insensiblement la surabondance des humeurs, aussi bien par les exer-
cices du corps que d'une autre manière. J'ai, du moins, connu un indi- 52
vidu qui avait été guéri d'une varice et qui mourut peu après, ayant été attaqué d'une dyssenterie sanguinolente; j'en ai connu un autre qui fut pris de fureur, et il me semblait que ces hommes n'auraient pas eu ces affections, si, chez eux, on n'avait pas intercepté les voies qui condui-
saient le sang aux varices. La pleurésie résout la péripneumonie; mais 53

Mai 78-79.
πνευμονίαν λύει· κακὸν δὲ ἐκ πλευρίτιδος εἰς περιπνευμονίαν ἐλ-
θεῖν· καὶ ὀξυρεγμίη λειεντερίαν, καὶ διάῤῥοια ἐμέτους σίτων· λίθοι
54 δὲ κατὰ νεφροὺς καὶ κύστιν ὀδύνην κόλου. Χολέρα δὲ οἷον εἰ καὶ
ἐλατηρίῳ καθαρθείς τις ὤνατο, οὕτως ὀνίνησιν, ὥστε πολλοὶ ἄσμε-
νοι ἐδέξαντο τὴν νόσον, καὶ εἴ τις πρὶν καλῶς καθαρθῆναι δείσας
79 55 ἐπέσχεν, ἄλλο τι πάθημα ἐξήγειρεν. | Αἱ δὲ φρενίτιδες τῶν ληθάρ-
γων ἰάματά εἰσι, καὶ οἱ λήθαργοι τοὺς ἀθρόως ἐξισταμένους καὶ
56 ἀπαραλογίστως φρενιτικοὺς ἡμεροῦσιν. Πόνον δὲ ἥπατος ὀξὺν καὶ
βίαιον αἷμα ὑπελθὸν κατὰ γαστέρα ἀπέπαυσεν, εἴπερ δὴ αἷμα χρὴ
νομίζειν εἶναι τὸ ὑπερχόμενον, ἀλλὰ μὴ χυμόν τινα ἄλλον· εἰ-
κὸς δὲ αἷμα ἐλθεῖν ἐξ ἥπατος ἐπὶ γαστέρα· εἰκὸς δὲ καὶ μέλαν
εἶναι τὸ ὑπερχόμενον· καὶ γὰρ δὴ καὶ μάλιστα ἐγγυτάτω τὴν φύ-
57 σιν ταῦτα ἀλλήλοις. Ἀγαθαὶ δὲ καὶ πύου ἐκκρίσεις, αἱ μὲν διὰ
ῥινῶν, ἢ ὤτων γινόμεναι τὰ κατὰ κεφαλὴν παύουσαι, αἱ δὲ διὰ

c'est un mal que de passer de la pleurésie à la péripneumonie; de même,
les éructations acides résolvent la lienterie, et le flux de ventre les vo-
missements d'aliments; enfin, les calculs des reins et de la vessie résol-
54 vent la douleur du colon. Le *choléra* produit le même bon résultat que
si l'on se purgeait avec le suc de concombre sauvage; aussi, beaucoup de
gens accueillent-ils cette maladie avec plaisir, et, si par peur on l'arrête
avant d'avoir été convenablement purgé, on provoque une autre mala-
55 die. Le phrénitis est un moyen de guérison pour le léthargus, et le lé-
thargus apaise les malades qui entrent subitement en fureur et qui sont
56 indubitablement attaqués de phrénitis. Du sang qui s'écoule par les
selles arrête une douleur aiguë et violente du foie, si, du moins, il
faut considérer comme du sang le liquide qui s'écoule, et non comme
étant formé de quelque autre humeur; cependant, il est raisonnable
d'admettre que du sang aille du foie au canal intestinal, et aussi que le
liquide qui s'écoule soit noir; car tous ces rapports sont très-naturels.
57 Les évacuations de pus sont bonnes aussi : celles qui se font par les
oreilles ou par le nez, parce qu'elles dissipent les affections de la tête,
et celles qui se font par la vessie ou par le siége, parce qu'elles mettent

3. κώλων R. — 8. ἡμεροῦσιν conj.; ἡμέρους R.

Mai 79.

κύστεως ἢ ἕδρας ἐμπυημάτων τε ῥυόμεναι καὶ πόνων κεχρονισμέ-
νων. Ὅσα δὲ ἐκπυεῖ ἐπὶ φλεγμοναῖς, ἢ εἴσω, ἢ ἔξω, τὰς ὀδύνας τῶν 58
φλεγμαινόντων παύει. Οἰδήματα δὲ συνάγχῃ τε χρηστῶς ἐπιγίνε- 59
ται, καὶ ποδάγραις, οἷς τε ἂν ἐξαρθῇ οἴδημα, καὶ οἷς ἂν ἰσχνὸς μὲν
ὁ τράχηλος ἰδεῖν πνιγομένοις, ἰσχνοὶ δὲ οἱ πόδες τἄλλα ὀδυνωμέ-
νοις· ἐπιγίνεται δὲ χρηστῶς καὶ ἕλκεσιν· εἰ δὲ μὴ, κίνδυνος καὶ
σπασθῆναί τινα καὶ πυρέξαι πυρετῷ χολώδει καὶ ἀγρύπνῳ καὶ πα-
ρακρουστικῷ. Ἐπιφλεγμῆναι δὲ καὶ ἄρθροις ἐμβεβλημένοις συμφέ- 60
ρει· κωλύουσι γὰρ αἱ φλεγμοναὶ τὸ ἄρθρον τὸ ἔπειτα ὀλισθαίνειν·
χρὴ δὲ μήτε ἄγαν ἰσχυρὰς εἶναι τὰς φλεγμονὰς, μήτε τὸ ἄρθρον
νεύροις καὶ μυσὶ σύντονον. Τὰς δὲ βῆχας τὰς ξηρὰς καὶ χρονίους 61
λύει ὀδύνη στηρίξασα εἰς ὄρχιν, ἢ ἰσχίον, ἢ σκέλος. Ἀρθρῖτις δὲ 62
καὶ ποδάγρα πολλῶν ἄλλων κακῶν ὑποδοχαί εἰσιν· τὰ γὰρ ῥεύματα
ἐθιζόμενα ταύτης εἶναι τοῖς μὲν ἄρθροις ἐπίπονά ἐστι, κωλύει δὲ

à l'abri des tumeurs purulentes internes et des douleurs de longue
durée. Les suppurations qui surviennent à l'occasion des inflammations, 58
que ce soit à l'intérieur ou à l'extérieur, font cesser les douleurs des
parties enflammées. La tuméfaction survient avec avantage, en cas d'an- 59
gine ou de podagre, chez les malades où une tuméfaction antécédente a
disparu, dans le premier cas, quand le cou est grêle en même temps
qu'il y a danger de suffocation, et, dans le second, chez ceux où les
pieds sont grêles, tandis que, du reste, il y a de la douleur; la tuméfac-
tion survient encore avantageusement en cas d'ulcère; car, sans elle, on
court le danger d'être pris de convulsions ou d'une fièvre bilieuse accom-
pagnée d'insomnie et de délire. Il est bon aussi, après la réduction des 60
luxations, d'être pris d'une inflammation locale consécutive; car ces in-
flammations empêchent l'articulation de glisser après coup; mais elles
ne doivent pas être très-fortes, et l'articulation ne doit pas présenter des
nerfs ou des muscles tendus. Une douleur qui se fixe dans le testicule, 61
dans la hanche ou dans la jambe, résout les toux sèches et de longue
durée. La goutte et la podagre remplacent plusieurs autres maux; car 62
les fluxions, qui habituellement donnent lieu à ces maladies, sont pé-
nibles, il est vrai, pour les articulations, mais elles empêchent d'autres

9. κωλύουσαι R.

Mai 79-80.

63 ἕτερα νοσήματα γίνεσθαι. Ὅσοις γοῦν ἀπετράπετο ἄλλῃ τὸ ῥεῦμα,
κατὰ μὲν τὰ ἄρθρα διακουφίζει· πυρετοὶ δὲ καὶ περιπνευμονίαι,
64 καὶ ἀπόπληκτοι οἱ πολλοὶ γίνονται. Ἤδη δὲ καὶ ἐπὶ φαρμάκοις
καθαίρουσι τὸ ῥεῦμα ἔξω καὶ τῇδε μάλιστα ὠφελεῖν πεπιστευμένοις,
ἐκλειφθεῖσιν ἄλλο ὑποτραφὲν ῥεῦμα, καὶ ἐπὶ μὲν τὰ ἄρθρα οὐχ
65 ὁρμῆσαν, κατελθὸν δὲ ἑτέρωσε, οὐ βραδέως ἔκτεινεν. Οὐ δεῖ | φημι
80 ἀφύλακτον ἐᾷν τὸν ἄνθρωπον ἐπὶ ταύταις φαρμακευθέντα ταῖς νό-
66 σοις, ἀλλά τινα δίαιταν αὐτῷ ξηροτέραν ἐξευρίσκειν. Ὡσαύτως δὲ
ἐπαινῶ καὶ τὰ κατὰ τὸ δέρμα ἐξανθοῦντα πάντα· ἀλφοὶ γοῦν καὶ
67 λέπραι καὶ ψῶραι μελαγχολίαν καὶ ἐπιληψίαν ἰάσαντο.— Τὰ μὲν
ἐκ νοσημάτων νοήσασιν ἀγαθὸν ὧδε ἔχει· κακαὶ δὲ ἀποστάσεις καὶ
68 διαδοχαὶ νόσων αἵδε εἰσίν. Ἐπὶ σπληνὶ, [ἢ] ἤπατι ὕδερον γενέσθαι
κακόν· γίνεται δὲ καὶ ἐπὶ δυσεντερίᾳ καὶ λειεντερίᾳ καὶ ἐπὶ διαῤῥοίᾳ

63 maladies de se former. Chez les malades donc où la fluxion s'est détournée d'un autre côté, elle donne du répit aux articulations; mais il survient des fièvres et des péripneumonies, et la plupart deviennent apo-
64 plectiques. Même après l'emploi des médicaments purgatifs qui évacuent la fluxion vers l'extérieur, et dans l'action bienfaisante desquels on avait, pour cette raison, la plus grande confiance, il est arrivé que, l'emploi de ces médicaments ayant été interrompu, une mort rapide a été amenée par une autre fluxion qui s'était insensiblement accumulée, et qui ne se portait pas vers les articulations, mais descendait suivant
65 quelque autre direction. Je dis qu'il ne faut pas laisser sans surveillance un malade qu'on a purgé à l'occasion de ces maladies, mais qu'il faut
66 inventer à son usage un régime plus ou moins sec. Je loue aussi toutes les efflorescences qui se forment à la peau; du moins les *alphi*, les *lèpres*
67 et les *psores* guérissent la mélancolie et l'épilepsie. — Dans ces conditions, les accidents qui surviennent dans les maladies ont du bon pour les médecins bien avisés; voici maintenant quelles sont les mauvaises
68 terminaisons et les mauvaises transformations des maladies. Il est mauvais qu'à propos de la rate ou du foie il survienne de l'hydropisie; il s'en forme aussi à propos d'une dyssenterie, d'une lienterie, ou d'un

5. ἄλλῳ R. — 12. [ἢ] ex em.; om. R.

κεχρονισμένη· καὶ ἐπὶ πυρετοῖς δὲ ὀξέσι καὶ χρονίοις γίνεται,
ὅταν οἱ πυρετοὶ κατὰ σπλάγχνα κακουργήσωσιν. Τὰ μὲν οὖν περὶ 69
γαστέρα ἱστᾶσιν, ὥστε ἐλπίδα εἶναι καλήν· ἐξαπατῶνται δέ· οὐ γὰρ
ἀναλίσκεται ἧσσον, ἀλλὰ ἑτέρωσε μεθίσταται, καὶ εἰ μὴ διὰ τα-
χέων πάλιν ἐπὶ τὴν γαστέρα ἕλκοις, ἀποδιδοὺς τὰς ἀρχαίας νό-
σους, ἀπόλλυνται· τὸν δὲ σπλῆνα καὶ τὸ ἧπαρ καὶ τοὺς πυρε-
τοὺς οὐδὲ σμικρὸν οἱ ὕδεροι διακουφίζουσιν, ὥστε πρὸς τοῖς ἐξ
ἀρχῆς τοῦτο ἕτερον κακὸν γίνεται. Πονηρὸν δὲ καὶ ἐπὶ αἵματος 70
ἐκκρίσει κατὰ ὑστέραν, ἢ αἱμορροΐδι ἐκλειπούσῃ ἄνω πτύσαι.
Πονηρὸν δὲ καὶ τὰ ἐν κνήμαις ἐπὶ σπληνὶ ἕλκη· οὔτε γὰρ τὸ οἴ- 71
δημα τοῦ σπληνὸς ὥσπερ τινὰ ἄλλα ἕλκη πραΰνει, οὔτε αὐτὰ τὰ
ἕλκη ῥᾳδίως εἰς ὠτειλὰς ἀφικνεῖται. Καὶ περιπνευμονία δὲ ἐκ 72
πλευρίτιδος θανατῶδες, καὶ λήθαργος ἐκ τῶν πλευριτικῶν, ἢν μὴ
ἀγριώτερον ἐξίστηται. Τὸ δὲ σύμπαν ἐπιβλέπειν χρὴ τὸν ἰατρὸν 73
τὴν παροῦσαν νόσον, οἵα τίς ἐστι, καὶ ἐν ὅτῳ τοῦ σώματος ἵδρυ-

flux de ventre de longue durée; il s'en forme encore à propos de fièvres,
soit aiguës, soit chroniques, quand ces fièvres sévissent dans les vis-
cères. Ces hydropisies arrêtent, il est vrai, les accidents du côté du 69
ventre, de sorte qu'on conçoit de belles espérances; mais on se trompe,
car la maladie n'en tue pas moins pour cela; seulement, elle s'est
transportée d'un autre côté, et, si on ne se presse pas d'opérer de
nouveau une révulsion vers le ventre, en rétablissant les anciennes
maladies, les malades meurent; d'ailleurs, l'hydropisie ne donne pas
le moindre répit ni à la rate, ni au foie, ni aux fièvres, de sorte
qu'elle vient, comme un nouveau mal, s'ajouter à ceux qui existaient dès
le principe. Cracher du sang à défaut de l'évacuation sanguine par l'uté- 70
rus ou par les hémorroïdes est également pernicieux. C'est encore un 71
symptôme pernicieux que les ulcères des jambes survenant à propos de
la rate; ils ne mitigent pas la tumeur de la rate, comme le feraient
d'autres ulcères, et eux-mêmes ne se cicatrisent pas facilement. Une 72
péripneumonie venant à la suite d'une pleurésie est mortelle, de même
qu'un léthargus venant à la suite d'une pleurésie, à moins que le ma-
lade ne soit pris d'un délire plus ou moins violent. En général, le mé- 73
decin doit considérer la maladie actuelle, quelle est sa nature, dans

Mai 80-81.

ται, καὶ τὸ μόριον τοῦ σώματος ἐν ᾧ τὸ ἔργον, καὶ εἰ ἐπίκαιρον
τὸ εἰς τὸ ζῆν, παρέχειν δὲ καὶ τοὺς χρόνους τῆς νόσου, καὶ τὰ
ἀπιόντα, ὁποῖα καὶ ὁπόσα ἐστὶ, καὶ διὰ ὧν ἄπεισιν· ταῦτα γάρ τις
ὀρθῶς σκεπτόμενος γινώσκοι ἂν ὅσα γε χρὴ δέχεσθαι, καὶ ὅσα
ἐρεθίζειν, καὶ ὅσα ἀποτρέπειν· ἢν μὲν γὰρ ἐξ ἐπικαιροτέρων πρὸς
ἀκαιρότερα ὁρμᾷ, δέχεσθαι, καὶ ἢν οἱ πόνοι ἐπιπολῆς ἐκ βαθέων
81 |γίνωνται, δέχεσθαι, καὶ τὰ πέπονα ἀποσκήμματα, καὶ τὰς ἐκκρί-
σεις τὰς πεπείρους δέχεσθαι· τὰ δὲ ἐναντία κωλύειν πάντα πάντῃ·
μὴ γινομένων δὲ, μηχανᾶσθαι οἷ τὰ βέλτιστα καὶ αὐτόματα ἢν γι-
νόμενα.

quelle partie elle a fixé son siége, ainsi que la partie du corps où doit se faire le travail morbide, si cette partie a de l'importance pour la vie; il doit comparer aussi les temps de la maladie, les excrétions, leur nature, leur quantité, les voies par où elles passent; car, s'il considère bien toutes ces circonstances, il reconnaîtra quels sont les accidents qu'il faut accueillir, quels sont ceux qu'il faut provoquer, et quels sont ceux qu'il faut détourner; en effet, si la maladie quitte des parties plus importantes pour en envahir de moins importantes, on acceptera la transformation; on doit accepter encore les douleurs qui, de profondes qu'elles étaient, deviennent superficielles, ainsi que les dépôts mûrs et les excrétions mûres; mais on réprime partout tous les accidents contraires, et, s'il n'en survient pas, on doit en provoquer là où ils sont les meilleurs lorsqu'ils surviennent spontanément.

ΒΙΒΛΙΟΝ Μϛ'.

α'. Περὶ καταγμάτων. Ἐκ τῶν Γαληνοῦ.

Cocchi 54.

Ἐπειδὴ λέλυται τῆς συνεχείας τὰ τοῦ κατεαγότος ὀστοῦ μόρια, 1
σκοπὸς μὲν τῆς θεραπείας αὐτῶν ὁ γοῦν πρῶτος ἕνωσις· ἐπεὶ δὲ
οὗτος ἀδύνατος διὰ τὴν τῶν πεπονθότων μορίων ξηρότητα· πλὴν
γὰρ τῶν μαλακῶν ἱκανῶς ὀστῶν, ὡς ἐπὶ τῶν παιδίων, οὐκ ἐγχωρεῖ
δέξασθαι σύμφυσιν· δεύτερος ἄλλος ὁ διὰ τῆς τοῦ πώρου κολλή-
σεως ἀπόκειται σκοπός. Σκεπτέον οὖν ἐφεξῆς ὅτῳ μάλιστα ἄν τις 2
τρόπῳ τοῦτο πράξειεν. Τεττάρων δὲ οὐσῶν ἐνεργειῶν ἐν τῇ τῶν 3
καταγμάτων θεραπείᾳ, κατατάσεως, διαπλάσεως, ἐπιδέσεως, ἀπο-
θέσεως, ἀπὸ τῆς κατατάσεως ἄρχεσθαι προσήκει τὴν θεραπείαν.
Εἰ μὲν οὖν εἴη μικρὸν τὸ κάταγμα, φυλάξει τὴν οἰκείαν θέσιν 4
ἑκάτερον τῶν τοῦ παθόντος ὀστοῦ μορίων· εἰ δὲ ὅλον συντριβείη

LIVRE XLVI.

1. DES FRACTURES. — TIRÉ DE GALIEN.

Comme l'os fracturé a perdu sa continuité, le premier but du traite- 1
ment consiste dans la réunion; mais, puisque ce but est irréalisable à
cause de la sécheresse des parties affectées (en effet, à l'exception des os
très-mous, comme le sont ceux des petits enfants, ces parties ne sont
pas susceptibles de se souder), on se propose un second but, celui de
les agglutiner par l'intermédiaire du cal. Examinons donc maintenant 2
de quelle manière on atteindra le mieux ce but. Comme le traitement 3
des fractures présente quatre temps, à savoir l'extension, la coaptation,
la déligation et la position, il convient de commencer [l'exposition de]
ce traitement par l'extension. Si donc la fracture a peu d'étendue, 4
chacun des deux fragments de l'os affecté conservera sa position natu-
relle; mais, quand tout l'os a été broyé, ses fragments se déplaceront

Ch. 1, l. 4. παίδων R. — 5. ὁ τῆς διὰ π. κολλ. Gal.

Cocchi 54-57.

τὸ ὀστοῦν, ἀναγκαῖον ἐν τῷδε παραλλάττειν αὐτοῦ τὰ μέρη, καὶ χρὴ κατὰ εὐθὺ πρότερον αὐτὰ ποιήσαντας τῶν ἐφεξῆς τι πράττειν.
5 Ἕξει δὲ δήπου τὴν τοιαύτην θέσιν ἐὰν ἐπὶ τἀναντία παράγηται τὰ
6 ἐξεστῶτα, τῶν θατέρου μερῶν ἀντωθουμένων μετρίως. Ἀλλὰ ἐν τῷ
57 τὴν ἐναντίαν ὁδὸν | ἄγειν ἑκάτερον οὐ μικρὸς ὁ κίνδυνος θραυσθῆναί τινας ἐξοχὰς αὐτῶν, καὶ μεταξὺ τῶν συναγομένων μερῶν ἱσταμένας
7 κωλύειν ψαύειν ἀλλήλων τὰ συναρμοττόμενα. Εἰ δὲ ἄρα καὶ δυνηθείη τι πρὸς τὸ ἐκτὸς τῶν ὀστῶν ἐκπεσεῖν, οὐδὲ οὕτως ἀκριβῶς ἡ ἁρμονία γενήσεται, τῶν ἐξοχῶν μὴ ἁρμοζομένων ἐν ταῖς κοιλότησιν· θραυσθέντων δὲ αὐτῶν ἅπαξ καὶ ἀπολυομένων, κενὴν χώραν ἀναγκαῖον ἀπολειφθῆναι μεταξὺ τῶν ἁρμοζομένων ὀστῶν, εἰς ἣν ἰχῶρας ἀθροιζομένους, εἶτα ἐν τῷ χρόνῳ σηπομένους, ὅλον
8 ἅμα ἑαυτοῖς τὸ κῶλον ἀνάγκη διαφθεῖραι. Διὰ ταῦτα μὲν οὖν χρὴ τῶν ὀστῶν τὴν παραγωγὴν ποιεῖσθαι διεστώτων, αὐτὸ δὲ δὴ τοῦτο

inévitablement, et il faut les mettre dans une position où ils s'affrontent, pour recourir ensuite à un des moyens de traitement exigés après cette
5 opération. Or les fragments prendront cette position, si les parties déplacées sont ramenées à leur position naturelle, tandis qu'on pousse douce-
6 ment dans une direction opposée l'autre fragment. Mais, pendant qu'on meut les deux fragments en sens opposé, on court un assez grand danger de voir quelques parties saillantes de ces fragments se casser, se placer entre les parties qu'on rapproche les unes des autres, et empê-
7 cher les fragments de se toucher. Et même, si une partie quelconque pouvait s'échapper au dehors, on n'obtiendrait pas non plus, dans ce cas-là, une coaptation parfaite, attendu que les parties saillantes ne s'emboîteraient pas dans les cavités; puis, ces parties saillantes étant une fois cassées et détachées, il restera nécessairement un espace vide entre les deux parties de l'os qu'on veut affronter; dans cet espace il se formera une collection de liquides séreux, qui se pourriront ensuite par l'effet du temps et entraîneront inévitablement dans leur propre cor-
8 ruption tout l'ensemble du membre. Pour cette raison donc, on doit opérer l'affrontement des os pendant l'écartement, et il est de nouveau

3. δήπου om. U. — 4. τῶν θατέρου Gal. — Ib. ἀντωθουμένου Gal. — 7. δια-
e conj.; τῶν θατέρων RU; τοῦ ἑτέρου κωλύειν Gal. — 8-9. ἀκριβὴς Gal.

Cocchi 57.

πάλιν οὐχ οἷόν τε καλῶς ἐργάσασθαι χωρὶς ἀντιτάσεως. Χρὴ τοί- 9
νυν ἢ διὰ τῶν χειρῶν, εἰ μικρὸν εἴη τὸ κῶλον, ἢ διὰ βρόχων περι-
βαλλομένων, ἢ καὶ σὺν αὐτοῖς ὀργάνων, τὴν ἀντίτασιν ποιεῖσθαι.
Ἐπειδὰν δὲ ἱκανῶς διαταθῇ καὶ μηκέτι ᾖ κίνδυνος ἀλλήλοις ἐνερεί- 10
δοντα παράγεσθαι, κατὰ εὐθὺ θέμενον ἀνεῖναι τοὺς βρόχους, ἐπι-
τρέψαντα τοῖς μυσὶ συνάγειν εἰς ἑαυτὰ τὰ διεστῶτα, συνεφάπτε-
σθαι δὲ ἐν τούτῳ καὶ αὐτὸν ταῖς χερσὶν, εἴ τί που παραλλάττοι
μικρὸν, ἐπανορθούμενόν τε καὶ διαπλάττοντα. Τῶν μὲν οὖν ἰατρῶν 11
ἔνιοι νομίζουσιν, ἄμεινον εἶναι μὴ κατατείνειν εὐθέως τὸ κατεαγὸς
κῶλον, ἀλλὰ παρηγορήσαντας πρότερον οὕτως ἥκειν ἐπὶ τὴν κα-
τάτασιν ὕστερον ἡμέρᾳ τρίτῃ καὶ τετάρτῃ μετὰ τὴν ἀρχήν· ὁ δὲ
Ἱπποκράτης τὸ ἐναντιώτατον ἐπιδείκνυσιν ἁρμόττειν, ἐν ἀρχῇ μὲν
κατατείνειν τὸ κῶλον, ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ μάλιστα τῶν
ἡμερῶν παρηγορεῖν. Γινέσθω δὲ ἡ διάτασις κατὰ ἐκεῖνα μάλιστα 12

impossible d'obtenir convenablement ce résultat sans recourir à la
double extension. Par conséquent, on fera la double extension, ou avec 9
les mains, quand le membre est petit, ou avec des lacs dont on entou-
rera le membre, ou avec des machines qu'on ajoutera aux lacs. Quand 10
on aura suffisamment écarté les fragments, et qu'il n'y a plus de danger
qu'ils se heurtent pendant qu'on les rapproche, on les placera dans une
position où ils s'affrontent, on relâchera les lacs, et on s'en rapportera
aux muscles pour rapprocher les uns des autres les fragments écartés;
en même temps le chirurgien les palpera aussi, pour redresser et
rajuster les parties peu considérables, qui pourraient peut-être subir
un déplacement. Quelques médecins pensent qu'il vaut mieux ne pas 11
soumettre immédiatement le membre fracturé à l'extension, mais qu'il
faut calmer d'abord [l'inflammation] pour en venir plus tard à l'exten-
sion, le troisième ou le quatrième jour; Hippocrate (*Fract.* § 31), de son
côté, enseigne que c'est la méthode diamétralement opposée qu'il con-
vient de suivre, c'est-à-dire qu'il faut pratiquer l'extension du membre
aussitôt après l'accident et employer les calmants surtout le troisième
et le quatrième jour. On pratiquera principalement l'extension sur les 12

1. ἀνατάσεως U. — 2. ἤτοι διὰ τῶν Gal. — 4-5. ἐνερείδειν τῷ παράγεσθαι Gal. — 6. ταὐτό Gal. — 7. αὐτῶν U. — 8. ἄλλων ἰατρῶν U. — 13. τῇ om. U.

Cocchi 57.

τὰ μόρια κατὰ ἃ μέγιστα καὶ πάχιστά ἐστι τά τε ὀστᾶ καὶ οἱ περὶ
αὐτὰ μύες· οὗτοι γάρ εἰσιν οἱ μάλιστα κατατείνεσθαι δεόμενοι,
διότι καὶ μᾶλλον ἀνασπᾶσθαι πεφύκασιν ἐπὶ τὰς ἑαυτῶν κεφαλάς.
13 Ἡ μὲν οὖν ἧττον τοῦ συμμέτρου γινομένη διάτασις μόνην ἀποτυχίαν
φέρει, διαπλάσεως μὲν ἐπὶ τῶν καταγμάτων, ἐμβολῆς δὲ ἐπὶ τῶν
ἐξαρθρημάτων, οὐ μὴν ἄλλην γέ τινα βλάβην ἰδίαν ἔχει, καθάπερ
ἡ μᾶλλον· αὕτη γὰρ ὀδυνηρὰ μὲν ἐνεργουμένη, φλεγμονὰς δὲ ἐξ
ὑστέρου καὶ πυρετοὺς καὶ σπασμοὺς, ἐνίοτε δὲ καὶ παραλύσεις ἐπι-
14 φέρει. Ἧττον δὲ οἱ παῖδες τῶν τελείων ἐπὶ τῇ πλεονασθείσῃ τά-
σει βλάπτονται διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων,
εὐνοῦχοί τε ὁμοίως καὶ γυναῖκες, καὶ οἱ ἐκ φύσεως ὑγροὶ καὶ μαλα-
15 κοί. Ὅπως δὲ οὖν φυλάττοιτο τῶν διαπλασθέντων ἡ θέσις ἀσφα-
λὴς, δεσμῷ περιλαβεῖν χρὴ τὸ κάταγμα, καὶ σφίγγειν μετρίως,
ὡς μήτε θλίβειν, καὶ διὰ τοῦτο ὀδύνην γενέσθαι, μήτε οὕτως ἐκλύειν

parties où les os ont le plus de volume et d'épaisseur, ainsi que les
muscles qui les entourent; car ce sont surtout ces organes-là qui ont le
plus besoin d'être étendus; en effet, par leur nature, ils sont plus suscep-
13 tibles que les autres de se rétracter dans le sens de leurs attaches. L'ex-
tension qui reste en deçà de la mesure convenable est simplement un
échec; dans les cas de fractures, elle fait échouer la coaptation, et, dans
ceux de luxations, la réduction; mais elle ne donne lieu à aucune autre
conséquence nuisible qui lui soit propre, ainsi que le fait l'extension qui
dépasse la mesure; car celle-là cause, au moment même où on l'opère,
de la douleur, et, après coup, des inflammations, des fièvres, des convul-
14 sions, et même quelquefois des paralysies. L'extension exagérée est
moins nuisible aux enfants qu'aux adultes, à cause de l'humidité et de la
mollesse du corps des premiers, et il en est de même pour les eunu-
ques, pour les femmes, et pour les gens naturellement humides et mous.
15 Pour que les fragments restent solidement en place après la coaptation,
il faut entourer la fracture d'une bande et la serrer modérément, de ma-
nière à ne pas produire de compression, et, par suite, de douleur, ni à ser-
rer si peu, que la laxité des bandes permette aux fragments de se dépla-

3. διό RU. — 11. φύσεως ἢ ἔθους Gal. — 12. ἂν RU. — 13. χρὴ om. RU.

τὴν σφίγξιν, ὡς διὰ χαυνότητα κινεῖσθαι τὸ κάταγμα. Σκοποὶ μὲν 16
οὖν οὗτοι τῆς τῶν ἐπιδέσμων πιέσεως· ἀκριβῶς δὲ αὐτῶν σΊοχάζε-
σθαι κατὰ ἀρχὰς μὲν οὐχ οἷόν τε, πολλάκις δὲ ἐπιδήσαντα δυνα-
τόν· προσέχων γὰρ ἀκριβῶς τῷ ποσῷ τῆς τάσεως ἧς ἐποιήσω
περιβάλλων τὸν ἐπίδεσμον, εἶτα ἐρωτήσας τὸν ἐπιδούμενον ὁποίας
αἰσθάνεται τῆς ἐπιβολῆς τῶν ὀθονίων, ἐκ δευτέρου | πάλιν ἐπιβαλὼν 58
εἴσῃ πότερον ἐκλῦσαι δεῖ τὴν τάσιν, ἢ προσαυξῆσαι· θλίβεσθαι
μὲν γὰρ εἰπόντος αὐτοῦ πρόδηλον ὡς ἐκλῦσαι προσῆκεν, οὕτω δὲ
εἶναι χαλαρὸν εἰπόντος, ὡς ὅτι μηδὲ εἰ περίκειται γινώσκειν, ἐπαυ-
ξῆσαι. Δεῖ δὲ κἀκεῖνο προσεννοεῖν, ὅτι τῶν σωμάτων ὅσα μὲν 17
ἰσχυρὰ καὶ σκληρὰ, βιαιοτέρας ἀνέχεται τῆς τάσεως, ὅσα δὲ ἀσθε-
νέσΊερα καὶ μαλακὰ, τῆς ἀνειμένης ταῦτα χρήζει. Φησὶ δὲ Ἱππο- 18
κράτης καὶ οἰδημάτιον ἔσεσθαι μαλθακὸν ἐν ἄκρῃ τῇ χειρὶ κατὰ
τὴν δευτέραν ἡμέραν, ἐὰν συμμέτρως πιέσωμεν, ὡς εἴ γε μηδὲ ὅλως
εὕροιμεν, ἢ σκληρὸν, εἰδέναι χρὴ σαφῶς ἐνδεέσΊερον μὲν πεπιέχθαι

cer. Voilà quelles sont les indications pour la compression exercée par les 16
bandes; mais on ne saurait y satisfaire rigoureusement dès le commen-
cement, même en tâtonnant, tandis qu'on le peut après avoir appliqué
plusieurs fois l'appareil; car, en prêtant une attention soutenue au degré
de pression que vous produisez en appliquant les bandes, et en demandant
à celui auquel vous les appliquez quelles sensations lui donne l'appa-
reil, vous saurez, en l'appliquant de nouveau pour la seconde fois, s'il
faut relâcher ou serrer davantage; en effet, si le malade accuse de la com-
pression, il est clair qu'il faut relâcher; si, au contraire, il dit que l'ap-
pareil est si lâche, qu'il ne sait pas même si son membre en est entouré,
il est tout aussi évident qu'il faut augmenter la compression. En outre, 17
il faut encore songer que les corps robustes et durs supportent une ten-
sion vigoureuse des bandes, tandis que les corps mous et faibles exigent
une tension plus modérée. Hippocrate (*Fract.* § 5) dit que, si on a com- 18
primé dans la juste mesure, il y aura, le deuxième jour, à la main, une
petite tuméfaction molle: de sorte que, si on n'en découvre aucune, ou si
la tuméfaction est dure, on doit reconnaître que, dans le premier cas,

4. ἣν Gal. — 7. τάξιν R. — 8. προσῆκον RU. — 11. πιέσεως Gal. — 14-15. ὅλ. ἢ σκλ. εὕρ. U; ὅλ. εὕρ. ἢ σκλ. R.

Cocchi 58.

τὸ κάταγμα μηδὲ ὅλως εὑρεθέντος, ἐπὶ μᾶλλον δὲ τεθλῖφθαι σκλη-
19 ροῦ φανέντος. Πρόδηλον δὲ ὡς μεγάλου μὲν καὶ ἀντιτύπου φα-
νέντος οἰδήματος ἐν ἄκρῳ τῷ κώλῳ κατὰ τὴν δευτέραν ἡμέραν,
αὐτίκα λυτέον ἐστὶ, καὶ καταντλητέον ὕδατι πολλῷ θερμῷ παρα-
χέοντα δαψιλῶς ἔλαιον, ἐπιδετέον τε μετρίως πιέζοντα· εἰ δὲ μηδὲ
ὅλως εἴη γεγονὸς οἴδημα κατὰ τὴν δευτέραν ἡμέραν, ἐν τῇ τρίτῃ
20 τῶν ἡμερῶν λύσας, ἐπίδησον εὐτονώτερον. Εἰ δὲ μέτριον εἴη γε-
γονὸς, ὁ μὲν Ἱπποκράτης ἐπιλύει καὶ τοῦτο διὰ τρίτης, ἐγὼ δὲ εἰς
τὴν τετάρτην ἡμέραν ἀναβαλλόμενος ἐνίοτε, καὶ μάλιστα ἐν χει-
21 μῶνι, χεῖρον οὐδὲν εὗρον ἐκ τούτου γενόμενον. Εἰ μὲν οὖν ἰσο-
παχὲς ἦν ἕκαστον τῶν μορίων, ὁ πλατύτατος ἂν ἐπίδεσμος ἄριστος
ὑπῆρχεν, ὅλον ὁμαλῶς τε καὶ συνεχῶς ἐκ παντὸς μέρους περιλαμ-
βάνων τὸ κατεαγός· ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, τῷ μὲν θώρακι περι-
βάλλειν ἐγχωρεῖ τὸν πλατὺν, οὔτε δὲ ἐπὶ τῶν κώλων, οὔτε ἐπὶ

la compression exercée sur la fracture a été insuffisante; et, s'il survient
une tuméfaction dure, que la fracture a été trop fortement comprimée.
19 Il est évident que, s'il apparaît le second jour une tuméfaction considé-
rable et résistante à l'extrémité du membre, il faut immédiatement dé-
faire l'appareil, pratiquer une affusion avec une grande quantité d'eau
chaude à laquelle on ajoute de l'huile en abondance, et réappliquer les
bandes en serrant modérément; si, au contraire, il ne s'est pas formé de
tuméfaction le second jour, vous déferez les bandes le troisième jour, et
20 vous les réappliquerez plus fortement. S'il s'est formé une tuméfaction
modérée, Hippocrate lève l'appareil tous les trois (*deux*) jours; mais
moi, j'ai quelquefois différé de le lever jusqu'au quatrième jour, sur-
tout en hiver, et je ne me suis pas aperçu qu'il en fût résulté quelque
21 conséquence fâcheuse. Si toutes les parties avaient une épaisseur uni-
forme, la bande la plus large serait la meilleure, vu qu'elle entourerait
le membre de toute part également et sans interruption; comme il
n'en est pas ainsi, on peut entourer la poitrine d'une bande large,
tandis que la même chose ne saurait se pratiquer ni pour les membres,

2. μέν om. RU. — 5. ἐλαίου U. — Ib. ἐπιδεῖν RU. — Ib. δέ U. — Ib. πιε- ζοῦντα R. — 9. ἐνίοτε μὲν καὶ πέμπτην, μάλ. Gal. — 13-14. περιβαλεῖν R.

κλειδὸς, ἀλλὰ ἐπὶ τῶν τοιούτων ἀμείνων ὁ στενὸς, μήτε ῥυτιδούμε-
νος, ἅπαντός τε μορίου ψαύων. Ἀλλὰ οὗτός γε οὐκ ἀσφαλὴς, ὀλί- 22
γαις λαβαῖς συνέχων τὸ κατεαγός. Ὅσον οὖν εἰς ἀσφάλειαν αὐτῷ 23
διὰ τὴν στενότητα λείπει, τοῦτο ἔκ τε τοῦ πλήθους τῶν περιβολῶν
καὶ τῆς ἐπὶ τὸ ὑγιὲς νομῆς προστιθέναι. Ἱπποκράτης μὲν οὖν τό 24
τε πλάτος καὶ τὸ μῆκος τῶν ἐπιδέσμων ὥρισεν ἐν τῷ Κατὰ ἰητρεῖον,
εἰπὼν τριῶν ἢ τεττάρων πήχεων μὲν μῆκος, δακτύλων δὲ πλάτος,
τῶν ἰδίων δηλονότι τοῦ ἐπιδεομένου· γελοῖον γὰρ τριῶν ἐτῶν εἰ
τύχοι παιδίον, οὕτω μακροῖς ὀθονίοις ἐπιδεῖν ὡς ἀνδρὸς τελείου
τεσσάρων εἶναι πήχων τὸ μῆκος. Βέλτιον δὲ πρὸς τὸ μέγεθος τοῦ 25
κατάγματος ἁρμοττομένους ἡμᾶς εὑρίσκειν τὸ μῆκος τῶν ὀθονίων·
εἰ γὰρ δὶς μὲν καὶ τρὶς αὐτῷ τῷ κατάγματι περιβάλλειν χρὴ, μετὰ
δὲ ταῦτα πυκναῖς ταῖς περιβολαῖς χρώμενον ἄνω τελευτῆσαι, πολὺ
τοῦ ὑγιοῦς ἐπιλαμβάνοντα, τηλικοῦτον δηλονότι τὸ πρῶτον ὀθό-

ni pour la clavicule : au contraire, pour ces parties-là, une bande étroite
est préférable, car elle ne se plisse pas et s'adapte à toutes les inégalités.
Cependant, une telle bande ne maintient pas le membre avec sûreté, 22
attendu qu'elle n'en recouvre qu'une petite partie. Ce qui manque, sous 23
le rapport de la sûreté, à cause de l'étroitesse, doit être suppléé par le
nombre des tours et l'empiétement sur la partie saine du membre. Hip- 24
pocrate a déterminé la largeur et la longueur des bandes en disant, dans
le traité de l'*Officine du médecin* (§ 12) : « longueur de trois ou quatre
coudées et largeur d'un nombre égal de doigts, » c'est-à-dire de doigts
et de coudées de celui même auquel on applique les bandes ; car il serait
ridicule d'appliquer à un enfant de trois ans, par exemple, un appareil
composé de bandes de la longueur de quatre coudées d'un homme
adulte. Cependant il vaut mieux que nous déterminions la longueur des 25
linges en la proportionnant à l'étendue de la fracture ; en effet, s'il faut
faire deux ou trois tours de bande sur la fracture elle-même, s'il faut
après cela finir en haut, en employant des tours de bande nombreux et
en comprenant une grande étendue de la partie saine du membre dans
la déligation, il est clair que le premier linge doit être assez long pour

7. τριῶν ἢ τεσσ. ἢ πέντε ἢ ἕξ Hipp. — 13. ἐπιβολαῖς RU.

νιον προσήκει ὑπάρχειν ὡς ἐξαρκέσαι ταῖς εἰρημέναις περιβολαῖς.
26 Ὡσαύτως δὲ καὶ κατὰ τοὺς ἄλλους ἐπιδέσμους γινέσθω τὸ μῆκος
61
27 αὔταρκες ὡς ταῖς ὑπὸ αὐτοῦ γινομέναις ἑλίξεσιν ἐξαρκέσαι. | Τό γε
μὴν πλάτος τῶν ἐπιδέσμων ἐξ ὧν Ἱπποκράτης εἴρηκε σκοπῶν εὑ-
28 ρήσεις· ἡρμόσθαι μὲν γάρ φησιν, πεπιέχθαι δὲ μή. Τὸ δὲ « ἡρμό-
σθαι » τὸ οἷον ἐστηρίχθαι δηλοῖ, τοῦτο δὲ ἔσται μὴ πάνυ πλατέων
παρασκευασθέντων τῶν ὀθονίων· ῥυσοῦται γὰρ ἐν ταῖς περιβολαῖς
τὰ τοιαῦτα, ἐπεὶ ἄλλως γε τὸ πλατύτερον ὀθόνιον, ὡς ἂν πλείονα
τόπον περιλαμβάνον, ἀσφαλέστερον κρατεῖ τὰ κατεαγότα μόρια
τῶν ὀστῶν, καὶ ὅσον ἐπὶ τούτῳ κάλλιστος ἂν ἦν ἐπίδεσμος ὁ πλα-
τύτερος, ἀλλὰ ἐπειδὴ ῥυσούμενος ὁ τοιοῦτος, ἐν οἷς ἂν πάθῃ τοῦτο
μέρεσιν, ἑαυτοῦ χαλαρώτερος γινόμενος, ἀπόλλυσι τὴν ἀσφαλῆ λα-
βὴν τῶν ὑποκειμένων σωμάτων, διὰ τοῦτο χρὴ μὴ πάνυ πλατὺν
29 ὑπάρχειν αὐτόν. Αὐξανέσθω δή σοι τὸ τοῦ ἐπιδέσμου πλάτος ἄχρις
ἂν ἐνδέχηται ὡς μηδέπω χαλαρόν τι αὐτοῦ γίνεσθαι μέρος· διὸ καὶ

26 suffire aux tours de bande que nous venons de décrire. Pour les autres
appareils, la longueur des bandes doit également être assez considérable
27 pour suffire aux tours qui se font avec elles. Vous trouverez la largeur
des bandes en tenant compte des indications fournies par Hippocrate;
il dit (*l. c.* § 8) : « elles doivent s'adapter exactement et non comprimer. »
28 Les mots *s'adapter exactement* signifient, pour ainsi dire, *être rendues immobiles;* or on obtiendra ce résultat en préparant des linges qui ne soient
pas extrêmement larges, car des linges trop larges se plissent quand on
les applique, quoique, du reste, un linge retienne d'autant plus sûrement
les parties fracturées des os, qu'il est plus large, vu qu'il embrasse une étendue plus considérable; sous ce point de vue, le linge le plus large serait le meilleur; mais, comme en se plissant une bande large devient
plus lâche là ou elle est appliquée que si elle ne se plissait pas, et
qu'ainsi elle devient incapable de maintenir solidement les parties qu'elle
29 entoure, elle ne doit pas être extrêmement large. Vous augmenterez
donc la largeur de la bande autant que vous le pourrez, mais sans que
pour cela aucune de ses parties se relâche : c'est aussi pour cette raison

1. ἐπιβολαῖς U. — 14. δέ U.

τὰ τοιαῦτα πάντα κάλλιον ὁ τετριμμένος τοῖς ἔργοις πράξει· σlο-
χασlικοὶ γὰρ οἱ σκοποὶ, καὶ οὐδεὶς τοιοῦτος οἷος ἐν τῷ γράφειν τε
καὶ ἀναγινώσκειν. Ἀλλὰ ἐπεὶ τῶν ἐπιδέσμων ὅσοι πιλοῦσί τε καὶ 30
σφίγγουσιν ἀλύπως τὴν σάρκα, φύσιν ἔχουσιν ἐκθλίβειν μὲν ἐξ
ἐκείνων τῶν μορίων οἷς πρώτοις ἐπιβάλλονται τοὺς χυμοὺς, ἐναπο-
τίθεσθαι δὲ καὶ σlηρίζειν εἰς ἅπερ ἐτελεύτησαν, εὔλογον οἶμαι βάλ-
λεσθαι τὴν ἀρχὴν ἐπὶ αὐτοῦ τοῦ πεπονθότος, καὶ νέμεσθαι τοὐν-
τεῦθεν ἐπὶ τὸ ὑγιές. Δύο οὖν ἐπιδέσματα πρῶτα ποιησάμενος, 31
τῷ μὲν ἑτέρῳ τῷ προτέρῳ τὴν νομὴν ἀπὸ τοῦ πεπονθότος ἐπὶ τὰ
ἄνω ποιήσῃ, τῷ δὲ ὑπολοίπῳ κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς κατὰ
αὐτοῦ τοῦ κατάγματος, εἶτα ἐπὶ τὰ κάτω, κἀκεῖθεν παλινδρομήσεις
ὡς εἰς ταὐτὸν τῷ προτέρῳ τελευτῆσαι· τὰς γὰρ ἐπιῤῥοὰς τοῦ αἵμα-
τος ἐν τοῖς κατάγμασι πρὸς τῶν ἐπιδέσμων κωλύεσθαι, τὴν ἀρχὴν
ἐχούσας ἐκ τῶν ἄνω μερῶν τῶν κώλων, ἔτι τε τὸ περιεχόμενον ἐν

qu'un homme versé dans la pratique fera mieux qu'un autre toutes ces
choses-là; car les indications sont des déterminations approximatives, et
aucun cas n'est semblable à la description qu'on écrit ou qu'on lit. Mais, 30
comme les bandes qui serrent et compriment la chair sans incommoder
ont, par leur nature, la propriété d'expulser les humeurs des parties
sur lesquelles on commence leur application, tandis qu'elles déposent
et fixent ces humeurs dans celles où se termine la déligation, il est
raisonnable, je pense, de placer le chef de la bande sur la partie malade
elle-même et de l'enrouler, en partant de là, dans la direction de la partie
saine du membre. Vous préparerez donc d'abord deux bandes, et, avec 31
l'une d'elles, c'est-à-dire avec la première, vous ferez marcher les tours
de bande de la partie affectée vers le haut, tandis que vous placerez les
premiers tours de l'autre bande sur la fracture elle-même, pour la diri-
ger ensuite vers le bas, et, à partir de là, vous remonterez de nouveau,
de manière à faire aboutir les tours de la seconde bande au même point
que ceux de la première : car, dans les cas de fracture, les bandes doivent
empêcher l'afflux du sang, lequel a son point de départ dans les parties
supérieures des membres, et elles doivent, en outre, expulser celui qui

7. ἀπό RU. — 8. λοιπὸν κῶλον Gal. γὰρ τάς Gal. — 13. ἐν..... ἐπιδέσμων om. — 11. παλινδρομεῖν R. — 12. βούλεται Gal. — 14. τοῦ κώλου Gal.

Cocchi 61.

32 τοῖς περὶ τὸ κάταγμα μέρεσιν ἐκθλίϐεσθαι. Ἡ μὲν οὖν ἐπιῤῥοὴ μίαν ὁδὸν ἔχει τὴν ἄνωθεν κάτω, ἡ δὲ ἔκθλιψις ἀμφοτέρας, τήν τε ἄνωθεν κάτω, καὶ τὴν κάτωθεν ἄνω· καὶ γὰρ εἰς τὰ κάτω τοῦ κώλου δυνα-
33 τὸν ἐκθλῖψαι, καὶ εἰς τὰ ἄνω. Βέλτιον δὲ ἐκθλίϐεσθαι τὸ αἷμα τοῦ πεπονθότος μορίου πρός τε τὰ ὑπερκείμενα μέρη τοῦ κώλου καὶ τὸ σῶμα πᾶν, ἐπειδὴ τὸ ἄκρον ἔλαττόν ἐστιν ἢ ὥστε δέξασθαι χωρὶς βλάϐης δαψιλῆ χυμὸν, ὅπου καὶ μετὰ τὸν πρῶτον ἐπίδεσμον ἐκθλίϐοντα τοῦ πεπονθότος μορίου τὸ αἷμα πρὸς τὴν ἀρχὴν τοῦ κώλου, ἐὰν ὁ δεύτερος δαψιλέστερον σφίγγῃ, φλεγμονὴ γίνεται κατὰ τὸν
34 καρπὸν καὶ τοὺς δακτύλους. Διὰ ταῦτα τοιγαροῦν ἄνω πρῶτον ἐκπιέζειν χρὴ, μάλιστα μὲν εἰ οἷόν τε πᾶν τὸ λυπῆσον, εἰ δὲ ὑπολείποιτό τι μικρὸν, ἐκθλίϐειν τοῦτο κάτω διὰ τοῦ δευτέρου τῶν ἐπιδέσμων.
35 Τοῦ μὲν οὖν προτέρου τῶν ὀθονίων τὴν ἀρχὴν ἐπὶ τὸ κάταγμα δὶς ἢ τρὶς περιϐαλεῖς, τοῦ δευτέρου δὲ ἅπαξ, ὥστε ἄνω μᾶλλον ἢ κάτω

32 est contenu dans les parties voisines de la fracture. Or l'afflux n'a qu'une seule route, celle de haut en bas; mais l'expulsion peut se faire par les deux, par celle de haut en bas, et par celle de bas en haut: en effet, on peut expulser aussi bien vers les parties inférieures du membre que vers
33 les parties supérieures. Cependant il vaut mieux exprimer le sang de la partie malade vers les parties supérieures, et [par suite] vers tout l'ensemble du corps, parce que l'extrémité du membre est trop petite pour accueillir sans inconvénient des humeurs abondantes, outre que, si l'application de la première bande, qui exprime le sang de la partie malade vers l'extrémité du membre, était suivie de celle d'une seconde qui serrerait plus vigoureusement, il surviendrait de l'inflammation au carpe et aux
34 doigts. Pour cette raison donc il faut exprimer d'abord vers le haut et s'attacher surtout à expulser, s'il est possible, tout ce qui pourrait incommoder plus tard; s'il restait une petite quantité d'humeur, il faudrait l'ex-
35 pulser vers le bas à l'aide de la seconde bande. On fera donc, pour les motifs que nous venons d'exposer, avec le chef de la première bande, deux ou trois tours autour de la fracture, tandis qu'on n'en fera qu'un seul avec celui de la seconde, de manière à exprimer les liquides contenus

14. περιϐαλεῖν U.

τὸ περιεχόμενον τοῖς περὶ τὸ κάταγμα μέρεσιν ἐκθλίβεσθαι, διὰ
τὴν εἰρημένην αἰτίαν. Διὰ τοῦτο καὶ ἧτ7ον σφίγγεσθαι τὸ κῶλον 36
προσῆκεν ὑπὸ τοῦ δευτέρου τῶν ἐπιδέσμων· ἔνθα μὲν γὰρ ἔσφιγκται
μᾶλλον ἡ ὑποκειμένη σάρξ, ἐκθλίβεται τὸ περιεχόμενον ὑγρὸν ἐν
αὐτῇ | πρὸς τὰ πέριξ· ἔνθα δὲ ἧτ7ον, ἐνταῦθα δέχεται τὸ μεταρρέον 62
ἐκ τῶν μᾶλλον θλιφθέντων. Ἐν μὲν οὖν τῇ πρώτῃ τῶν ἡμερῶν, 37
εἰς ὅσον προσήκει πιέζειν οὐ πιέσομεν, ὀδυνωμένου τοῦ κάμνοντος
ἐπὶ τῇ πληγῇ· πάντων δὲ καλῶς γενομένων, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἀνωδυνώτερον ἔχοντες τὸν ἄνθρωπον, αὐξήσομεν τὴν τάσιν· οὐ μὴν οὐδὲ νῦν εἰς ὅσον ἡ διάθεσις ἀπαιτεῖ· τοῦτο γάρ, ἐὰν ὀρθῶς πάντα γένηται, κατὰ τὴν πέμπ7ην ἡμέραν ὑπάρξει· διὸ καὶ τοῖς ὀθονίοις πλείσ7οις χρήσασθαι τηνικαῦτα δεῖ, καὶ τῇ τάσει τελειοτάτῃ, ὡς εἴ γε διά τι πλημμεληθὲν ἐν τῷ μεταξὺ μηδέπω τελείως ἀφλέγμαντον εἴη τὸ κῶλον τῇ πέμπ7ῃ τῶν ἡμερῶν, οὐ χρησόμεθα

dans les parties voisines de la fracture plus fortement vers le haut que
vers le bas. Pour cette raison, il convient aussi que la seconde bande 36
serre moins fortement le membre: en effet, dans l'endroit où la chair sous-jacente est le plus fortement serrée, le liquide qui y est contenu est exprimé vers les parties environnantes; là, au contraire, où elle l'est moins, elle reçoit ce qui s'écoule des parties plus fortement compri-
mées. Le premier jour, nous ne serrerons donc pas autant que le com- 37
porte la fracture, attendu que le malade éprouve déjà de la douleur par suite de son accident; mais, si tout s'est passé comme il convient, et si, le troisième jour, nous trouvons le malade avec moins de douleurs, nous augmenterons la compression; cependant nous ne serrerons pas même alors autant que la fracture l'exige : car, si tout s'est passé suivant les règles, la déligation serrée ne doit avoir lieu que le cinquième jour : pour cette raison, il faudra aussi, ce jour-là, employer une très-grande quantité de linges et pratiquer une compression tout à fait suffisante; de même, si, le cinquième jour, le membre n'est pas encore complétement exempt d'inflammation, à cause de quelque faute commise pendant l'époque

7. *εἰς ὅσον* ex em.; *εἰ ὅσον* Gal.; *ὅθεν* RU. — 8. *γεγενημένων* Gal. — 11. *γίγνηται* RU. — 12. *χρῆσθαι* Gal. — 13. *τελέως* U Gal.

Cocchi 62.

τοῖς ὀθονίοις πᾶσιν· ἡ μὲν γὰρ ἀσφάλεια τῆς τῶν κατεαγότων
ἐπιδέσεως ἐκ τῆς πιέσεως καὶ τοῦ πλήθους τῶν ὀθονίων γίνεται.
38 Μάλιστα δὲ αὐτῇ χρώμεθα κατὰ ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ προσε-
σταλμένον μὲν ἱκανῶς φαίνεται τὸ περὶ τὸ κάταγμα χωρίον, αὐτὸ
39 δὲ τὸ συντετριμμένον ὀστοῦν χαλαρὸν καὶ εὐπαράγωγόν ἐστιν. Ἐὰν
οὖν ποτε συμβῇ μὴ γίνεσθαι τοῦτο κατὰ τὴν πέμπτην ἡμέραν, ἀνα-
40 μενοῦμεν ἑτέραν ἐπίλυσιν. Ἐπιδέοντα δὲ δεῖ τὸν πρῶτον ἐπίδεσμον
τὰ μὲν δεξιὰ μέρη πεπονθότα περιτρέπειν ἐπὶ ἀριστερὰ, τὰ δὲ ἀρι-
στερὰ τοὐναντίον ἐπὶ τὰ δεξιά· γίνεται δὲ τοῦτο, τὴν μὲν ἀρχὴν τοῦ
ἐπιδέσμου βαλλομένων ἡμῶν κατὰ τὸ πεπονθὸς μέρος, οὐκ ἀκριβῶς
κατὰ αὐτοῦ τοῦ κατάγματος ἢ τοῦ ἕλκους, ἀλλὰ ἔνθεν καὶ ἔνθεν
τούτου, κἄπειτα τῇ μὲν ἑτέρᾳ χειρὶ τὴν ἀρχὴν κρατούντων, τῇ δὲ
ἑτέρᾳ περιτρεπόντων ἐπὶ τἀναντία τὸ πεπονθὸς ἅμα τῷ πιλεῖν·
ἐπειδὰν δὲ εἰς τὸ ἀντικείμενον μέρος ὁ ἐπίδεσμος ἐλιττόμενος γέ-
νηται, μηκέτι ἐκεῖ σφιγγόντων ὁμοίως, ἔτι δὲ μᾶλλον οὐδὲ περι-

intermédiaire, nous n'emploierons pas tous les linges; car la sûreté de
la déligation des membres fracturés tient à la compression et à la grande
38 quantité des linges. Nous employons surtout la compression à l'époque
où la région qui entoure la fracture se montre suffisamment ferme et
39 dégonflée, tandis que l'os lui-même est lâche et facile à déplacer. Si donc
il arrive parfois que cet état n'existe pas le cinquième jour, nous atten-
40 drons un des autres jours consacrés à lever l'appareil. En appliquant la
première bande, il faut repousser les parties droites du membre vers le
côté gauche, et les parties gauches, au contraire, vers le côté droit; or on
arrive à ce résultat par le procédé suivant : placer le chef de la bande
sur la partie affectée, non pas exactement sur la fracture ou la plaie
même, mais d'un côté ou de l'autre (*à gauche ou à droite*), tenir ensuite
le chef avec l'une de nos mains, avec l'autre repousser le côté de la partie
affectée à l'encontre de la bande, tout en serrant; la bande étant arrivée,
en se déroulant, au côté opposé, ne plus serrer sur ce point-là avec la
même force, et, à plus forte raison, ne pas refouler aussi fortement le

2. ἐκ τῆς πιέσεως om. Gal. — 11. — Ib. κἄπ..... κρατούντων om. Gal. — ἔνθα καὶ ἔνθα RU. — 12. τούτων Gal. 13. τοῦ πεπονθότος U.

τρεπόντων ἄχρις ἂν ἐν κύκλῳ περιελιτ7όμενος ὁ ἐπίδεσμος ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἀφίκηται· τηνικαῦτα γὰρ ᾗ κατείχομεν ἔμπροσθεν χειρὶ τὴν ἀρχὴν, ταύτῃ πάλιν ἐκεῖνο τὸ μέρος τοῦ ἐπιδέσμου τὸ ψαῦσαν αὐτῆς ἐπιτιθέντες, κατὰ αὐτῆς ἀσφαλῶς κρατοῦμεν, ὥσ7ε δευτέρας αὖθις ἄρξασθαι κατὰ τῶν αὐτῶν ἐπιϐολῆς, ὁμοίως τῇ πρώτῃ πιλούσης τε καὶ περιτρεπούσης ἐπὶ τἀναντία. Καὶ ταύτην πάλιν 41 ὡσαύτως τῇ πρώτῃ περιελίξαντες, ὅταν αὖθις ἐπὶ τὴν ἀρχὴν ἀφικώμεθα, κρατήσαντες ὁμοίως τῇ ἑτέρᾳ χειρὶ τὸν ἐπίδεσμον, ἀνατείνομεν τῇ ἑτέρᾳ πιλοῦντες καὶ περιτρέποντες ἐπὶ τὸ ἀντικείμενον μέρος τὸ πεπονθός· οὕτω γὰρ ἰσόῤῥοπον ἀπεργασθήσεται τὸ κατεαγὸς ὀσ7οῦν. Τὰ δὲ ὀθόνια καθαρὰ μὲν ἔσ7ω, ὅπως μήτε δῆξις 42 ἐκ τοῦ ῥύπου γίνοιτο, μήτε διικνεῖσθαι πρὸς τὸν χρῶτα τῶν ἐπιϐρεχομένων ὑγρῶν ἡ δύναμις εἴργοιτο· κοῦφα δὲ ὅπως μὴ βαρύνοιτο ὁ πεπονθὼς τόπος, λεπ7ὰ δὲ καὶ κουφότερα ταῦτα καὶ μαλακώτερα

membre en sens inverse, jusqu'à ce que la bande, en se déroulant tout autour du membre, soit arrivée sur son propre chef; car alors nous emploierons de nouveau la main qui nous servait auparavant à retenir le chef, pour appliquer sur lui et pour l'y retenir solidement la partie de la bande qui le touche, de manière à pouvoir commencer de nouveau un second tour sur les mêmes parties, qui serrera et refoulera le membre en sens inverse avec la même force que le premier. Puis, quand 41 nous aurons de nouveau déroulé ce second tour de la même manière que le premier, et que nous serons arrivé encore une fois sur le chef, nous emploierons également l'une de nos mains pour retenir la bande, tandis qu'avec l'autre nous l'attirerons, en serrant et en refoulant vers le côté opposé la partie affectée; car, de cette manière, nous arriverons à ce résultat que l'os fracturé ne penchera pas plus d'un côté que de l'autre. Les linges doivent être propres, afin que la crasse ne cause pas d'irrita- 42 tion et n'empêche pas la vertu médicale des liquides qu'on emploie sous forme d'embrocation de pénétrer jusqu'à la peau; ils doivent être légers pour ne pas peser sur la partie affectée; d'ailleurs, s'ils sont minces, légers et mous, ils livrent facilement passage aux embrocations; ils doivent

1. ἄχρι U. — 9. τε καί R Gal. — 10. πεπονθότος RU. — 14. λεπ7ὰ δὲ ὅτι τὸ πεπονθός ex em.; πεπονθός Gal.; τοῦ καί R; om. Gal.

Cocchi 62-65.

καὶ τὰς ἐπιβροχὰς ἑτοίμως διαπέμπει, μαλθακὰ δὲ ὅπως μὴ θλίβοι.
43 Πρόδηλον δὲ ὅτι τούτων ἕκαστον εἰς τὸ μὴ φλεγμῆναι τὸ πεπονθὸς
44 μόριον συντελεῖ. Ἔστω δὲ καὶ ὁμαλὸν καὶ ὅμοιον ἑαυτῷ πάντη
τὸ ὀθόνιον, ὡς μὴ σκληρόν τι ὑπάρχειν ἐν αὐτῷ, μήτε μαλακώτερον, μήτε στενότερον, ἢ λεῖπόν τι καὶ διαβεβρωμένον, ἢ ἐξέχον καὶ
65 45 παχὺ, καθάπερ ἐπὶ τῶν | παρυφασμάτων γίνεται. Καὶ τετάσθω δὲ
ὁμοίως ἐν ἅπασι τοῖς μέρεσιν ὁ ἐπίδεσμος, ἐσφίγχθω τε ἔξω πρὶν ἐπιβάλλεσθαι τῷ σώματι· εὐληπτότερος γὰρ οὕτως ἔσται, διότι καὶ
46 λεπτότερος, ἀποτεταμένας τε τὰς περιβολὰς ἔχων. — Πρὸς δὲ
τὸ μὴ φλεγμῆναι καὶ φαρμάκῳ τινὶ χρήσῃ τῶν ἀφλεγμάντων οἷά-
47 περ ἐστὶν ἡ ὑγρὰ κηρωτή. Τὸν ἐπίδεσμον οὖν ἑλίσσοντα, καθά
φησιν Ἱπποκράτης, ἀμφὶ τὸ κατεαγὸς, σὺν αὐτῷ χρῆσθαι προσήκει κηρωτῇ μαλθακῇ καὶ καθαρῇ καὶ λείῃ· οὐ γὰρ δὴ μόνον τὸ δέρμα τοῦ πάσχοντος ἐπαλείφεσθαι βούλεται ξηρῶν αὐτῷ περιβαλλομένων τῶν ἐπιδέσμων, ἀλλὰ καὶ κατὰ ἑκάστην ἐπιδέσμου περιείλησιν ἀκολουθεῖν ἐπιχριομένην αὐτῷ τὴν κηρωτήν· εἰ γὰρ μό-

43 être mous pour ne pas causer de compression. Il est clair que chacune de ces circonstances contribue à empêcher la partie affectée de s'en-
44 flammer. Le linge devra être uni, d'une texture uniforme, de manière à ce qu'il n'y ait aucune partie dure, aucune qui soit ou plus molle, ou plus étroite que les autres, aucune qui soit trouée ou rongée, qu'aucune enfin ne soit saillante et épaisse, comme cela a lieu pour la lisière des
45 étoffes. Il faut aussi que la bande soit également tendue dans toutes ses parties, et on l'étirera avant de l'appliquer; de cette manière on la saisira plus facilement, parce qu'elle deviendra aussi plus mince; et elle sera ten-
46 due régulièrement. — Pour empêcher l'inflammation, employez quelque médicament du nombre de ceux qui la préviennent; tel est, par exemple,
47 le cérat liquide. En roulant la bande autour du membre fracturé, comme le dit Hippocrate (*Officine*, § 12), il convient d'employer en même temps du cérat mou, pur et homogène : car il ne se borne pas à oindre la peau du malade au moment où on place dessus des bandes sèches, mais il veut aussi que chaque tour de bande soit enduit de cérat; en

6. πάνυ R Gal.; γρ. παχύ R ad calc. — 7. ἐν om. R U. — 8. διό R U. — 13. ἤδη Gal. — 16-p. 116, l. 1. μόνη U; μόνην Gal.

νον χρήσαιτό τις αὐτῇ κατὰ τοῦ δέρματος, ἀποστερήσει τὸ πεπονθὸς
μόριον ἐν τάχει τῆς γινομένης αὐτῷ βοηθείας ἐκ τῆς κηρωτῆς, ἀνα-
πινόντων μὲν τῶν ὀθονίων αὐτὴν ὑγρὰν οὖσαν, αὐχμηρὸν δὲ ἐργα-
ζομένων ἐκ τούτου τὸ δέρμα, καὶ τὴν θερμασίαν τῶν μορίων αὐ-
ξανόντων, καὶ διὰ τοῦτο καὶ τὴν ἐκ τῶν πλησιαζόντων χωρίων
ὑγρότητα πρὸς τὸ πεπονθὸς ἐπισπωμένων. Τὴν κηρωτὴν δὲ διὰ 48
τί μὲν εἶναι μαλθακὴν ἀξιοῖ, πρόδηλον· ἀντὶ γὰρ ἐπιβροχῆς αὐτῇ
χρῆται. Καὶ καθαράν γε εἶναι βούλεται αὐτὴν, τουτέστι μηδὲν ἐμ- 49
φερόμενον ἔχουσαν ἐν ἑαυτῇ μήτε προπόλεως, μήτε ῥύπου, μήτε
γεώδους, ἢ ψαμμώδους οὐσίας, ἢ ἄλλης τινὸς παρὰ τὸν κηρόν· εἴη
δὲ ἂν εὐθέως ἡ τοιαύτη καὶ λεία, πλὴν εἰ διὰ τὰς ὀνομαζομένας
ἐγκηρίδας ἐπὶ πλέον ἡ λεία τῆς καθαρᾶς νοοῖτο. Ἄξιον δὲ ἐπισκέ- 50
ψεώς ἐστι, διὰ τί κηρωτῇ κελεύει νῦν χρῆσθαι, καίτοι γε ἐν οἷς
ἐξέσχεν ὀστοῦν τοῦ δέρματος, οἴνῳ χρώμενος αὐστηρῷ μέλανι. Δο- 51
κεῖ δέ μοι φρονεῖν μὲν ὡς περὶ γενναιοτέρου βοηθήματος εἰς τὰ
τοιαῦτα τοῦ οἴνου, παραλείπειν δὲ αὐτὸν ἐπὶ τῶν ἄλλων καταγμά-

effet, si on l'appliquait uniquement sur la peau, on priverait bientôt la
partie affectée de l'avantage qu'elle retire du cérat, attendu que les linges
absorberaient ce médicament qui est humide, rendraient par là la peau
sèche, augmenteraient la chaleur des parties et attireraient, par cette rai-
son, les liquides des régions voisines vers la partie affectée. La raison 48
pour laquelle il veut que le cérat soit mou est évidente; en effet, il
l'emploie à titre d'embrocation. Il veut aussi qu'il soit pur, c'est-à-dire 49
qu'il ne contienne aucun mélange soit de propolis, soit de crasse, soit de
substance terreuse, sablonneuse ou autre, si ce n'est la cire; un tel cérat
est nécessairement aussi homogène, si toutefois le mot *homogène* ne signi-
fie pas, à cause des grumeaux de cire [qui peuvent exister], quelque
chose de plus que celui de *pur*. Il est bon d'examiner pourquoi Hip- 50
pocrate ordonne, à ce propos, d'employer le cérat, quoique, dans les
cas où un os fait saillie à travers la peau, il se serve de vin âpre et noir.
Il me semble qu'il considère le vin comme un remède plus puissant pour 51
ces cas-là, et qu'il le laisse de côté dans les autres fractures où aucune

3. ὑγραίνουσαν Gal. — 7. εἶναι μαλθ. om. U. — 12. ἢ διὰ τὰς καθαράς U.

Cocchi 65-66.

των, ἐν οἷς οὐκ ἐγυμνώθη τῶν συντριβέντων ὀστῶν οὐδὲν, διὰ τὸ
πολλῆς ἐπιμελείας δεῖσθαι τὴν χρῆσιν· εἰ μὴ γὰρ συνεχῶς ἐπι-
βρέχοιτο, μεγίστη γίνεται βλάβη ξηραινομένων τῶν ὀθονίων· ἐπι-
βρέχειν δὲ συνεχῶς, καὶ μάλιστα νύκτωρ, οὐκ ἐθέλουσιν οἱ πλεῖστοι
52 τῶν ὑπηρετουμένων τοῖς κάμνουσιν. Ἀλλὰ ἐπειδήπερ εἰς τὰ ἔσχατα
νοσήματα αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκριβείην κράτισται, διὰ τοῦτο
ἐπὶ ὧν ἐξέσχεν ὀστοῦν, οἴνῳ χρῆσθαι κελεύει· λεχθήσεται γάρ
μοι κατὰ ἐκεῖνο τὸ χωρίον, ἔνθα χρῆται τῷ οἴνῳ, περὶ τῆς δυνά-
53 μεως αὐτοῦ. Νυνὶ δὲ ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν ὡς ἐπεὶ τὰ ἄλλα
κατάγματα δυνατὸν καὶ χωρὶς οἴνου θεραπεύεσθαι, μόνῃ τῇ κηρωτῇ
χρωμένων ἡμῶν, οὐκ ἀναγκαῖόν ἐστιν ἐπὶ αὐτῶν οἶνον προσφέ-
ροντα ἁμαρτεῖν ποτε διὰ τὴν τῶν ὑπηρετουμένων ἀμέλειαν· ἔνθα
δὲ μέγας ὁ κίνδυνος, ἐνταῦθα καὶ αὐτοὶ μὲν ἑκόντες οἱ ὑπηρέται τα-
λαιπωρεῖσθαι προαιροῦνται, καὶ ἡμῖν δὲ παρακαλοῦσι πείθονται.
66 54 | Καὶ μέντοι καὶ συνεχέστερον ἐπιφαινόμεθα τοῖς τοιούτοις διὰ τὸ τοῦ
κινδύνου μέγεθος, ἐνίοτε καὶ παραμένοντες ὅλης νυκτὸς, ὅταν μὴ

partie des os broyés n'a été dénudée, parce que son emploi exige beau-
coup de soin : en effet, à moins qu'on n'humecte constamment, il en
résulte un dommage considérable par le dessèchement des linges; or
la plupart des infirmiers ne veulent pas humecter constamment, surtout
52 pendant la nuit. Mais, comme, pour les extrêmes maladies, l'extrême
exactitude du traitement est ce qu'il y a de meilleur (*Aph.* I, 6), pour
cette raison, Hippocrate ordonne de recourir au vin dans les cas où un os
fait saillie : car, à propos de l'endroit où il prescrit le vin, je parlerai des
53 propriétés de ce médicament (voy. p. 136, l. 5 et suiv.). Pour le moment,
il suffit de dire que, les autres fractures pouvant être guéries aussi sans
vin, si nous employons le cérat seul, il n'est pas nécessaire, dans ces cas-
là, de nous exposer parfois, en administrant le vin, à une erreur, par
suite de la négligence des infirmiers; mais là où il y a un grand danger,
les infirmiers eux-mêmes se résignent volontiers à se donner beaucoup
54 de mal et obéissent de bon gré à nos exhortations. De plus, nous visi-
tons plus fréquemment ces malades à cause de la grandeur du péril;
quelquefois même nous restons toute une nuit avec eux, si nous n'avons

7. ἐξεῖχεν RU. — 11-12. προσφέροντας R.

Cocchi 66.

σφόδρα θαῤῥῶμεν τοῖς ὑπηρέταις. — Φρουρεῖ τε οὖν ἅμα καὶ 55
*σῆρίζει τὸ κατεαγὸς, ἀφλέγμαντόν τε φυλάτῆει τὰ πρῶτα δύο τῶν
ὀθονίων· οὐ μὴν ἱκανά γε μόνα πρὸς ἀμφοτέρας τὰς χρείας, ὅθεν
εἰς μὲν τὴν φρουρὰν ἐπικουρίαν αὐτοῖς ἕξεις τὴν τῶν σπληνῶν ἐπι-
Ϭολὴν ἅμα τοῖς ἔξωθεν ὀθονίοις τούτους αὐτοὺς σῆρίζουσι, πρὸς
δὲ τὸ μὴ φλεγμῆναι τὴν ὑγρὰν κηρωτήν. Τούς γε μὴν σπλῆνας* 56
*τριπῆύχους ἢ τετραπῆύχους εἶναι προσήκει, ἀριθμὸν δὲ αὐτῶν εἰκὸς
εἶναι τοσοῦτον, ὅσον ἂν αὐτάρκως περιλαμϐάνῃ τὸ κῶλον, καὶ τῷ
μήκει μὲν ἴσους τῇ ἐπιδέσει, τῷ πλάτει δὲ τριῶν ἢ τεσῆάρων δακτύ-
λων, τῶν αὐτοῦ τοῦ ἐπιδεομένου δηλονότι. Στηρίγματα μὲν οὖν* 57
*εἰσιν οἱ σπλῆνες τῶν πρώτων δυοῖν ἐπιδέσμων, οὓς ἰδίως ὑποδεσμί-
δας ὠνόμασεν· ἐπιϐάλλονται δὲ αὐτοῖς ἐναντίως· ἐκεῖνοι μὲν γὰρ
ἐγκάρσιοι περὶ τὸ κῶλον ἑλίτῆονται, κατὰ μῆκος δὲ οἱ σπλῆνες ἐπι-
τείνονται, τὴν τῶν πρώτων δυοῖν ὀθονίων ἐπίδεσιν ὅλην καταλαμϐά-*

pas grande confiance dans les infirmiers. — Les deux premières bandes 55
préservent à la fois et soutiennent l'os fracturé, et le tiennent à l'abri de
l'inflammation; mais elles ne suffisent pas seules à ces deux indications,
et, pour cette raison, on a recours à l'application des compresses, les-
quelles, conjointement avec les bandes extérieures qui les soutiennent à
leur tour, viennent au secours des premières bandes pour la préserva-
tion, et du cérat liquide, pour aider à prévenir l'inflammation. Les com- 56
presses doivent être pliées en trois ou en quatre, et il est convenable
que leur nombre soit assez grand pour entourer suffisamment le membre;
leur longueur devra être égale à celle de l'appareil, et il faut qu'elles
aient la largeur de trois ou quatre doigts, de ceux, bien entendu, de l'in-
dividu même auquel on applique l'appareil. Les compresses sont donc 57
des soutiens pour les deux premières bandes qu'Hippocrate (cf. p. ex.
Offic. § 12) a appelées spécialement *sous-bandes;* mais on les applique
dans une direction contraire à celle de ces bandes : en effet, on roule
ces bandes transversalement autour du membre, tandis qu'on étend
longitudinalement les compresses dessus, de façon à ce qu'elles occupent
toute la longueur de l'appareil formé par les deux premières bandes.

1. *Φρουρεῖται οὖν* R; *Φρουρεῖται* U. — 4. *τήν* om. U. — 6. *τῷ* Gal. — Ib. *τῇ ὑγρᾷ κηρωτῇ* RU. — 8. *τὸ ἐπιδούμενον κῶλον* Gal. — 10. *αὐτοῦ ἐπιδ.* U. — 11. *πρώτων* om. RU. — 12. *ἐπιϐάλλεται* Gal.

Cocchi 66.

58 νοντες. Κεχρῖσθαι δὲ αὐτοὺς ὀλίγῃ κηρωτῇ κελεύει· περιῤῥυΐσκονται γὰρ καὶ ἀστήρικτοι γίνονται διὰ τὸ πλῆθος, ὥσπερ διὰ τὴν ὀλιγότητα τὴν ἀρχὴν οὐδὲ ἐνωθήσονται ταῖς ὑποδεσμίσιν· ἔστι γὰρ
59 ὥσπερ τις κόλλα πρὸς ἐκείνας αὐτοῖς ἡ κηρωτή. Ἐπὶ σπληνῶν δὲ
60 καὶ θλῖψίς τις γίνεται ξηρῶν ἐπιτιθεμένων τῶν ὀθονίων. — Τὸ δὲ τῆς κλειδὸς ἢ πλευρᾶς κάταγμα περιλαμβάνειν ἐν κύκλῳ δυνατὸν οὐκ ἔστιν, ἀλλὰ ἐπὶ τούτων τὸ μέγεθος τοῦ κατάγματος ἐνδείξεταί σοι
61 τὸν ἀριθμὸν τῶν σπληνῶν. Ἐπὶ δὲ οὖν κλειδὸς εἰώθαμεν ὡς τὸ πολὺ χρῆσθαι τρισὶ τετραπτύχοις, τοὺς δύο μὲν τοὺς πρώτους εἰς ὁμοιότητα τοῦ Χ γράμματος ἐπιβάλλοντες, ὡς κατὰ αὐτοῦ τοῦ συντετριμμένου τὸ μέσον ἑκατέρου, κατὰ ὃ συμβάλλουσιν ἀλλήλοις, ἐπικεῖσθαι· τρίτον δὲ αὐτοῖς καὶ ἔξωθεν ἐπιτιθέντες κατὰ τὸ τοῦ σώματος μῆκος ἐκτεταμένον, αὐτούς τε τοὺς ὑποκειμένους σφίγγοντα,
62 καὶ τὸ κατεαγὸς μέρος τῆς κλειδὸς πιλοῦντα. Χρεία δὲ διττὴ τῶν σπληνῶν, κράτησίς τε τῶν ὑποδεσμίδων, ἀναπλήρωσίς τε ἐπί τινων

58 Hippocrate (*Fractures*, § 4) prescrit d'enduire les compresses d'un peu de cérat; car une trop grande quantité de ce médicament les ferait glisser de tous côtés et manquer de soutien; de même, si on employait trop peu de cérat, les compresses ne s'uniraient pas dès le premier instant aux sous-bandes; car le cérat forme une espèce de colle pour ces
59 deux parties de l'appareil. Du reste, on exerce aussi une espèce de pres-
60 sion sur les compresses, puisqu'on place des linges secs dessus. — Il est impossible d'entourer circulairement la fracture de la clavicule ou celle d'une côte; mais l'étendue de la fracture vous indiquera le nombre des
61 compresses qu'il faut employer. Pour la clavicule, nous avons l'habitude d'employer ordinairement trois compresses pliées en quatre; nous appliquons les deux premières en forme de la lettre X, de manière à ce que le point d'entre-croisement des deux compresses soit placé sur la fracture; puis nous en appliquons, à l'extérieur, sur celles-là une troisième, qui s'étend dans le sens de la longueur du corps, qui serre les compresses
62 sous-jacentes, et qui comprime la partie fracturée de la clavicule. Les compresses servent, d'une part, à retenir les sous-bandes, et, de l'autre,

2. πλ. αὐτῆς Gal. — 4. ἐκείνας ex αὐτούς RU. — 5. τις om. U Gal. — 12. em.; ἐκείνους RU; ἐκείνοις Gal. — Ib. τό om. U.

μορίων ἃ καλεῖν Ἱπποκράτης εἴωθε ἀπόξη τε καὶ ἀπόξυρα, καθά-
περ ἐπὶ πήχεως μὲν τὸ πρὸς καρπῷ, κνήμης δὲ τὸ πρὸς τῷ ποδί·
περιβάλλειν γὰρ ἐν τοῖς τοιούτοις ἀξιοῖ κυκλοτερῶς τοὺς σπλῆνας,
ὡς μετὰ τὴν ἐπιβολὴν τῶν ἔξωθεν ἐπιδέσμων ἴσην εἶναι τῷ πάχει
τὴν ἐπίδεσιν. Ἔστωσαν δὲ τῷ μὲν μήκει τηλικοῦτοι ὡς ἐν κύκλῳ 63
περιλαμβάνειν τὸ ἐπιδούμενον σῶμα, τῷ πάχει δὲ καὶ τῷ πλάτει
κατὰ τὴν ἔνδειαν τοῦ μορίου. Τὴν περιβολὴν δὲ τῶν σπληνῶν τού- 64
των οὐκ εἰς ἅπαξ ἀθρόαν, ἀλλὰ κατὰ βραχὺ ποιεῖσθαι δεῖ· λεπτο-
τέρους μὲν γὰρ τῷ πάχει τοὺς ἀνωτέρω τιθεμένους εἶναι δεήσει,
παχυτέρους δὲ τοὺς κατωτέρω· ἐὰν γὰρ ἀθρόως ἕνα περιβάλῃς,
ἔσται σοι σχῆμα τῆς κατὰ τοῦτο τὸ χωρίον ἐπιδέσεως, οἷον ἐξ ἀρ-
χῆς ὑπῆρχε τῷ κώλῳ. | Οἱ δὲ ἔξωθεν ἐπίδεσμοι κατὰ τῶν σπλη- 69 65
νῶν ἐπιβαλλόμενοι δύο μὲν ὡς τὰ πολλὰ γενήσονται, κάτωθεν μὲν
ἄνω τὴν φορὰν ποιούμενος ὁ ἕτερος αὐτῶν, ἄνωθεν δὲ κάτω πάλιν

à remplir, lorsqu'il s'agit de certaines parties qu'Hippocrate (*Offic.* 9; *Fract.* 4; *Art.* 77; *Mochl.* 25) appelle habituellement *effilées* ou *rabotées*, comme sont, pour l'avant-bras, la partie qui se rapproche du carpe, et, pour la jambe, celle qui se rapproche du pied : car il est d'avis, en de telles parties, de placer circulairement les compresses autour du membre, de façon qu'après l'application des bandes extérieures, l'appa-
reil ait partout la même épaisseur. La longueur de ces compresses devra 63
être assez considérable pour entourer circulairement le membre sur le-
quel on applique l'appareil, tandis que leur épaisseur et leur largeur
devront être en rapport avec les exigences de la partie. On ne placera 64
pas ces compresses d'un seul coup toutes à la fois autour du membre; mais on s'y prendra petit à petit; car celles qu'on place au-dessus des autres devront être plus minces et celles qu'on place au-dessous plus épaisses : en effet, si vous ne mettez qu'une seule compresse à la fois autour du membre, l'appareil aura, dans cette région, la même forme
que le membre présentait dès le commencement. Les bandes extérieures 65
qu'on place sur les compresses seront le plus souvent au nombre de deux, dont l'une marchera de bas en haut, et l'autre de haut en bas; on

10. γάρ om. U.

Cocchi 69.

ὁ ἕτερος· ἐγχωρεῖ γε μὴν καὶ τρεῖς καὶ τέτταρας αὐτοὺς ποιεῖν,
66 ἀλλὰ ἡμεῖς ἀεὶ δυσὶ χρώμεθα. Πρὸς τούτους οὖν τις ἀποβλέπων τοὺς
σκοποὺς, εὔδηλον ὅτι δυνήσεται στοχάζεσθαι κατὰ ἀρχὰς μὲν ταῖς
δύο μοίραις τῶν ὀθονίων χρῆσθαι, κατὰ ὃν δὲ ἂν χρόνον ἀφλέγμαν-
67 τον ᾖ τὸ πεπονθὸς μέρος, ταῖς τρισίν. Αἱ μὲν οὖν ὑποδεσμίδες
οὐκ ἐναλλὰξ ἀλλήλαις εἶχον τὴν νομὴν, ἀλλὰ ἐπὶ τοὐναντίον ἀμφό-
τεραι τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς ἐπανῆγον τὸ κῶλον· οἱ δὲ
μετὰ τοὺς σπλῆνας ἐπίδεσμοι, σκοπὸν ἔχοντες ὅλον μὲν τὸ κῶλον
ἰσόῤῥοπον, ἅπασαν δὲ τὴν ἐπίδεσιν, ὁποίαν παρέλαβον φυλάττειν,
ἔμπαλιν ἀλλήλοις ποιοῦνται τὴν νομὴν, ὁ μὲν ἐπὶ τὸ δεξιὸν μέρος,
ὁ δὲ ἐπὶ θάτερον ἑλιττόμενος, καὶ κάτω μὲν ὁ ἕτερος, ἄνω δὲ ὁ
ἄλλος· οὕτω γὰρ φυλάξουσι τὴν ἐπίδεσιν οἵαν παρέλαβον· διόπερ
αἱ μὲν ἐπὶ τὰ δεξιά τε καὶ ἀριστερὰ νομαὶ κατὰ πᾶν ἴσαι γινέσθω-
σαν, αἱ δὲ ἄνω καὶ κάτω μὴ πολὺ μὲν ἀλλήλων ὑπερεχέτωσαν,

peut aussi en mettre trois ou quatre; quant à nous, nous en employons
66 toujours deux. Si donc on tient compte de ces indications, il est clair
qu'on pourra, suivant les circonstances, employer au commencement
les deux tiers des linges, et n'y ajouter le troisième tiers qu'à l'époque
67 où la partie affectée est exempte d'inflammation. Les sous-bandes, di-
sions-nous (p. 110), ne s'appliquent pas de manière à se croiser; au con-
traire, toutes les deux ramènent le membre dans une direction oppo-
sée à celle qu'il avait prise, en s'écartant de sa position naturelle; mais
les bandes qu'on applique après les compresses, et qui ont pour but
d'empêcher que le membre ne penche plus d'un côté que de l'autre,
et de laisser tout l'appareil dans la même position où elles l'ont trouvé,
marchent en sens contraire l'une de l'autre, l'une se déroulant vers le
côté droit, et l'autre vers le côté gauche; l'une de haut en bas, et l'autre
de bas en haut : de cette manière elles conserveront à l'appareil la po-
sition où elles l'ont trouvé : pour cette raison, les tours qui vont à droite
et ceux qui vont à gauche doivent être égaux sous tous les rapports;
ceux qui vont en haut et en bas ne doivent pas différer en nombre
beaucoup les uns des autres; cependant la déligation qui marche de bas

4. δὲ om. R. — 11. ὁ post δὲ om. U.

*ὁμαλῶς δὲ οὖν ἡ κάτωθεν ἄνω πλεονεκτείτω τῆς ἄνωθεν κάτω γινο-
μένης· ἀσφαλέστερον γὰρ τοῦτο διὰ τὴν ὀλίγον ἔμπροσθεν εἰρημέ-
νην αἰτίαν, ἡνίκα εἰς τὴν ἀρχὴν τοῦ κώλου τὸ αἷμα συνεβουλεύομεν
ἐκθλίβειν ἀπὸ τοῦ κατάγματος. Τὴν δὲ θέσιν τοῦ κατεαγότος μο-* 68
*ρίου φησὶν ὁ Ἱπποκράτης ἀρίστην εἶναι τὴν μαλθακὴν καὶ ὁμαλὴν
καὶ ἀνάῤῥοπον, μαλθακὴν μὲν ὡς ἂν μὴ θλίβηται κατὰ ἐκεῖνο τὸ
μόριον ὁ κάμνων. Ἡ δὲ ἀνώμαλος θέσις ὀδυνηρά τέ ἐστιν ἅμα καὶ* 69
διαστρέφει τὸ κῶλον· εἰκότως οὖν τὴν ὁμαλὴν ἐπαινεῖ. Ἡ δὲ κατάῤ- 70
ῥοπος ῥευματίζουσα φλεγμονῆς αἰτία γίνεται. Ἐπὶ πάντων μὲν 71
*οὖν τῶν μορίων τοιαύτην εἶναι χρὴ τὴν θέσιν, ἐξαιρέτως δὲ ἐπὶ
τῶν ἐξεχόντων, ὁποῖόν ἐστιν ἰσχίον καὶ πτέρνα· ἐπεὶ δὲ ἐν ταῖς
τοιαύταις θέσεσιν καὶ ἄλλως ἐν ταῖς χρονίαις κατακλίσεσιν ἡ
πτέρνα μελαίνεται ἀμελῶς ἐπὶ σκληροῦ τε κειμένη καὶ μὴ συνεχῶς
ἐπαιρομένη, καὶ διὰ τοῦτό γε θερμαινομένη καὶ πιλουμένη πρὸς
τῶν ὑποκειμένων, εἰθίσμεθα ποιεῖν κυκλίσκον ἐξ ἐρίου μαλακοῦ· κα-*

en haut doit avoir le dessus sur celle qui se fait de haut en bas : car
cette façon d'agir est plus sûre, pour la raison que nous avons exposée
un peu plus haut, lorsque nous donnions le conseil d'expulser le sang
de la fracture vers l'extrémité du membre (p. 111). Hippocrate (*Offic.* 68
§ 14) dit que la meilleure position pour la partie fracturée est celle que
procure un plan mou, égal et ascendant; il recommande un plan mou,
afin que le malade n'éprouve pas de pression dans cette partie. Un plan 69
inégal est douloureux et en même temps tord le membre : c'est donc à
juste titre qu'Hippocrate loue un plan égal. La position déclive amène 70
des fluxions et devient ainsi une cause d'inflammation. Pour toutes les 71
parties, la position devra donc satisfaire à ces indications; elle le devra
spécialement pour les parties saillantes, comme la hanche et le talon; cependant, comme, dans de pareilles positions, et même sans cela, dans les
cas où les malades restent longtemps couchés, le talon se noircit habituellement, quand il est placé sans précaution sur un corps dur, qu'on ne le
soulève pas continuellement et qu'ainsi il est échauffé et foulé par les objets
sous-jacents, nous avons l'habitude de faire une rondelle de laine molle,

1. *οὖν ἡ* om. R. — 5. *ὁ* om. U. — Ib. *μαλακήν τε καί* R. — 12. *διαθέσεσιν* R.

Cocchi 60.
λοῦσι δὲ ἔνιοι σ1ρόφιον αὐτό· τῷ μεγέθει τῆς ϖ1έρνης ἀνάλογον
ἔχον τὴν ἐντὸς ἑαυτοῦ κοιλότητα, κατὰ οὗ κυκλίσκου σ1ηρίζομεν
οὕτω τὴν ϖ1έρναν ὡς αἰωρεῖσθαι τὸ κάτωθεν αὐτῆς μέρος, ὅπως
72 ἄθλιπ1ός τε ἅμα καὶ διαπνεομένη ἀθέρμαντος φυλάτ1οιτο. Καὶ δὴ
καὶ τὸ κατὰ τὸ ϖέρας ἔνθα τὸ ἴχνος ἐσ1ὶ, σ1ηρίζεσθαι ἀντισ1η-
ρίζοντός τινος μαλακοῦ ἢ ὑπαυχενίου, ἢ καὶ ξύλου ὀρθοῦ, ᾧ ϖροσ-
73 δεδεμένος ὁ ϖοὺς ἔσ1ω μαλακαῖς ταινίαις. Οἶδα δέ τινας ἰατροὺς
ὑποτιθέντας τῷ σκέλει σωλῆνάς τε καὶ γλωσσοκόμους κνήμης ἢ
μηροῦ ϖεπονθότων· Ἱπποκράτης δὲ οὐκ ἀρέσκεται τῇ τοιαύτῃ χρή-
σει, τοῦ ξύλου ϖρὸς τοῖς ἄλλοις καὶ ἀπηνοῦς ὄντος διὰ τὸ μηδὲν
εἴκειν ὥσπερ τὰ ὑπαυχένια καλούμενα· ταῦτα γὰρ εἴκοντα μετρίως
74 οὐκ ἔσ1ιν ἀνιαρὰ τῷ σκέλει. Τινὲς οὖν τῷ ὑπαυχενίῳ χρῶνται
κατὰ ἀρχὰς εὐθὺς, ὑποβάλλοντες αὐτῷ ταινίας ἐγκαρσίας, ἃς ὅταν
ἐνθῶσι τὸ σκέλος ἀνατείναντες ἑκατέρωθεν εἰς ὕψος, ἔπειτα ἐκ τῶν

rondelle que quelques-uns appellent *bandeau*, et dont la cavité intérieure
est proportionnelle au volume du talon; sur cette rondelle nous fixons
le talon de telle manière que sa partie inférieure soit librement suspendue,
afin que cette partie, restant à l'abri de la pression et livrant de toute
72 part un libre accès à l'air, ne s'échauffe pas. En outre, on devra soutenir
la partie antérieure du pied où se trouve la surface sur laquelle nous mar-
chons, en lui donnant pour contre-appui quelque chose de mou, soit
un oreiller, soit un morceau de bois placé perpendiculairement, et au-
73 quel on attachera le pied à l'aide de cordons doux. Je sais que certains
médecins placent au-dessous du membre inférieur, quand la jambe ou
la cuisse sont fracturées, des gouttières ou des *glossocomes;* mais Hippo-
crate (*Fract.* § 16) n'approuve pas cette manière d'agir, vu que le bois,
pour passer sous silence ses autres inconvénients, ne cède en aucune
façon à cause de sa dureté, comme le font les coussins qu'on appelle
oreillers : car ces coussins, en cédant modérément, ne causent pas à la
74 jambe de sensations pénibles. Quelques-uns se servent donc, dès le début,
d'oreillers, en faisant passer au-dessous des cordons transversaux qu'ils
attirent en haut des deux côtés, après avoir placé le membre sur cet

5. τό ante κατά om. RU. — Ib. σ1η-ρίζεσθαι om. RU. — 5-6. ἀντισ1ηρίζοντος om. Gal. — 10. τό om. U. — Ib. μηδέ R. — 13. ὡς om. Gal.

Cocchi 69-70.

ἄνω | μερῶν τοῦ κώλου συνδήσαντες ἀλλήλαις, ἀσφαλῆ νομίζουσι 70 τὴν θέσιν τοῦ σκέλους· τό τε γὰρ ὑπαυχένιον ἐν ταῖς μετακομιδαῖς τοῦ κάμνοντος ἀντὶ γλωσσοκόμου γίνεται τῷ σκέλει. Καὶ μέντοι 75 καὶ κατὰ τὸ κάτω πέρας αὐτοῦ προστιθέασιν ἔνιοι ξύλον ὄρθιον, ᾧ προσδοῦσιν ἄκρον τὸν πόδα, προϋποϐάλλοντες ἔρια δηλονότι, χάριν τοῦ μήτε ἄνω τὸ σκέλος ἕλκειν δύνασθαι τὸν κάμνοντα, μήτε ἀποτείνειν κάτω· τὴν μὲν γὰρ ἀνάτασιν ὁ δεσμὸς κωλύει, τὴν δὲ ἐπὶ τὰ κάτω φορὰν τὸ προσερηρεισμένον τῷ πέλματι ξύλον. —
Μετὰ Ἱπποκράτη δὲ ηὑρέθη τὸ μηχανικὸν γλωττοκόμιον, οὗ τὴν 76 κατασκευὴν ἐρῶ νῦν, ἐπειδὴ χρησιμώτατόν ἐστι μετὰ τὸ παύσασθαι τὴν φλεγμονὴν, καὶ μάλιστα ὅταν ἤδη πωροῦσθαι δέῃ τὸ κάταγμα, τὴν ἀντίτασιν ἐργαζόμενον ἰσοῤῥόπως τε καὶ ἀλύπως τῷ κατεαγότι τοῦ σκέλους ὀστέῳ. Διὰ ἑνὸς οὖν ἄξονος ἐπὶ τελευτῇ τοῦ 77 μηχανήματος ἐν τοῖς κάτω μέρεσι τεταγμένου τὴν ἀντίτασιν ἐργάζεται τῷ κώλῳ τάσεσι διτταῖς· ὀνομάζεται δὲ αὐτῶν ἡ μὲν κατὰ

oreiller; ensuite ils attachent les cordons l'un à l'autre sur la partie supérieure du membre, et ils pensent avoir donné ainsi une position sûre à la jambe : en effet, quand le malade subit un déplacement, l'oreiller rend à la jambe les mêmes services qu'un glossocome. En outre, quelques- 75 uns ajoutent, à l'extrémité inférieure du membre, un morceau de bois placé perpendiculairement, auquel ils attachent le pied, en interposant préalablement de la laine; par cette pratique, on veut mettre le malade dans l'impossibilité, soit d'attirer la jambe en haut, soit de l'étendre en bas; en effet, le lien empêche qu'on ne la tire en haut, et le bois qui s'appuie contre la plante du pied empêche de porter le membre en bas. — Après 76 Hippocrate on a inventé la machine dite *glossocome,* dont je vais exposer à l'instant même la construction; car cette machine est très-utile quand l'inflammation a cessé, et surtout lorsque la fracture a besoin d'être réunie par le cal, attendu qu'elle opère une double extension rectiligne, et qui n'est pas pénible pour l'os fracturé de la jambe. A l'aide d'un axe 77 placé à l'extrémité de la partie inférieure de la machine, on opère l'extension et la contre-extension à l'aide de deux tractions, dont l'une, qui tire le membre en ligne droite, est appelée *traction directe,* tandis que celle

2. σκ. ποιεῖσθαι Gal. — 9. εὑρέθη U.

Cocchi 78.

εὐθὺ τείνουσα τὸ κῶλον εὐθύπορος, ἡ δὲ ἄνω μὲν πρότερον, εἶτα
κάτω μεταληπτική· γίνονται δὲ ἀμφότεραι διὰ περιθέσεως βρόχων.
78–79 Ἄρισ7ος δὲ εἰς τοῦτο βρόχος ὁ ἐκ δυοῖν διανταίων. Οὗτος οὖν ἐν
μὲν τοῖς κάτω τοῦ κατάγματος μέρεσι τῷ κώλῳ περιτεθεὶς τὴν εὐ-
θύπορον ἐργάζεται τάσιν, τῶν σκελῶν αὐτοῦ περιβληθέντων τῷ
ἄξονι· ἐν δὲ τοῖς ἄνω μέρεσι τοῦ κατάγματος αὐτὸς οὗτος ὁ βρόχος
εἰ περιτεθείη, τὴν μεταληπτικὴν ἀποτελεῖ τάσιν, ἀπαχθέντων αὐ-
τοῦ τῶν σκελῶν, ἄνω μὲν πρότερον, εἶτα αὖθις κάτω· περιβληθῆ-
80 ναι γὰρ χρὴ καὶ ταῦτα τῷ ἄξονι. Τὴν περιαγωγὴν δὲ καὶ τὴν οἷον
καμπὴν τῶν σκελῶν τοῦ βρόχου τὴν ἐκ τῶν ἄνω μερῶν εἰς τὰ κάτω
διὰ τροχιλιῶν γίνεσθαι χρὴ κατὰ τὰς πλευρὰς τοῦ γλωσσοκομίου
81 τεταγμένων. — Χειρὸς δὲ καταγείσης ὅταν ἤδη περιέρχηται καὶ
μηκέτι ὁ ἄνθρωπος κατακείμενος ᾖ, τουτέσ7ι μετὰ τὴν δεκάτην ἡμέ-
ραν· ἔμπροσθεν γὰρ ὡς τὸ πολὺ κατέκειτο, τῆς χειρὸς ἐν σχή-
ματι κειμένης ὑψηλότερον ἐχούσης βραχὺ τὸ ἄκρον αὐτῆς· τοῦ τρα-
χήλου ταινίαν ἐξαψάσθω πλατεῖαν οὕτως ὡς ὅλον ἐπὶ αὐτῆς ὀχεῖσθαι

qui tire d'abord vers le haut, et ensuite vers le bas, est nommée *traction ré-
fléchie;* ces deux tractions se font par l'intermédiaire de lacs qu'on place
78 autour du membre. Le meilleur lacs pour atteindre ce but est le lacs com-
79 posé de deux cordons égaux en longueur. Lors donc qu'on tire sur
cette espèce de lacs placé autour du membre, au-dessous de la fracture,
on opère une traction directe, quand ses jambes entourent l'axe; si, au
contraire, on agit sur un lacs de même forme qui entoure le membre
au-dessus de la fracture, on produit une traction réfléchie, vu que ses
jambes sont d'abord amenées en haut, et ensuite de nouveau en bas;
80 car, dans ce cas-là, elles doivent également s'enrouler autour de l'axe. Le
renversement, et, pour ainsi dire, l'inflexion des jambes du lacs, de haut
en bas, doit se faire à l'aide de poulies placées sur les côtés du glosso-
81 come. — En cas de fracture du membre supérieur, il faut, si le malade se
promène déjà et n'est plus couché, c'est-à-dire après le dixième jour,
car, avant cette époque, il était ordinairement couché, ayant le bras dans
une position où la main est un peu plus élevée que le reste du membre;
il faut, dis-je, suspendre au cou une écharpe assez large, pour que l'a-

4. περιτιθεὶς R U Gal. — 13. ἐνδεκάτην R.

τὸν ϖῆχυν. Οὐχ ἁπλῶς δὲ χρὴ τὴν ταινίαν τήνδε ϖεριϐάλλειν, 82
ἀλλὰ ὁμαλῶς ἀποτείνειν ἅπαντι τῷ ϖήχει, μηδὲν αὐτοῦ μέρος ἐῶντας
ἀσΊήρικτον, ἀπὸ οὗ τῷ συμφύτῳ βάρει ῥέπον τὸ τοῦ ϖήχεως ὀσΊοῦν
ἐνεχθήσεταί τε ϖρὸς τὸ κάτω καὶ διασπασθήσεται. Σχῆμα δὲ αἱ- 83
ρεῖσθαι χρὴ τὸ ἀνωδυνώτατον καὶ εὐθύτατον, τοῦτο δέ ἐσΊιν ἐπὶ
μὲν χειρὸς τὸ καλούμενον ἐγγώνιον, ἐπὶ δὲ σκέλους τὸ μικροῦ δεῖν
ἐκτεταμένον. Εἰς ἀνωδυνίαν δὲ οὐ μόνον ἑκάσΊῳ τὸ κατὰ φύσιν 84
σχῆμα, ἀλλὰ ἔτι καὶ τὸ ἔθος ἔοικε συντελεῖν. Εὔλογον οὖν ἔδοξέ 85
μοι μᾶλλον ἐκτεταμένον σχηματίζειν τὸ σκέλος, ἐπὶ ὧν εἴθισΊαι
ϖλείσΊῳ χρόνῳ τοῦτο ἔχειν τὸ σχῆμα, καθάπερ καὶ ἧτΊον ἐκτεταμένον ἐπὶ ὧν διὰ ὅλης ἡμέρας κέκαμπΊαι, καὶ τῇ ϖείρᾳ τε βασανίσας αὐτὸ τοιοῦτον εὗρον ὑπάρχον ὁποῖον ἤλπισα, καὶ ϖερὶ τῶν
χειρῶν δὲ κατὰ τὸν | αὐτὸν λόγον, δεῖν μὲν ἐγγὺς τοῦ ἐγγωνίου 73
σχήματος σχηματίζειν αὐτάς, ἀλλὰ εἰς τὸ μᾶλλόν τε καὶ ἧτΊον ἐκ

vant-bras tout entier repose sur elle. On ne jette pas l'écharpe au hasard 82
autour du membre, mais on doit l'étendre d'une manière égale au-dessous de tout l'avant-bras, et ne laisser aucun de ses points sans appui; car là où le cubitus ne serait pas appuyé, suivant l'impulsion de sa pesanteur naturelle, il se porterait en bas et éprouverait une distorsion. On 83
doit préférer la position la moins douloureuse et la plus droite, et cette position est, pour le membre supérieur, celle qu'on nomme *angulaire*, et, pour le membre inférieur, celle qui se rapproche de très-près de l'extension. Non-seulement la position naturelle de chaque membre, mais 84
aussi l'habitude, semblent exercer quelque influence sur l'absence de douleur. Il m'a donc paru raisonnable de placer la jambe dans une position 85
qui se rapproche davantage de l'extension quand il s'agit de sujets chez lesquels ce membre garde ordinairement cette position; de même je le place dans une position plus éloignée de l'extension chez ceux dont la jambe est fléchie durant toute la journée, et, ayant vérifié, par l'expérience, les effets de cette méthode, j'ai trouvé qu'il en était comme je m'y étais attendu; pour le bras, j'ai également constaté qu'il fallait le placer dans la position presque angulaire, mais qu'on devait tirer des habitudes

3. ἐφ' ὅτῳ συμφ. RU. — 4. διαταθήσεται RU; διασΊραφ. Gal. — 7-8. ἑκάσΊου τῶν κ. φ. σχημάτων RU; τὸ κ. φ. ἑκάσΊου σχῆμα Gal.

Cocchi 73.
86 τῶν ἐθῶν λαμβάνειν τὴν ἔνδειξιν. Λύειν δὲ διὰ τρίτης, ὅπως μήτε
ἄση τις ἐπιγίνοιτο, μήτε κνῆσις ἀήθως σκεπασθέντι τῷ μορίῳ, μήτε
ἐπὶ πλέον αἱ διαπνοαὶ κωλύοιντο τοῦ φθάσαντος ἐνεστηρῖχθαι κατὰ
τὸ κάταγμα, δι' ἃς μὴ μόνον ἀσωδῶς κνᾶσθαι συμβαίνει τισὶν,
ἀλλὰ καὶ διαβρωθέντος ὑπὸ τῆς τῶν ἰχώρων δριμύτητος ἐνίοτε τοῦ
87 δέρματος, ἕλκωσιν γίνεσθαι. Καταντλεῖν οὖν ὕδατος εὐκράτου το-
88 σοῦτον, ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς τοιούτους ἰχῶρας. Ἦν δὲ
δὴ καὶ αὖθις ὁμοίως πράξῃς, ἑβδόμη μὲν ἂν εἴη μετὰ τὴν πρώτην
ἀρχὴν ἡμέρα, φαίνοιτο δὲ ἂν ἤδη, μηδενὸς ἐμποδὼν γενομένου,
πάντα ἀφλέγμαντα, καὶ αὐτοῦ γε τοῦ κατὰ φύσιν ἐνίοτε μᾶλλον
ἰσχνά· τότε οὖν ἐγχωρεῖ καὶ νάρθηκας περιτιθέναι, διαπλάσαντα
νῦν δηλονότι τὸ κῶλον ἐπιμελέστερον, ὡς ἂν καὶ τῶν ὀστῶν ὄντων
89 χαλαρῶν. Ἡ δὲ χρεία τῶν ναρθήκων ἐστὶν, ἥπερ δὴ καὶ τῶν σπλη-
νῶν, κρατεῖσθαι τὸ κατεαγὸς ὀστοῦν, ὡς ἀκίνητον διαμένειν, εἰ καὶ

86 l'indication du degré plus ou moins prononcé de cette position. On lèvera
l'appareil tous les trois (*deux*) jours, afin qu'il ne survienne pas de ma-
laise, que la partie recouverte contre son habitude ne soit pas prise de
démangeaison, et que l'accès de l'air aux humeurs qui se sont déjà fixées
dans la fracture ne trouve pas de trop grands obstacles, obstacles d'où
il résulte non-seulement que quelques malades sont pris de démangeai-
son accompagnée de malaise, mais aussi quelquefois qu'il se forme une
ulcération, quand la peau a été corrodée par l'âcreté des humeurs sé-
87 reuses. On fera donc une affusion d'eau tiède en quantité assez abon-
88 dante pour dissiper ces humeurs. Quand vous aurez agi de la même
manière pour la seconde fois [et que vous levez l'appareil pour la troi-
sième], ce sera le septième jour après le premier pansement, et, dès
lors, si rien n'est venu se mettre à la traverse, toutes les parties se mon-
treront exemptes d'inflammation ; quelquefois même elles seront moins
volumineuses que dans l'état normal : c'est donc alors qu'on peut aussi
placer les attelles autour du membre, après avoir fait la coaptation, cette
fois-ci, bien entendu, avec plus de soin que les autres fois, attendu qu'à
89 ce moment les os sont dans le relâchement. Les attelles ont la même uti-
lité que les compresses : retenir l'os fracturé de façon qu'il reste immo-
bile, même quand on imprime du mouvement à tout l'ensemble du

τὸ κῶλον ἅπαν κινοῖτο· σεισθέντων γὰρ καὶ κινηθέντων τῶν χει-
λῶν τοῦ κατάγματος, ἡ πῆξις τοῦ πώρου κωλυθήσεται. Ἀξιοῖ δὲ 90
Ἱπποκράτης λείους τε εἶναι καὶ ὁμαλοὺς τοὺς νάρθηκας καὶ σιμοὺς
κατὰ τὰ ἄκρα, τουτέσΊιν ἀπεξεσμένους ἀτρέμα κατὰ τὴν κάτω χώ-
ραν· οἱ γὰρ ἰσοπαχεῖς ἄχρι τοῦ πέρατος ἴσην ἐνταῦθα τὴν ἐπίδεσιν
ἐργάζονται παντὶ τῷ ἄλλῳ μέρει τῷ τῆς ἐπιδέσεως, ὅπερ οὐ χρὴ
γίνεσθαι· βούλεται γὰρ ἐν τῷ μέσῳ τὴν ἐπίδεσιν ἐσφίγχθαι μᾶλ-
λον, ἐκλύεσθαι δὲ ἐντεῦθεν ἄχρι τῶν περάτων, ἐκεῖνα δὲ ἁπάντων
ἐκλύεσθαι μᾶλλον. Ἀλλὰ καὶ μικροτέρους αὐτοὺς κατὰ τὸ μῆκος εἶναι 91
κελεύει τῆς ἐπιδέσεως, ὅπως μὴ ψαύσειάν ποτε τοῦ μετὰ τὴν ἐπί-
δεσιν δέρματος ὑψουμένου πολλάκις ἐκ τοῦ δέχεσθαι τοὺς ὑπὸ τῶν
ἐπιδέσμων ἐκθλιβομένους χυμούς. Ἀλλὰ καὶ κατὰ αὐτὸ τὸ κάταγμα 92
παχυτέρους εἶναι συμβουλεύει τοὺς νάρθηκας, ἐπειδὴ τὸ χωρίον
τοῦτο μάλισΊα τῆς ὑπὸ αὐτῶν ἰπώσεως δεῖται. Φυλάτῖεσθαι δὲ χρὴ 93
καὶ κατὰ τὰς ἐξοχὰς τῶν ὀσΊῶν, ὁποῖαι κατά τε τῆς κνήμης εἰσὶ καὶ

membre : car, si les fragments de l'os sont secoués et mis en mouvement,
la solidification du cal rencontrera des obstacles. Hippocrate (*Offic.* § 12) 90
veut que les attelles soient lisses, régulières et creuses à leurs extrémités,
c'est-à-dire légèrement amincies par le rabot à la partie inférieure : car
celles qui conservent la même épaisseur jusqu'à leur extrémité font que
la déligation est la même dans cet endroit que pour tout le reste de
l'appareil; ce qui ne doit pas avoir lieu : en effet, Hippocrate (*Offic.* § 12)
veut que l'appareil soit plus fortement serré au milieu, qu'il se relâche,
à partir de là, jusqu'aux extrémités, où l'appareil doit être plus relâché
que sur toutes les autres parties. Mais il est aussi d'avis que la longueur 91
des attelles soit moindre que celle de l'appareil, afin qu'elles ne touchent
jamais la peau qui se trouve au delà, laquelle peau se soulève souvent
parce qu'elle accueille les humeurs exprimées par les bandes. Il con- 92
seille encore de faire en sorte que les attelles soient plus épaisses sur la
fracture elle-même, parce que cette région a principalement besoin de
la pression qu'elles exercent. Il faut se garder aussi de placer les attelles 93
sur les protubérances des os, telles qu'il en existe aux extrémités infé-

14. ἰπώσεως U; ἐπιδέσεως Gal. — 15. κατά τε om. Gal.

Cocchi 73-74.

περόνης τὰ κάτω πέρατα, τίθεσθαι τοὺς νάρθηκας· ἔσται δὲ τοῦτο
κατὰ δύο τρόπους· ἢ μηδὲ ὅλως ἡμῶν τιθέντων αὐτοὺς κατὰ ἐκεῖνα
τὰ μέρη τῆς ἐπιδέσεως, ἢ βραχυτέρους τιθέντων, ὡς μὴ παραγί-
νεσθαι πρὸς τὸ κυρτὸν, ἀλλὰ προκαταπαύεσθαι πρὶν ἐκείνου ψαῦ-
94 σαι. Καὶ βέλτιόν γε πράττειν οὕτως· θλίβονται γὰρ ὑπὸ αὐτῶν.
95 Μᾶλλον δὲ οὐκ αὐτὰ χρὴ θλίβεσθαι λέγειν, ἀλλὰ τοὺς ἐπικειμένους
96 μῦς ἢ ὑμένας αὐτοῖς, καί τινας ἀπονευρώσεις καὶ τὸ δέρμα. Μετὰ
δὲ τὴν ἐπίθεσιν τῶν ναρθήκων, εἴ τί που χαλαρὸν γίνοιτο τῆς ἐπι-
δέσεως, ἐπισφίγγειν αὐτοὺς χρὴ διὰ τρίτης, οὐ λύειν ὅλην τὴν
ἐπίδεσιν ἄχρι τῆς εἰκόστης, ὥστε βεβαίαν γενέσθαι τὴν οἷον κρη-
πῖδα τῷ πώρῳ, πλὴν εἰ μή τις ὀδύνης αἴσθησις, ἢ κνῆσις σφοδρὰ
74 καὶ τῆς ἑλκώσεως φόβος, καὶ ὑποψία τοῦ μὴ καλῶς | πεπλάσθαι τὸ
κάταγμα, καὶ κίνησις σφοδρὰ κατά τινα συντυχίαν ἐν τῷ κώλῳ
97 γενομένη, λύειν ἡμᾶς ἀναγκάσει. Γενομένης δὲ τῆς πωρώσεως,

rieures du tibia et du péroné; or nous obtiendrons ce résultat de deux
manières, soit en ne plaçant pas d'attelles du tout sur ces parties de l'ap-
pareil, soit en appliquant des attelles plus courtes, de manière qu'elles
n'atteignent pas la partie bombée de l'os, mais finissent avant d'y tou-
94 cher. Il est préférable d'agir ainsi; car ces parties sont foulées par les
95 attelles. Cependant il vaudrait mieux dire que ce ne sont pas ces par-
ties elles-mêmes qui sont foulées, mais les muscles ou les membranes
96 placés sur elles, ainsi que certaines aponévroses et la peau. Si, après
l'application des attelles, quelque partie de l'appareil venait à se relâ-
cher, il faudrait les serrer plus fortement tous les trois (*deux*) jours,
mais non pas défaire entièrement l'appareil, jusqu'au vingtième jour, de
manière qu'il y ait, pour ainsi dire, un fondement solide pour le cal,
en exceptant cependant les cas où nous sommes forcés de lever l'ap-
pareil à cause d'une sensation douloureuse, d'une démangeaison très-
forte, de la crainte d'une ulcération, et si nous soupçonnons que la coap-
tation de la fracture n'a pas été bien faite, ou si le membre, par suite
97 de quelque accident, a été soumis à un mouvement violent. Quand la

1. τείνεσθαι RU. — 4. πρὸς..... προκαταπαύεσθαι om. U. — 9. διὰ τριῶν R 1ª m. U. — 12. τις R. — Ib. καὶ ἡ ὑποψία R. — Ib. τοῦ om. R.

Cocchi 74.

οὐκ ἔτι ἐν ἡσυχίᾳ παντελεῖ τηρεῖν χρὴ τὸ κάταγμα· προσήκει γὰρ
ἀνατρέφειν τὸν πῶρον ὅταν ἀσφαλῶς ῥιζωθῇ, τὸ δὲ ἀνατρέφειν
γίνεται τῇ χορηγίᾳ τῆς ὕλης, ἣν ὥσπερ ἀπεστρέψαμεν ἐξ ἀρχῆς
ἀπὸ τοῦ πεπονθότος εἰς ἕτερα μόρια τοῦ σώματος, οὕτω νῦν δεῖ
προσκαλεῖσθαι, καταντλοῦντας ὕδωρ θερμὸν ἄχρι τῆς εἰς ὄγκον
ἐρυθρὸν ἐπάρσεως τῆς σαρκός. Τινὲς δὲ πτελέας ῥιζῶν τῷ ἀφεψή- 98
ματι καταντλοῦσιν ὅσα πωρώσεως δεῖται κατάγματα. Καὶ μέντοι 99
καὶ ὥσπερ ἐν ἀρχῇ παντάπασιν αὐτὴν ἐκωλύομεν εἰς τὸ πεπονθὸς
ἔρχεσθαι τῇ πιέσει καὶ τῷ πλήθει τῶν ὀθονίων, οὕτω νῦν προσήκει
μὴ κωλύειν ἐπιῤῥεῖν, ἀφαιροῦντας κατὰ βραχὺ τοῦ πλήθους τῶν ὀθο-
καὶ τῇ ἀκολούθῳ πυοποιῷ θεραπείᾳ. Σύντομος μὲν οὖν ἐστιν ἡ ἔναιμος ἀγωγὴ, ἄνευ βλάβης δὲ μᾶλλον ἡ ἀφλέγμαντος καὶ πυοποιὸς θεραπεία.

θ'. Περὶ τοῦ ἐπὶ μεγάλῳ τραύματι ἐπὶ πλεῖον ἐψιλωμένου ὀστέου.

1 Μεγάλου δὲ τραύματος γενομένου καὶ ἐπὶ πλεῖον ψιλωθέντος τοῦ ὀστέου, εἴωθέ ποτε προκόπτειν ἡ διὰ μόνης τῆς φαρμακείας ἀγωγὴ
2 ἡ διὰ τῶν λεγομένων κεφαλικῶν ξηρίων τε καὶ ἐμπλάστρων. Ταύτῃ δὲ τῇ ἀγωγῇ χρωμένων ἡμῶν, ὅταν μὴ ἐπιτευχθῇ, ἡ κατὰ περισάρκωσιν ἀναγκαία θεραπεία· ἀναξηραινόμενον γὰρ ἐπὶ πλεῖον τὸ ὀστέον ἀφίσταται κατὰ λεπίδος ἀπόστασιν, χωριζομένης αὐτοῦ τῆς
3 πυκνῆς ἐπιφανείας, καὶ τάχιστα σαρκοῦται τὸ τραῦμα. Πυριᾷν δὲ δεῖ τὸ τραῦμα, ἢ καταντλεῖν, ἅμα τῇ τῶν φαρμάκων χρήσει δια-
4 μοτουμένου καὶ σπληνιουμένου καὶ ἐπιδεομένου. Συντομωτέρα δὲ γίνεται ἡ θεραπεία, ἐπιξυσθέντος τοῦ κρανίου· τῇ γὰρ ξύσει δαπα-

voque la suppuration. Le traitement, tel qu'on l'applique aux plaies saignantes, est expéditif; mais celui qui combat l'inflammation et provoque la suppuration est plus à l'abri du danger.

9. DU CAS OÙ UNE GRANDE PARTIE DE LA SURFACE DU CRÂNE A ÉTÉ DÉNUDÉE À LA SUITE D'UNE GRANDE PLAIE.

1 S'il existe une grande plaie, et si une partie considérable de la surface du crâne est dénudée, le traitement par les médicaments seuls, c'est-à-dire celui qui consiste dans l'emploi des poudres et des emplâtres dits
2 *poudres et emplâtres pour la tête*, a parfois produit un bon effet. Si, en employant ce traitement, on ne réussit pas, celui qui agit en recouvrant l'os de bourgeons charnus est indispensable; en effet, comme l'os a été fortement desséché, la table compacte s'exfolie sous forme de squames, et
3 la plaie se recouvre très-vite de bourgeons charnus. Mais il faut fomenter la plaie, ou y faire des affusions, en combinant l'usage des médicaments à celui des tentes dont on remplit la plaie, de l'emplâtre dont on la
4 recouvre, et du bandage. Le traitement devient plus court, si, en outre, vous ruginez le crâne; en effet lorsque, en ruginant, on a détruit la

Ch. 9, l. 4-5. ψιλυμένου ὀστέου U.

νηθείσης αὐτοῦ τῆς πυκνῆς ἐπιφανείας, ἡ σάρκωσις ἐκ τῆς ὑποκει-
μένης σήραγγος γίνεται· διὸ καὶ τὸ βάθος τῆς ξύσεως κανονίζεται
ἕως τῆς διπλόης. Ἡ δὲ ξύσις διὰ κοινοῦ ξυστῆρος γινέσθω ὁμαλῶς 5
ἰσοβαθής, καὶ πάλιν μετὰ τὴν ξύσιν ἐγχρινέσθω ἡ μικρῷ πρόσθεν
δεδηλωμένη θεραπεία.

ι'. Περὶ καταγμάτων.

Ἐν πρώτοις διαστείλασθαι χρὴ περὶ τῆς τῶν σωμάτων ἀναστο- 1
λῆς· χρῶμαι δὲ ἐγὼ οὐ μονοειδεῖ τῇ ἀναστολῇ, ἀλλὰ πρὸς τὸ σχῆμα
καὶ τὸ εἶδος τοῦ κατάγματος κατάλληλον εἴωθα αὐτὴν ποιεῖσθαι·
ἔστιν ὅτε γὰρ ἐπὶ ῥωγμῆς μεγάλης καὶ ἡ ἁπλοτομία εὐθετεῖ, περι-
τενοῦς ὄντος τοῦ τῆς κεφαλῆς δέρματος· διεσταμένων δὲ ἐπὶ πολὺ
τῶν τῆς διαιρέσεως χειλῶν, πλεοναζόντως δὲ τῷ χιεσμῷ χρῶμαι.
Δεῖ δὲ ἀπὸ τοῦ τραύματος ἄρξασθαι, ἔπειτα διελεῖν τὰ σώματα 2
πρὸς τὴν τοῦ ὑποκειμένου κατάγματος γύμνωσιν. Ἡ δὲ τῆς ἀναστο- 3

surface compacte de l'os, les bourgeons charnus poussent de la cavité
médullaire sous-jacente; c'est aussi à cause de cela qu'on donne comme
règle de pénétrer avec la rugine jusqu'au diploé. On rugine avec l'ins- 5
trument ordinaire, de manière à donner à la plaie une profondeur égale
et une surface unie, et, après avoir fini de ruginer, on appliquera encore ici le traitement que nous avons enseigné un peu plus haut.

10. DES FRACTURES [DU CRÂNE].

Il faut, en premier lieu, s'expliquer sur le débridement des parties; 1
moi, je ne m'en tiens pas à une espèce unique de débridement, mais
j'ai l'habitude de conformer cette opération à la forme et à la nature de
la fracture; quelquefois, en effet, dans le cas d'une grande fissure, une
incision simple est convenable, lorsque la peau de la tête est fortement
tendue; quand les bords de la plaie sont très-écartés l'un de l'autre,
je me sers, dans la grande majorité des cas, d'une incision cruciale.
On commencera par la plaie de la peau, ensuite on divisera les parties 2
[placées en dessous] pour dénuder la fracture sous-jacente. Le débride- 3

CH. 10, l. 10. ἐπί om. R. — 13. ἀποκ. R.

Cocchi 92-93.

λῆς ἀκολουθία γίνεται, ἅμα τῷ διελεῖν κατοπλευόντων ἡμῶν τὸ
4 κάταγμα. Ὅταν δὲ τὰ πέρατα σλενότερα ὄντα ἐκτρέπηται καὶ τὸ
κάταγμα σκέπηται, εἴωθα πρὸς εὐχερῆ ἀνάτρησιν τὰ εἰσλρεπόμενα
5 μυδίῳ ἀποτείνειν καὶ ἐκτέμνειν. Πρὸς δὲ ἀνεμπόδισλον θεραπείαν
τοῦ κατάγματος δεῖ καὶ τὸ μέγεθος τῆς ἀνασλολῆς τῶν σωμάτων
κατάλληλον ποιεῖσθαι.

93 | ια'. Περὶ ῥωγμῶν.

1 Ἐπιπολαίου τῆς ῥωγμῆς οὔσης, τῆς μήνιγγος μὴ ἀφισλαμένης,
θεραπεία προσαγέσθω ἡ αὐτὴ τῇ ἐπὶ τοῦ ἐψιλωμένου ὀσλέου δεδη-
λωμένῃ· ἀφεσλώσης δὲ τῆς μήνιγγος, καὶ ὑγροῦ συλλελεγμένου,
μετὰ τὰς πρώτας τῆς θεραπείας ἡμέρας ἐπὶ τὴν ἀνάτρησιν ὁρμῆ-
2 σαι χρή. Σχηματιζέσθω δὲ ὁ κάμνων ὕπλιος μὲν, ἐὰν τὸ τραῦμα
γεγονὸς ᾖ κατὰ τὸ μέτωπον, ἢ κατὰ τὸ βρέγμα, πρηνὴς δὲ, ὅταν
ὀπίσω κατὰ τὸ ἰνίον· ἐὰν δὲ ἐκ πλαγίων, ἐπὶ τοῦ ὑγιοῦς πλευροῦ

ment se fait régulièrement, si, tout en coupant, nous cherchons des yeux
4 la fracture. Lorsque les bords de l'incision, étant trop minces, se re-
tournent et recouvrent la fracture, j'ai l'habitude de retirer avec une pe-
tite pince les parties tournées en dedans, et de les exciser, pour faciliter
5 l'emploi de la tarière. On doit faire en sorte que l'étendue du débride-
ment corresponde à ce qui est nécessaire pour que le traitement de la
fracture n'éprouve point d'obstacle.

11. DES FISSURES.

1 Si la fissure est superficielle, et si la membrane du cerveau ne s'est
pas détachée [du crâne], on emploiera le même traitement que celui
que j'ai indiqué (ch. 9) pour le cas de la dénudation de l'os; mais, si
cette membrane s'est détachée, et s'il existe une collection de liquide,
il faut en venir, après les premiers jours du traitement, à la perforation
2 du crâne. On placera le malade sur le dos quand la plaie est située au
front ou dans la région pariétale, et sur le ventre quand elle est en
arrière, dans la région occipitale; sur le côté sain, si la plaie se trouve

Ch. 11, l. 11. δὲ ὧδε ὁ U.

Cocchi 93.

ὁ σχηματισμὸς γενέσθω. Ὅταν δὲ κατὰ τὴν κορυφὴν γένηται, τότε 3
δεῖ καθέδριον σχηματίζειν, καὶ τὸ κεφάλιον σ7ηρίζειν ἐπὶ τῶν τοῦ
ἐνεργοῦντος γονάτων. Εἰώθαμεν δὲ κατὰ τὸ ϖλεῖσ7ον δεσμοῖς μὴ 4
χρῆσθαι, ἀναλγήτων ὄντων τῶν ὀσ7έων· ὅταν δέ ϖοτε ἐμπιέσματος,
ἢ ἐγγεισώματος γεγονότος, νυσσομένης τῆς μήνιγγος, δυσανα-
σχετῇ ὁ ϖάσχων, τότε τοῖς δεσμοῖς χρώμεθα ϖρὸς τὴν χειρουρ-
γίαν. Οἱ δὲ ὑπηρέται ϖλησίον καθεζέσθωσαν, καὶ ὁ μὲν τὸ κεφά- 5
λιον τοῦ ϖάσχοντος συνεχέτω, ὁ δὲ τὰ ἀκόλουθα εἰς τὴν ὑπηρεσίαν
ϖοιείτω. Ἐρίοις τε συνειλημένοις ἐμφρασσέσθωσαν οἱ ἀκουσ7ικοὶ 6
ϖόροι, ἵνα μὴ διὰ τὸν ἦχον τὸν ἐν τῇ ἐκκοπῇ ϖ7οῆται. Γενομένων 7
δὲ τούτων, ἐπερειδέσθω τῷ κρανίῳ ἡ αἰχμὴ τοῦ τρυπανίου κατὰ τοῦ
ἑτεροχροοῦντος ὀσ7έου τοῦ ϖαρὰ φύσιν ἔχοντος, ϖλησίον τοῦ κατὰ
φύσιν, ἔπειτα ἠρέμα τῇ ἀρίδι σ7ρεφέσθω τὸ τρύπανον, ἕως οὗ ἐγκο-
πέντος τοῦ ὀσ7έου σ7ηριχθῇ ἡ ἀκμὴ, καὶ τότε μᾶλλον ἡ ἐνέργεια
ὀξυτέρα γινέσθω, σ7ρεφομένου τοῦ τρυπάνου τῇ ἀρίδι, ἕως ὅτου

sur les parties latérales de la tête. Lorsque la plaie se trouve au sommet 3
de la tête, on placera le malade dans la position assise, et on appuiera
sa tête sur les genoux de l'opérateur. Le plus souvent nous avons l'ha- 4
bitude de ne pas employer de liens, les os n'étant pas douloureux;
mais, s'il existe une fracture comminutive avec dépression, ou si une
pièce osseuse s'est logée au-dessous d'une autre, et que, la membrane du
cerveau étant irritée, le malade soit indocile, alors nous avons recours
aux liens pour faire l'opération. Les aides doivent être assis tout près du 5
malade; l'un tiendra la tête, et l'autre fera ce qui convient pour le service.
On bouchera les conduits acoustiques avec de la laine enroulée, afin 6
que le malade ne soit pas effrayé par le bruit qui se produit pendant
l'excision des os. Après cela on appuiera la pointe de la tarière sur le 7
crâne, dans la région de l'os qui a changé de couleur et qui se trouve
dans un état contre nature, mais dans le voisinage de la partie saine;
ensuite on fera tourner doucement la tarière, à l'aide de l'archet, jusqu'à
ce que, l'os ayant été entamé, la pointe ait trouvé un appui solide, et
alors on ira plus vite, en faisant tourner la tarière à l'aide de l'archet,

4. ϖοτε om. R. — 9. συνειλημμένοις τρυπάνου U. — 13. ἠρεμαίως R. — 13-
R. — 11. τὸ κρανίον αἰχμῇ R. — Ib. 14. ἐκκοπ. R.

Cocchi 93.

8 καταβιβασθῇ ἡ ἀκμὴ εἰς τὴν διπλόην. Αἰσθήσεται δὲ ὁ ἐνεργῶν γε-
γονότος τούτου, ἀπὸ πυκνῆς τῆς ἐπιφανείας εἰς χαύνην τὴν σήραγγα
9 καταβεβιβασμένης. Ἔστιν ὅτε δὲ καὶ αἷμα διὰ τοῦ τρήματος ἀνα-
βλύζει· τοῦτο δὲ ἐὰν μὲν ὀλίγον ᾖ, καταφρονεῖν δεῖ τῆς ἐκκρίσεως
καὶ βαθύνειν τὸ τρῆμα· ἐὰν δὲ πολὺ, καὶ διὰ τοῦτο μολύνηται τὸ
ἔργον, μοταρίῳ συνεστραμμένῳ ἐμφρασσέσθω, καὶ τότε τὸ δεύτερον
ἢ καὶ τρίτον τρῆμα γινέσθω· ἐν ᾧ γὰρ χρόνῳ τὰ πλησίον τρήματα
δίδοται, ἐν τοσούτῳ φθάσει ἐπισχεθῆναι τὸ αἱμάτιον, εἶτα πάλιν
ἐξέσται ἀναδραμεῖν ἐπὶ τὸ πρῶτον, καὶ προσβαθῦναι αὐτὸ, ὡς εἴ-
10 ρηται. Ἀεὶ δὲ ἀνατιτραμένου τοῦ κρανίου, στέατι τὰ ψήγματα ἀνα-
λαμβανέσθω, ἢ ἐρίῳ περὶ μηλωτρίδι εἰλημένῳ, ἵνα μὴ τὸ ἔργον
11 ἐμποδίζηται. Ἔστω δὲ καὶ ἄλλη μηλωτρὶς ἔχουσα ἔριον περιειλη-
μένον, ἵνα διὰ τοῦ ἐρίου τούτου ἐκ διαστημάτων ψυχρὸν ὕδωρ πα-
12 ραστάζηται τῷ τρυπάνῳ. Ὅταν δὲ βαθύτερον γένηται τὸ τρῆμα,

8 jusqu'à ce que la pointe soit arrivée au diploé. Le chirurgien sentira
que cela a eu lieu par le fait que la pointe a passé d'une substance com-
9 pacte dans une cavité médullaire spongieuse. Quelquefois aussi il vient
sourdre du sang par le trou, et, si ce sang est peu abondant, on n'en tien-
dra aucun compte, et on continuera à creuser le trou; si, au contraire,
la quantité de ce sang est [relativement] considérable, et que, pour
cette raison, il gêne l'opération en souillant le crâne, on lui fermera le
passage avec des tentes enroulées, et alors on fera le deuxième, ou
même le troisième trou; en effet, le temps qu'on emploiera pour percer
les trous voisins sera plus que suffisant pour étancher ce peu de sang,
et ensuite on pourra de nouveau retourner au premier trou et continuer
10 à le percer, ainsi que nous venons de le dire. Pendant qu'on perce le
crâne, il faut constamment recueillir les particules osseuses avec de la
graisse, ou avec de la laine enroulée autour d'une sonde auriculaire,
11 afin que l'opération n'éprouve pas d'obstacle. On prendra encore une
autre sonde auriculaire, sur laquelle on aura enroulé de la laine, pour
qu'on puisse, à l'aide de cette laine, faire tomber de temps en temps
12 de l'eau froide goutte à goutte sur la tarière. Lorsque le trou a acquis une

7. ἢ om. U. — 8. δέδοται U. — 9. m. — 11. εἰλημμένῳ RU et sic sæpius. τὸ πρῶτον τρῆμα R. — 10. Δεῖ R 2ª — Ib. τὸ ἔργον μή U.

Cocchi 93-94.

ὑπὲρ τὸ τῆς διπλόης πάχος τετρημένου τοῦ ὀστέου, τότε ἡ τοῦ τρυπάνου περιδίνησις ἀσφαλεστέρα γινέσθω, ἵνα μὴ ἀθρόως καταβιβασθέντος τοῦ τρυπάνου ἡ μῆνιγξ τρωθῇ. | Ὅταν δὲ ἤδη καταβιβα- 94 13
σθῇ τὸ τρύπανον, καὶ ἤτοι στοχασμῷ νοηθῇ, ὅτι ὅλον τὸ τοῦ ὀστέου πάχος τέτρηται, ἢ παρὰ μικρὸν λεπτῆς συνεχείας καταλελειμμένης, τότε ὁ ἐνεργῶν καταγευέσθω τοῦ βάθους, καθεὶς βελόνης λεπτῆς τὸ ἀμβλὺ μέρος, κἂν ἔτι λείπηται συνέχεια, ἐπικαθιέναι δεῖ τὴν ἀκμὴν τοῦ τρυπάνου εἰς τὸ βάθος, καὶ τῇ ἠρεμαίᾳ στροφῇ τὸ καταλελειμμένον συνεχὲς ὀστέον τρῆσαι. Ποιεῖν δὲ τὰ αὐτὰ καὶ ἐν 14
τοῖς λοιποῖς τρήμασιν ἕως οὗ περιτρηθῇ ἡ ῥωγμή. Αὐτάρκη δὲ δια- 15
στήματα ἔστω τὰ μεταξὺ τῶν τρημάτων ἀναλογοῦντα πυρῆνι μήλης στενῆς. Μετὰ τὴν τῶν τρημάτων δόσιν ἐπὶ τὴν λεγομένην ἐκκοπὴν 16
χωρῆσαι δεῖ, ἵνα διακοπέντων τῶν τῶν ἐκτρημάτων διαστημάτων ἐξαιρεθῇ τὰ παρὰ φύσιν ἔχοντα ὀστέα. — Ἔστι δὲ ὁ ἄριστος ἐκκο- 17
πῆς τρόπος τοιόσδε· δύο δεῖ λαβεῖν σμιλιωτοὺς ἐκκοπέας, ἔπειτα τοῦ

certaine profondeur, l'os ayant été percé jusque par delà le diploé, on tournera la tarière avec plus de précaution, de peur de blesser la méninge, si la tarière s'enfonçait subitement. Quand la tarière est déjà 13
entrée profondément, et quand on conjecture que toute l'épaisseur de l'os a été traversée, ou qu'il ne s'en faut que de peu, de telle manière qu'il ne reste qu'une écaille mince, l'opérateur examinera quelle est la profondeur du trou, en introduisant la partie mousse d'une aiguille fine, et, s'il reste encore une partie non percée, on introduira de nouveau la pointe de la tarière dans le fond, et on percera, en tournant doucement, la partie de l'os qui est restée intacte. On fera également la même chose 14
pour les autres trous, jusqu'à ce que la fissure en soit entourée. Les in- 15
tervalles entre les trous seront suffisants, s'ils ont la même dimension que le bouton d'une sonde mince. Après avoir fait les trous, il faut en 16
venir à ce qu'on appelle l'excision, afin que, les intervalles des trous ayant été divisés, on puisse enlever les parties d'os qui se trouvent dans un état contre nature. — Voici quelle est la meilleure manière de 17
faire l'excision des os : on prendra deux scalpels à excision de la même

3-4. καταβιβασθὲν RU.— 6-7. λεπτῆς βελόνης U. — 7. λίπηται R.— 13. τῶν ἐκτρημάτων conj.; τῶν ἐκ τρημάτων ἐκ R; τῶν καὶ τρημάτων καί U.

Cocchi 94.

ἑνὸς τὴν ἀκμὴν εἰς τὸ δεύτερον ἢ τὸ τρίτον τρῆμα κατὰ τὴν ἑτέραν γωνίαν λελοξωμένην ἐντιθέναι, τὴν δὲ λαβὴν προστάξαι τῷ ἀντι-
18 καθημένῳ ὑπηρέτῃ ἀσφαλῶς συνέχειν ἀντερείσεως χάριν. Τοῦ δὲ ἑτέρου ἐκκοπέως ἡ ἀκμὴ ἐντιθέσθω εἰς τὸ πρῶτον τρῆμα, ἧς τὸ μὲν ὀλίγον μέρος ἔσω πρὸς ὑγιὲς ὀστέον τεταγμένον, τὸ δὲ ὠνυχωμένον πρὸς τὸ παρὰ φύσιν, ἐπείπερ ἰδίως ἐν τῇ πλήξει τέμνουσι
19 μᾶλλον οἱ ἐκκοπεῖς, κατὰ ὃ μέρος ὠνύχωται ἡ ἀκμή. Ἡ δὲ λαβὴ ὑπὸ τοῦ ἐνεργοῦντος κρατουμένη πλησσέσθω τῷ κεφαλικῷ σφυρίῳ.
20 Συμβαίνει δὲ ἅμα διαιρουμένου τοῦ ὀστέου σφηνοῦσθαι τὴν ἀκμήν,
21 καὶ διὰ τὴν ἕνωσιν βραδέως προβιβάζεσθαι. Πρὸς δὲ τὴν εὐχερῆ ἐνέργειαν ἐξαιρείσθω ἡ ἀκμή, καὶ πάλιν εἰς τὴν αὐτὴν τοῦ ὀστέου
22 ἐγκοπὴν ἐντιθέσθω, εἶτα ἡ λαβὴ πλησσέσθω. Γινέσθω δὲ τοῦτο ὁπόσον ἂν ἐνδέχηται, ἕως οὗ διακοπῇ ἡ μεταξὺ τῶν τρημάτων τοῦ
23 ὀστέου συνέχεια. Τὰ δὲ αὐτὰ γινέσθω ἔργα καὶ ἐπὶ τῶν λοιπῶν

forme que les scalpels ordinaires; ensuite on placera dans une direction oblique le tranchant d'un de ces scalpels dans l'un des deux côtés du deuxième ou du troisième trou, et on ordonnera, à l'aide qui est assis en face de l'opérateur, de tenir solidement le manche pour avoir un
18 contre-appui. On introduira le tranchant de l'autre scalpel à excision dans le premier trou; on placera la partie étroite (?) de ce tranchant contre la portion saine de l'os, et celle qui a la forme d'un ongle contre la portion qui est dans un état contre nature, puisque le scalpel à excision a la propriété spéciale de couper mieux avec la partie qui a reçu la forme d'un ongle, au moment où on frappe dessus [avec le
19 maillet]. L'opérateur devra tenir le manche, et on frappera dessus avec
20 le maillet destiné à la tête. Il advient qu'au même instant où on divise l'os, le tranchant s'enclave et avance lentement, parce qu'il s'engage tou-
21 jours de plus en plus entre les parties qui le resserrent. Pour rendre l'opération facile, on enlèvera le tranchant et on le replacera de nouveau dans la même entaille de l'os; ensuite on frappera sur le manche.
22 On agira ainsi autant de fois qu'on pourra, jusqu'à ce que la partie in-
23 tacte de l'os interposée entre les trous soit divisée. On fera répéter cette même opération pour les autres intervalles, jusqu'à ce que tous soient

10. ἕνωσιν conj.; ἔνωσιν R U. — Ib. προσβιβάζ. R.

μεταξὺ διαστημάτων, ἕως οὗ διακοπῇ πάντα καθὼς εἴρηται, χωρὶς
τοῦ ἐσχάτου καὶ δευτερεσχάτου, ἵνα μὴ τοῦ ὀστέου ὅλου διακοπέν-
τος, ἡ τοῦ ἀντερηρεισμένου ἐκκοπέως ἀκμὴ κενεμβατήσασα διέλῃ
τὴν μήνιγγα. Τοιγαροῦν ὅταν τὰ πλείω διαστήματα διακοπῇ, τὰ δὲ 24
ἔσχατα καταλειφθῇ, παρακαθήμενος ὑπηρέτης ἀσφαλῶς τὴν κεφα-
λὴν διακρατείτω, καὶ ὁ ἐνεργῶν ἠρέμα τῇ πλήξει χρώμενος, τὴν
λοιπὴν τοῦ ὀστέου συνέχειαν διακοψάτω. Τοῦ δὲ ὀστέου κατὰ κύ- 25
κλον ὅλου περικοπέντος πρὸς τὴν ἀναβολὴν αὐτοῦ ὁρμῆσαι δεῖ.
Μετεωριζέσθω δὴ πρῶτον τοῖς ἀναβολεῦσιν, ἢ μετὰ ἀναβολέως καὶ 26
τῷ κυαθίσκῳ τῆς τραυματικῆς μηλωτρίδος· ὅταν δὲ ἄνω μετεωρι-
σθῇ, τότε ὀστάγρᾳ ἀναιρείσθω· οὗ κομισθέντος, τῷ δακτύλῳ κατὰ
κύκλον περιαγομένῳ προσάψασθαι δεῖ τῆς ἐκτρήσεως, κἂν μὲν ᾖ
λεία, οὕτως ἐᾶσαι· ἐὰν δέ τις ὀξεῖα ὑποπέσῃ προὔχουσα κατά τι
μέρος τῆς ἐκτρήσεως, ἀποθραυέσθω. Ἀποθραυέσθω δὲ μετὰ ἀσφα- 27
λείας, τῆς | μήνιγγος μηνιγγοφύλακι σκεπομένης. Δεῖ δὲ τὸ ἕτερον 97 28

divisés, ainsi que nous l'avons dit; on en exceptera cependant le dernier
et l'avant-dernier, de peur que, l'os ayant été divisé en entier, le tran-
chant du scalpel à excision, qui sert de contre-appui, ne fasse, en tom-
bant dans le vide, une incision dans la membrane du cerveau. Lors donc 24
qu'on aura divisé la plupart des intervalles, et qu'il ne reste plus que
les derniers, l'aide assis à côté de l'opérateur devra tenir solidement la
tête du malade, et l'opérateur divisera la partie de l'os qui reste cohé-
rente en frappant doucement. Après avoir excisé circulairement de tous 25
les côtés l'os [malade] tout entier, on procède à l'extraction. [A cet effet] 26
on le soulève d'abord soit avec des instruments propres à soulever,
soit avec cet instrument et la curette de la sonde dont on se sert pour
les plaies; après l'avoir soulevé, on l'enlève avec une pince à os, et,
quand on l'a ôté, il faut explorer [les bords de] l'ouverture en faisant
circulairement le tour avec le doigt; si ces bords sont lisses, on n'y tou-
chera pas; mais, si on rencontre une esquille qui fasse saillie dans un
point quelconque des bords de l'ouverture, on l'enlèvera en la cassant.
Seulement on devra la casser avec précaution, en protégeant la mem- 27
brane du cerveau à l'aide d'un garde-méninge. On doit placer l'une des 28

3. ἀντερεισμ. RU. — 8. πρός conj.; περί RU. — 14. Ἀποθεραπευέσθω R.

Cocchi 97.

μέρος τοῦ μηνιγγοφύλακος ἐπιτιθέναι τῇ μήνιγγι, καὶ τὸ πέρας ὑπερείδειν τῷ ὑγιεῖ ὀστέῳ ὑπὸ τὴν ὀξεῖαν, καὶ ἀποθραύειν σμιλίῳ, ἢ τῇ τοῦ ἐκκοπέως ἀκμῇ, τῆς λαβῆς κρατουμένης καὶ πλησσομένης
29 τῷ σφυρίῳ. Ἐὰν δὲ μετὰ τὴν θραῦσιν ἀνώμαλος ὁ τῆς ἐκτρήσεως
30 τόπος ᾖ, τῷ λεγομένῳ περιξυστῆρι λειοποιείσθω. Ἐὰν δέ τινα ᾖ ὀστάρια τεθραυσμένα ἐπικείμενα τῇ μήνιγγι, ἀθερολογίῳ ἐκλεγέσθω· τὰ δὲ τοῦ ὀστέου ψήγματα ἐρίῳ περὶ μηλωτρίδα εἰλημένῳ
31 ἐκλαμβανέσθω. Ὁ δὲ Ἀρχίβιος ἀναστείλας τὰ τραύματα, τὴν μεσότητα τῆς ῥωγμῆς ἐξέκοψε, τὰ δὲ πέρατα οὕτως εἴασεν, ἵνα διὰ τοῦ μέσου τόπου ἅμα μὲν τῶν ὑγρῶν ἔκκρισις, ἅμα δὲ ἡ τῶν φαρμάκων ἔγχυσις γένηται· τῷ δὲ Μηνοδώρῳ δοκεῖ ὅλον ἐκκόπτειν τὸ
32 ὀστέον. Ἀρέσκει δὲ κἀμοὶ ὅλον τὸ ἀφεστὸς ὀστέον τὸ παρὰ φύσιν
33 ἔχον ἐκκόπτειν. Εἴωθα δέ ποτε κἀγὼ τὰ μέσα μέρη [ἐκ]κόπτειν·

deux faces du garde-méninge sur la membrane du cerveau, tandis qu'on appuie son extrémité au-dessous de la partie saine de l'os, près de l'esquille, et on cassera cette esquille avec un scalpel ordinaire, ou avec le tranchant du scalpel à excision, en tenant le manche et en frappant des-
29 sus avec le maillet. Si, après qu'on a déraciné l'esquille, le point qu'elle occupait présente une surface inégale, on doit rendre cette surface lisse
30 à l'aide de l'intrument dit *racleur circulaire*. Si des fragments osseux cassés se trouvent placés sur la membrane du cerveau, on les rassemblera avec le *ramasse-arête*, tandis qu'on recueillera les petites particules
31 osseuses avec de la laine roulée autour d'une sonde auriculaire. Après avoir débridé les plaies, Archibius pratiquait l'excision [uniquement] sur le milieu de la fissure, et il laissait les extrémités de cette fissure dans l'état où elles étaient, afin que cette partie centrale pût servir à la fois à l'écoulement des liquides et à l'injection des médicaments; mais Méno-
32 dore est d'avis de soumettre l'os tout entier à l'excision. Je suis également d'avis d'exciser toute la partie fendue de l'os, [c'est-à-dire] toute celle
33 qui se trouve dans un état contre nature. Cependant, dans certains cas, j'ai aussi l'habitude d'exciser [uniquement] la partie du milieu; c'est

4. ἀνώμαλος ὁ conj.; ἀνώμαλος R; ἄνω μᾶλλον U. — 6. ἐπικείμενα om. U. — 8. Ἀρχίβιαος (sic) R. — 11. ἔκχυσις R. — 13. [ἐκ]κόπτειν ex em.; κόπτειν RU.

*ὅταν δὲ ᾖ τινα ἐῤῥωγότα τοῦ κρανίου μέρη ἐπιπολαιότερα, τῆς μή-
νιγγος τοῖς ὀστέοις προσκειμένης, τὰ οὕτως ἔχοντα καταλείπω,
χρώμενος μετὰ τὴν ἀνάτρησιν τῇ καταλλήλῳ θεραπείᾳ.* Τῆς *δὲ* 34
*ῥωγμῆς πλησίον ῥαφῆς γεγενημένης κατὰ φύσιν ἐχούσης, μόνη ἡ
ῥωγμὴ περιτιτράσθω καὶ ἐκκοπτέσθω· πρὸς δὲ τὴν ἀσφαλῆ ἀνά-
τρησιν στίχος εὐθὺς τρημάτων διδόσθω μεταξὺ τῆς ῥαφῆς καὶ τῆς
ῥωγμῆς, ἔπειτα ἄλλος ὑπό τι ἡμικυκλοειδὴς περιορίζων ὅλην τὴν
ῥωγμήν, αὐτοῦ τοῦ παρὰ φύσιν ἔχοντος ὀστέου περιτιτραμένου.*
Μετὰ *δὲ τὴν περίτρησιν δοκιμαζέσθω ἐκκοπὴ κατὰ τὸν ὑποδεδειγμέ-* 35
νον τρόπον. Εἰ *δὲ πλησίον τῆς ῥαφῆς δύο γένωνται ῥωγμαί, ἢ μιᾶς* 36
γεγενημένης συναποστῇ ἡ ῥαφή, ἑκατέρωθεν ἐκτιτράσθω ὅλον τὸ ἀφεστὸς ὀστέον, καὶ ἐκκοπτέσθω μετὰ ἀσφαλείας, ἵνα μὴ τῇ τῆς ἐκκοπῆς βίᾳ διαστῇ ἡ ῥαφή.

lorsque certaines parties du crâne sont le siége d'une fissure superficielle, tandis que la membrane du cerveau reste appliquée contre les os; quand les parties sont dans cet état, je les abandonne à elles-mêmes, en employant, après avoir perforé le crâne, le traitement qui convient
en pareil cas. Si la fissure existe dans le voisinage d'une suture, et quand 34
cette suture est dans l'état naturel, la fissure seule doit être entourée de trous et soumise à l'excision; mais, pour que la perforation du crâne se fasse avec sûreté, il faut d'abord percer une série de trous entre la suture et la fissure; ensuite on en fera une nouvelle série de forme à peu près semi-circulaire, laquelle servira de limite à la fissure tout entière, en entourant de trous la partie elle-même de l'os qui se trouve dans
un état contre nature. Après avoir pratiqué ces trous, on recomman- 35
dera de faire l'excision de la manière que j'ai enseignée plus haut. S'il 36
y a deux fissures dans le voisinage de la suture, ou s'il n'y en a qu'une seule, mais que la suture présente également un écartement de ses bords, on percera des deux côtés des trous dans toute la partie fendue de l'os, et on l'excisera avec précaution, de peur que la force qu'on met en œuvre pour faire cette opération ne produise une déhiscence de la suture.

8. *τοῦ* om U. — 10. *πλησίον* om. U. — 11. *οὖν ἀποστῇ* U.

Cocchi 97.

ιβ'. Περὶ ἐγκοπῆς.

1 Ἡ ἐγκοπὴ διαίρεσίς ἐσΊι τοῦ κρανίου μετὰ ἀνακλασμοῦ τοῦ πε-
πονθότος, ἔσΊι δὲ ὅτε καὶ μετὰ ἀποθραύσεως τοῦ πεπονθότος ὀσΊα-
2 ρίου. Ἐὰν μὲν οὖν ᾖ ἀποτεθραυσμένον, ἀπολυτέον τὸ ὀσΊέον, καὶ
μετὰ τὴν τῶν σωμάτων ἀνασΊολὴν δακτύλοις ἢ ἀθερολογίῳ κομι-
ζέσθω, καὶ τὸ κατὰ φύσιν ὀσΊέον ἀνώμαλον ὂν ξύσει λειούσθω· ἐὰν
δὲ συνέχηται κατὰ τὴν βάσιν τὸ ἐγκεκομμένον ὀσΊέον, λεπΊῆς μὲν
οὔσης τῆς συνεχείας, αὐτόθεν διὰ τῶν σμιλιωτῶν ἐκκοπέων ἡ ἐκ-
κοπὴ γινέσθω τοῦ ἀνακεκλασμένου ὀσΊαρίου· εὐτόνου δὲ οὔσης τῆς
κατὰ τὴν βάσιν συνεχείας, πρότερον αὐτὴ ἡ βάσις ἐκ διασΊημά-
των συμμέτρων τιτράσθω, ἔπειτα διακοπΊέσθω τὰ μεταξὺ τῶν τρη-
3 μάτων διασΊήματα τοῖς σμιλιωτοῖς ἐκκοπεῦσιν. Μετὰ δὲ τὴν τοῦ
ὀσΊέου ἀναίρεσιν ἡ ξύσις πρὸς λειοποίησιν τοῦ κρανίου δοκιμα-
ζέσθω.

12. DE L'ENTAILLE.

1 L'*entaille* est une division du crâne avec renversement de la partie
affectée, quelquefois aussi avec brisure de la petite pièce osseuse malade.
2 Si donc l'os a été brisé, il faut le détacher [des parties molles] et l'en-
lever, après le débridement, soit avec les doigts, soit avec le *ramasse-
arête;* si l'os sain présente une surface inégale, on le rendra lisse en le
ruginant; si l'os qui forme l'*entaille* est retenu par sa base, mais si le point
d'adhérence est étroit, on fera immédiatement, à l'aide de scalpels à
excision semblables à des scalpels ordinaires, l'excision de la petite pièce
osseuse renversée; si, au contraire, cette adhérence est très-résistante, on
percera d'abord la base elle-même à de petites distances, et ensuite on
divisera les intervalles entre les trous avec des scalpels à excision sem-
3 blables à des scalpels ordinaires. Quand l'os aura été enlevé, on recom-
mandera de ruginer le crâne pour le rendre lisse.

1. Ἐκκοπή R; it. Tit. — 5. τῷ κατὰ φ. ὀσΊέῳ U.

| ιγ'. Περὶ καμαρώσεως. 98

Ἡ καμάρωσις διαίρεσίς ἐστι τοῦ κρανίου μετὰ ὑψώσεως τῶν πε- 1
πονθότων ὀστέων, ὥστε τὴν καμάρωσιν ἢ διπλῆν εἶναι ὑψηλοτέραν
ἐγκοπὴν, ἢ ῥαγάδα μεμετεωρισμένα ἔχουσαν τὰ χείλη. Ὅσα τε 2
ἐπὶ τῇ ῥωγμῇ παρήγγειλα ποιεῖν, ταῦτα καὶ ἐπὶ τῆς καμαρώσεως
γινέσθω.

ιδ'. Περὶ ἐμπιέσματος.

Τὸ ἐμπίεσμα πολυμερής ἐστι τοῦ κρανίου διαίρεσις κατά τι μέ- 1
ρος μετὰ τοῦ τὰ κατεαγότα ὀστάρια ὑποκεχωρηκέναι κάτω ὡς πρὸς
τὴν μήνιγγα. Τῶν δὲ ὀσταρίων τούτων ἐὰν μὲν ᾖ τινα ἐν μέσῳ 2
ἀπόλυτα ἐμπλέοντα, ἀθερολογίῳ κομιζέσθω, καὶ τὸ γεγυμνωμένον
μέρος τῆς μήνιγγος ὀθονίῳ καθαρῷ σκεπέσθω, ἅμα καὶ τῶν ἀνωμά-
λων ὀσταρίων ὑπὸ τοῦ αὐτοῦ ὀθονίου σκεπομένων, καὶ τότε ἡ ἐπί-

13. DE LA FRACTURE EN VOÛTE (*CAMAROSE*).

La fracture en voûte est une division du crâne avec soulèvement des 1
os, de manière que la fracture en voûte est ou une entaille double d'une
hauteur plus considérable, ou une fissure dont les bords sont soulevés.
En cas de fracture en voûte, on fera tout ce que j'ai prescrit en cas de 2
fissure.

14. DE L'EMPIESME (*FRACTURE AVEC DÉPRESSION*).

L'empiesme est une division multiple dans une partie quelconque du 1
crâne avec abaissement des os fracturés sur la membrane du cerveau. Si 2
quelques-uns des fragments flottent librement au milieu [de la fracture],
il faut les enlever avec le *ramasse-arête* et recouvrir la partie dénudée
de la membrane du cerveau avec un linge propre, linge qui recouvrira
également les fragments inégaux; alors on agrandira le trou de la fracture

Ch. 13, l. 3. ἐκκοπήν RU. — Ib. μετεωρ. U. — Ch. 14, l. 7. τά om. R.

Cocchi 98.

3 τρησις τοῦ κατάγματος καὶ ἡ ἀκόλουθος ἐκκοπὴ γινέσθω. Ὅταν δὲ συμπεπηγότα μὲν ᾖ τὰ ὀστάρια, κάτω δὲ ὑποκεχωρηκότα πρὸς τὴν μήνιγγα, τότε αὐτὸς ὁ κύκλος τοῦ κατάγματος περιτιτράσθω
4 καὶ ἐκκοπτέσθω. Ἀσφαλείας δὲ χρείαν ἔχει τὸ ἔργον διὰ τὴν μήνιγγα.

ιε'. Περὶ ἐγγεισώματος.

1 Τὸ ἐγγείσωμα διαίρεσίς ἐστιν ὀστέου τοῦ κρανίου μετὰ τοῦ τὸ κατεαγὸς ὀστέον ὑποκεχωρηκέναι κάτω καὶ ὑπεληλυθέναι τῷ κατὰ
2 φύσιν. Δύο δέ εἰσι τῶν ἐγγεισωμάτων διαφοραί· ἢ γὰρ ἀπόλυτον τὸ ὀστέον τὸ κατεαγὸς ὑπὸ τὸ ἀντικείμενον τὸ κατὰ φύσιν ἔχον χωρεῖ, ἢ κυκλοτεροῦς γεγονότος τοῦ κατάγματος, τοῦ ἀπολελυμένου ὀστέου πλατυτέρου ὄντος κατὰ τὴν βάσιν, στενοτέρου δὲ κατὰ τὴν κορυφήν, τὸ ὑποκεχωρηκὸς εὑρίσκεται συνεχόμενον κατὰ ὅλον τὸν κύ-
3 κλον ὑπὸ ὀφρυώδους ἐξοχῆς. Κατὰ μὲν οὖν τὴν προτέραν διαφοράν, κατὰ ὃ μέρος τοῦ πέρατος τοῦ κατάγματος τὸ κατὰ φύσιν ὀστέον

par d'autres trous, et on pratiquera l'excision dont cette opération doit
3 être suivie. Si les fragments sont solidement attachés, mais s'ils se sont abaissés vers la membrane du cerveau, on entourera toute la circonfé-
4 rence de la fracture de trous, et on pratiquera l'excision. Cette opération devra être faite avec précaution[1], en vue de la membrane du cerveau.

15. DE LA FRACTURE EN AUVENT (*ENGISOME*).

1 La fracture en auvent est une division de l'os du crâne ainsi carac-
2 térisée : l'os fracturé s'est abaissé et logé sous l'os sain. Il y a deux variétés de fractures en auvent : ou l'os fracturé est détaché et s'est logé sous l'os du côté opposé, lequel se trouvait dans son état naturel, ou bien la fracture était circulaire et la partie inférieure de l'os détaché était plus large que la partie supérieure; on trouve que l'os abaissé est retenu
3 sur toute sa circonférence par une saillie en forme de sourcil. Dans la première espèce, on pratiquera, aux limites de la fracture, sur l'os sain,

Ch. 15, l. 6. τό post τοῦ om. R.

τὸ ἐπικείμενον τῷ παρὰ φύσιν, ἐπιτρῆσαι δεῖ καὶ ἐκκόψαι, ἵνα γυμνωθὲν τὸ ἐγκεκομμένον ὀστέον ἀναιρεθῇ. Ἐπὶ δὲ τῆς ἑτέρας διαφο- 4
ρᾶς, συνεχομένου τοῦ ἐγγεισώματος ὑπὸ τῆς κατὰ κύκλον ὀφρυώδους ἐξοχῆς, αὐτὸ τὸ κατὰ φύσιν ἔχον ὀστέον περιτρῆσαι δεῖ καὶ ἐκκόψαι, ἵνα γυμνωθῇ ὅλον τὸ περιεῤῥωγὸς, καὶ τότε τοῖς ἀναβολεῦσιν αὐτὸ μετεωρίσαι πρὸς τὴν κομιδήν. Κοινότερον δὲ ἐπὶ πά- 5
σης ἀνατρήσεως ἐὰν μὲν ᾖ ἀπόλυτα τοῦ κατάγματος ὀστάρια, αὐτόθεν κομιζέσθω· ἐὰν δὲ συνέχηται πρὸς τὴν μήνιγγα, πρότερον κατὰ ὑποδορὰν μήλης πλάτει, ἢ τυφλαγκίστρῳ ὑποδερέσθω τὸ ὀστάριον, ἵνα χωρισθῇ τῆς μήνιγγος. Δυσχεροῦς δὲ οὔσης τῆς ὑποδο- 6
ρᾶς, ἐὰν μηδὲν ἀδικῇ τὴν μήνιγγα, οὕτως ἐάσθω ἕως οὗ τῇ πυώσει ἀπόλυτον γένηται.

ιϛʹ. Περὶ ὑποπύων ὀστέων.

Τὸ λεγόμενον ὑπόπυον ὀστέον, κατάγματος μὴ ὄντος, ἐν μὲν αὐτῷ 1

lequel recouvre en partie l'os déplacé, des trous et une excision, afin qu'étant dénudé, l'os qui est le siége d'une *entaille* puisse être enlevé.
Dans l'autre variété, où [l'os qui constitue] l'*engisome* est retenu par la 4
saillie circulaire en forme de sourcil, on entoure de trous et on excise l'os sain, afin que celui qui est enclavé par suite de la fissure puisse être entièrement dénudé; alors on le soulève avec des élévateurs et on
l'ôte. Pour le dire plus en général, dans toute perforation du crâne, 5
enlevez immédiatement les esquilles détachées; mais, si elles sont adhérentes à la membrane du cerveau, isolez d'abord l'esquille, par une espèce de dissection, avec le plat de la sonde ou avec le crochet mousse,
afin qu'elle se détache de cette membrane. Comme cette séparation est 6
difficile, on doit, si l'esquille ne cause aucun dommage à la membrane du cerveau, l'abandonner à elle-même jusqu'à ce qu'elle se détache par l'effet de la suppuration.

16. DES OS QUI RECOUVRENT DU PUS.

Si, dans l'affection appelée *os qui recouvre du pus*, il n'y a pas de frac- 1

1. ἐπικείμενον ex em. Cocchi; ὑποκείμενον RU. — 2. ἐκκεκομμένον RU. — 7. τὰ ὀστάρια R. — 9. καὶ τὰ ὑπὸ δορὰν R.

Cocchi 98-101.

τῷ κρανίῳ ἐν διαστολῇ τοῦ ὑγροῦ συλλελεγμένου, περιτρῆσαι δεῖ
2 ὅλον τὸ ἀφεστὸς ὀστέον καὶ ἐκκόψαι. Ἐν δὲ τῷ περιτιτρᾷν τοῦ
101 ὑγροῦ διὰ τῶν τρημάτων ἀναφερομένου, | ἐπέχειν αὐτὸ δεῖ τιλτῶν μοταρίων ἐντιθεμένων· συνεκχεομένου γὰρ τοῦ ὑγροῦ αἰσθητὴ γίνεται ἡ περίτρησις, ἕως τοῦ πύου τοῦ τρυπάνου καταβιβαζομένου.
3 Ἐπὶ δὲ τῆς ὑπὸ τὸ κρανίον καὶ ἐν τῇ διπλόῃ συλλογῆς, τῆς μήνιγγος ἀφεστώσης τοῦ ὀστέου, ἔργα δοκιμαζέσθω τὰ ἐπὶ τῶν ῥωγμῶν εἰρημένα τῶν μετὰ ἀποστάσεως τῆς μήνιγγος γεγονυιῶν.

ιζ'. Περὶ θλάσματος.

1 Ὅταν ποτὲ θλασθῇ τὸ κρανίον ἐπὶ παίδων κατά τι μέρος ἐκ παραπιεσμοῦ, μηδενὸς ἐπισυμβεβηκότος ὀχληροῦ, εἴωθε πάλιν μετεωρίζεσθαι ἰσούμενον τῷ κατὰ φύσιν, ὑπὸ αὐτῆς τῆς μήνιγγος ἀναβιβαζόμενον.
2 Ἐπὶ τοῦ τοιούτου θλάσματος οὐδὲν δεῖ περιεργάζε-

ture, et si le liquide se trouve dans un insterstice du crâne lui-même, on entourera de trous et on excisera toute la partie de l'os où il s'est
2 produit un écartement. Si, pendant l'emploi de la tarière, du liquide remonte à travers les trous, on s'opposera à sa sortie [complète], en introduisant des tentes de charpie; car [à chaque nouveau trou que l'on fait] l'écoulement du liquide indique que la tarière est arrivée jusqu'au
3 pus. Lorsqu'il y a une collection purulente sous le crâne ou dans le diploé, et que la membrane du cerveau s'est détachée de l'os, on recommandera le procédé opératoire que nous avons décrit à propos des fissures avec détachement de la membrane du cerveau.

17. DE LA CONTUSION.

1 Une partie du crâne est-elle contusionnée, chez les enfants, par l'effet d'une compression latérale de la tête, si rien de fâcheux ne survient, ordinairement les os se relèvent et reprennent le même niveau que l'os
2 sain, étant repoussés par la membrane du cerveau. Contre une pareille contusion on ne doit pas prendre des soins inutiles, mais couvrir la tête

2. περιτιτρᾷν ex em.; περιτρᾶν RU. — 3. τίλτων U. — 4. συνεχομένου RU. — 5. περίτρ. ὀστοῦ πυοῦ ὑπὸ τοῦ U. — 7. τά om. U. — Ch. 17, l. 9. Ὅταν ἀποτεθλασθῇ R. — Ib. κρανίον τὰ ἐπί R.

σθαι, ἀλλὰ ἐρίῳ μαλακῷ ἐλαίῳ βεβρεγμένῳ σκέπειν τὸ κεφάλιον·
ἐξέσται δὲ, ὅταν βραδύνῃ, σπληνίῳ χρῆσθαι δυνάμεως ἀφλεγμάν-
του. Συλλογῆς δὲ γενομένης ὑπὸ τὸ δέρμα, τῆς μήνιγγος τῷ κρανίῳ 3
προστετυπωμένης, διαιρέσει ἀναστελλέσθω τὸ δέρμα πρὸς τὴν τοῦ
ὑγροῦ ἔκκρισιν· ἔπειτα διαμοτούσθω ἡ διαίρεσις, καὶ ἡ ἀκόλουθος
θεραπεία ἐγκρινέσθω. Τῆς δὲ συλλογῆς ὑπὸ τὸ θλάσμα γεγενη- 4
μένης, τῆς μήνιγγος ἀφεστώσης, οὐδὲν ἄλλο δεῖ ποιῆσαι ἢ περι-
τρῆσαι καὶ ἐκκόψαι τὸ παρὰ φύσιν ὀστάριον τὸ ἐπικείμενον τῷ
πύῳ. Γινέσθω δὲ μετὰ σπουδῆς καὶ ἀκριβείας τὸ ἔργον, ἵνα μὴ 5
τρωθῇ ἡ μῆνιγξ· μετὰ δὲ τὴν περίτρησιν [ἡ] ἐκκοπὴ γινέσθω μετὰ
ἀσφαλείας.

ιη'. Περὶ τῆς τῶν ῥαφῶν διαστάσεως.

Τῆς τῶν ῥαφῶν διαστάσεως ἐκ ῥευματισμοῦ γεγενημένης, τὰ 1
πρῶτα ἔργα γινέσθω ὅσα εἴρηται ἐπὶ τῶν ὑδροκεφάλων, κἂν μετὰ

de laine molle trempée dans de l'huile; on pourra aussi, quand la maladie traîne en longueur, employer un emplâtre capable de combattre
l'inflammation. S'il s'est formé une collection [purulente] sous la peau, 3
la membrane du cerveau restant moulée sur le crâne, on relâchera la peau à l'aide d'une incision pour évacuer le liquide; ensuite on remplira l'incision de tentes et on adoptera le traitement consécutif approprié.
Si la collection s'est formée sous la partie contusionnée, la membrane du 4
cerveau s'étant détachée, il n'y a rien autre chose à faire qu'à entourer de trous et à exciser la portion de l'os qui est dans un état contre nature
et qui recouvre le pus. Cependant cette opération réclame de l'attention 5
et de la précision, si l'on veut ne pas blesser la membrane du cerveau; après avoir percé les trous, on pratiquera l'excision avec prudence.

18. DE LA DÉHISCENCE DES SUTURES.

Quand la déhiscence des sutures est la conséquence d'une maladie 1
fluxionnaire, on aura d'abord recours au procédé opératoire décrit à propos de l'hydrocéphale; si, après l'évacuation complète du liquide et

10. [ἡ] ex em.; om. RU. — Ch. 18, l. 13. ἔργα om. U. — Ib. εἰρήσεται U.

Cocchi 101.

τὴν παντελῆ τοῦ ὑγροῦ ἔκκρισιν, τῆς ἀκολούθου ἀγωγῆς δοκιμασθείσης, συναρμογῶσιν αἱ ῥαφαὶ, ἀσμενίζειν δεῖ· ἐὰν δὲ φθαρῇ τὰ τῶν ὀστέων πέρατα τὰ ἑκατέρωθεν, περιτιτράσθω καὶ ἐκκοπτέσθω.

2 Ἐκ πληγῆς δὲ τῆς διαστάσεως γεγενημένης, ἀνυπερθέτως δεῖ ἑκατέρωθεν διὰ τῶν χειρῶν παραπιέζειν τὴν κεφαλὴν, καὶ τὰ διιστάμενα ὀστᾶ συνάγειν πρὸς τὴν κατὰ φύσιν τῆς ῥαφῆς συναρμογὴν, ἔπειτα ὅλην τὴν κεφαλὴν ἀποξυρᾷν καὶ ἐπιτιθέναι σπληνίον δυνάμεως ἀφλεγμάντου κολλητικῆς, ἐπιδεῖν δὲ ἐπιδέσει τῇ δυναμένῃ συνεργῆσαι τῇ τῶν ῥαφῶν συμβολῇ, τῷ λαγωῷ ἐπιδέσμῳ, λύειν τε διὰ μιᾶς ἡμέρας, ἢ διὰ δύο, καὶ πυρίαν ξηρὰν προσάγειν, ἐπιτιθέναι τε τὸ αὐτὸ σπληνίον, καὶ ἐπιδέσει τῇ αὐτῇ χρῆσθαι· εἴωθε δὲ διὰ
3 τῆς εἰρημένης ἀγωγῆς κρατύνεσθαι ἡ τῶν ὀστέων συμβολή. Ἐὰν δέ ποτε ὑπόπυον γένηται τὸ τῆς ῥαφῆς διάστημα, διαιρείσθω τὸ ἐπὶ τῷ ὑγρῷ σῶμα, καὶ μετὰ τὴν τοῦ πύου ἔκκρισιν ἑκατέρωθεν ὡς ἐπὶ ῥωγμῆς περιτιτράσθω τὰ τῆς ῥαφῆς πέρατα καὶ ἐκκοπτέσθω.

l'emploi du traitement consécutif, les sutures s'affrontent, on se tiendra pour satisfait; si, au contraire, les bords des os des deux côtés se sont
2 détériorés, on les entourera de trous et on les excisera. La déhiscence est-elle la conséquence d'une violence extérieure, on comprimera immédiatement la tête des deux côtés avec les mains, et on rapprochera l'un de l'autre les os qui se sont écartés, pour obtenir la coaptation naturelle de la suture; ensuite on rasera toute la tête et on la recouvrira d'un emplâtre capable de combattre l'inflammation et d'agglutiner; on emploiera un bandage qui puisse coopérer à la réunion des sutures, par exemple *le lièvre* (XLVIII, 26, 27); on défera l'appareil à un ou deux jours d'intervalle, on pratiquera une fomentation sèche, on remettra le même emplâtre et on se servira du même bandage; habituellement les sutures se rejoignent solidement par le traitement que nous venons de
3 décrire. S'il s'est formé du pus sous la déhiscence de la suture, on divise les parties qui recouvrent le liquide, et, après avoir évacué le pus, on entoure de trous les deux bords de la suture et on pratique l'excision comme dans le cas de fissure.

3. τά om. U. — 6. συνεισάγειν U. — 8-9. δυνάμει συνεργούσῃ R[a].

ιθ'. Θεραπεία ἀνατετρημένων.

Ἐπὶ τῶν ἀνατετρημένων αἱμοῤῥαγίας μὲν οὔσης βοηθήματα πρῶ- 1
τον ὀφείλει ἐπάγεσθαι πρὸς τὴν τοῦ αἵματος ἐπίσχεσιν τὰ παρα-
δοθησόμενα ἐν τοῖς περὶ αἱμοῤῥαγίας· αἱμοῤῥαγίας δὲ μὴ γενομένης,
ἠρέμα δεῖ τὸ ἐπικείμενον τῇ μήνιγγι | αἷμα ἐρίῳ περὶ μηλωτρίδα 102
ὀξυκράτῳ βεβρεγμένῳ ἀποκαθαίρειν, καὶ τότε ῥόδινον ἔλαιον ἐπι-
στάζειν τῇ μήνιγγι, ἔπειτα μοτάρια ῥοδίνῳ βεβρεγμένα ὑπὸ τὰ
ἀνεσταλμένα σώματα ἐπιτιθέναι, καὶ ἄλλα μοτάρια μακρότερα ῥο-
δίνῳ βεβρεγμένα διπλᾶ εἰς τὰς διαιρέσεις τῆς ἀνατομῆς τιθέναι.
Ἔστωσαν δὲ τούτων αἱ διπλόαι ἔνδον νενευκυῖαι, καὶ τὰ πέρατα 2
ἔξωθεν ἐσχηματισμένα, ἵνα μὴ αἱ τῶν ἄκρων ἐξάστεις τῇ μήνιγγι
ἐπισύρωνται. Γενομένων δὲ τούτων, ὅλῳ τῷ κύκλῳ τῆς ἀναστολῆς 3
ἄλλα μοτάρια ῥοδίνῳ βεβρεγμένα ἐπιτιθέσθω. Ἐκ δὲ τῆς δεδηλω- 4
μένης περιμοτώσεως εὐρυχωρία γίνεται κοίλη μηνοειδής, ἣν καὶ

19. TRAITEMENT CONSÉCUTIF DE LA TRÉPANATION.

Lorsque, après la trépanation, il y a une hémorragie, on a recours 1
aux médicaments hémostatiques, dont nous parlerons plus tard à propos
de l'hémorragie; si, au contraire, il n'y a pas d'hémorragie, on essuiera
doucement, avec de la laine roulée autour d'une sonde auriculaire et
trempée dans de l'eau vinaigrée, le peu de sang épanché sur la mem-
brane du cerveau; après quoi on fera tomber goutte à goutte de l'huile
aux roses sur cette membrane; puis on appliquera des tentes trempées
dans l'huile aux roses sous les parties soulevées (*détachées du crâne*), et
d'autres tentes plus longues, pliées en deux et également trempées dans
l'huile aux roses, entre les lèvres des incisions. Quant aux tentes pliées 2
en deux, on met en dedans la partie repliée, tandis que les bouts seront
placés de manière à pendre au dehors, afin que l'extrémité des filaments
ne frotte pas sur la membrane du cerveau. Puis on mettra sur toute la 3
circonférence des parties détachées d'autres tentes trempées dans l'huile
aux roses. Cette méthode d'entourer de tentes les parties affectées a 4
pour résultat de produire un espace vide et creux de forme semi-

Ch. 19, l. 7. σώματα om. U. — 8. ῥοδ. R. — Ib. δέ om. R. — 13-p. 171, ἀναστολῆς conj. Cocchi. — 12. τῷ l. 1. καὶ πρὸς ἀναστολὴν ῥᾶσαι δεῖ R.

Cocchi 102.

προσαναπληρῶσαι δεῖ τῇ τοῦ ῥοδίνου ἐπιχύσει, καὶ τότε τῷ λεγο-
μένῳ μηνιγγοφύλακι ῥοδίνῳ βεβρεγμένῳ σκεπάσαι τὴν ἀχάνειαν.
5 Ὁ δὲ μηνιγγοφύλαξ βύσσινον ἔστω ὕφασμα, ἢ ὀθόνιον λεπτὸν καὶ
καθαρόν· κατὰ δὲ τούτου ἔριον λεπτὸν μαλακὸν τῷ ῥοδίνῳ βε-
6-7 βρεγμένον ἐπιτιθέναι δεῖ. Χορηγὸς δὲ λέγεται τοῦτο. Κοινότερον δὲ
τῷ χορηγῷ καὶ τῷ μηνιγγοφύλακι μότοι προσπλάσσονται κεκηρω-
8 μένοι, ἵνα μείνῃ αὐτῶν ἡ περίτασις. Μετὰ δὲ ταύτην ὅλῃ τῇ κεφαλῇ
ἐπιτιθέναι σπληνίον κεκηρωμένον ἐκκεκομμένον κατὰ τὴν ἀνάτρησιν
9 πρὸς τὴν τοῦ ῥοδίνου χορηγίαν. Καὶ ταῖς σιαγόσι δὲ ἄλλο κεκηρω-
10 μένον σπληνίον προστιθέσθω. Ἔπειτα κατὰ τοῦ σπληνίου τοῦ τῇ κε-
φαλῇ ἐπικειμένου κύκλος ἐξ ἐρίου περιτίθεται, περιορίζων τὸν τῆς
11 ἀνατρήσεως τόπον. Ὁ δὲ τροχὸς οὗτος κουφιστὴρ καλεῖται ἀπὸ τοῦ
κουφίζειν τὸ μετὰ αὐτὸν ὅλῃ τῇ κεφαλῇ ἐπιτιθέμενον ἔριον· δεῖ
γὰρ μετὰ τὸν κύκλον τὴν ὅλην κεφαλὴν ἐρίῳ σκεπάσαι, προσθεῖ-
12 ναι δὲ καὶ ταῖς σιαγόσιν ἄλλο ἔριον. Πάντα δὲ ταῦτα συνέχεται οὐκ

lunaire, qu'on remplit en y versant de l'huile aux roses; alors on re-
couvre cet espace avec la compresse dite *garde-méninge*, imbibée d'huile
5 aux roses. Ce garde-méninge sera soit un tissu de coton, soit un linge fin
et propre, sur lequel on placera de la laine fine et douce trempée dans
6-7 l'huile aux roses. Cette laine s'appelle *chorége*. Des tentes cirées, devant
servir aussi bien pour le chorége que pour le garde-méninge, seront
appliquées contre ces deux pièces de pansement, afin que la pression
8 circulaire qu'elles exercent soit persistante. On recouvre ensuite la tête
tout entière d'une compresse cirée, dont on a coupé la partie qui cor-
respond au siége de la trépanation pour pouvoir remettre de l'huile aux
9 roses. On placera également sur les mâchoires une autre compresse cirée.
10 Puis on met sur les bords de la compresse qui recouvre la tête un rond
en laine, lequel répond exactement à la circonférence de la trépanation.
11 Ce rond s'appelle *soutien*, parce qu'il soutient la laine qu'on placera en-
suite sur la tête tout entière; car, ce rond mis en place, on recouvrira toute
la tête de laine, et on appliquera une autre couche de laine sur les mâ-
12 choires. On maintient toutes ces pièces de pansement non avec un ban-

4. λεπτὸν καὶ μαλ. R. — 12. τροχός conj.; τόπος RU.

ἐπιδέσει διὰ τὸ βάρος, ἀλλὰ κεκρυφάλῳ, ἵνα συνέχηται μὲν, μὴ
βαρύνηται δὲ ἡ μῆνιγξ· τοῦ δὲ κεκρυφάλου τὸ κατὰ τὴν ἀνάτρησιν
μέρος μέσον ψαλίδι ἐκκόπτεται, ἵνα γένηται ἀχανὲς, καὶ τότε εἰς
τὴν ἀχάνειαν ἔριον μαλακὸν ἐστενωμένον κατὰ τὰ πέρατα καὶ δε-
διπλωμένον ῥοδίνῳ βεβρεγμένον ἐντίθεται. Τὸ δὲ ἔριον τοῦτο λέ- 13
γεται ἐπιστακτής· διὰ γὰρ τούτου ἐκ διαστημάτων ῥόδινον ἐπιστά-
ζεται. Γενομένων δὲ τούτων, εἰς τοὺς ἀκουστικοὺς πόρους ἐρίδια 14
συνεστραμμένα ἐντιθέναι, καὶ τὸν πάσχοντα κατακλίνειν ἐπὶ μα-
λακῇ στρωμνῇ ἐν τόπῳ ἀλεεινῷ. Ἀπεχέσθω δὲ ὁ πάσχων ψυχροῦ 15
ὕδατος, ψυχρῶν πάντων ἐδεσμάτων, οἴνου, οἰνωδῶν. Τῇ δὲ τρίτῃ 16
θεραπευέσθω [ἐν] θερμῷ οἰκίσκῳ, καὶ θερμῷ ὕδατι εὐκράτῳ ἐπαν-
τλείσθω αὐτὴ ἡ κεφαλὴ, ἅμα περιαλειφομένη χλιαρῷ ἐλαίῳ. Ἐν 17
δὲ τῇ καταντλήσει σκεπέσθω ἡ ἀνάτρησις ἢ σπόγγῳ μαλακῷ, ἢ
τῇ ἑτέρᾳ χειρὶ τοῦ θεραπεύοντος, ἵνα ὑγραίνηται μὲν ἡ μῆνιγξ,

dage, parce que ce serait trop lourd, mais avec un bonnet, afin d'assujettir
les pièces de pansement sans incommoder la membrane du cerveau par
le poids, et on enlèvera avec des ciseaux la partie centrale du bonnet
correspondant au siége de la trépanation, afin qu'il y ait un espace vide,
et alors on mettra dans cet espace vide une couche de laine douce pliée en
deux, s'amincissant vers les extrémités et trempée dans l'huile aux roses.
Cette couche de laine porte le nom d'*arrosoir*, parce qu'à travers on 13
fait tomber de temps en temps, goutte à goutte, de l'huile aux roses sur
l'appareil. Après avoir fait cela, on met un peu de laine enroulée dans les 14
conduits acoustiques, et on place le malade sur une couche molle, dans
un endroit d'une température douce. Le malade s'abstiendra d'eau froide, 15
de toute sorte de mets froids, de vin et de substances vineuses. Le troi- 16
sième jour, on le pansera dans une pièce chaude; l'aide fera une affusion
d'eau d'une bonne température sur la tête, et l'oindra en même temps
avec de l'huile tiède. Pendant l'affusion, la partie trépanée sera recou- 17
verte ou d'une éponge molle ou avec une des mains de l'aide, afin que
l'eau humecte, mais ne vienne pas frapper la membrane du cerveau.

1. ἀλλὰ καὶ κρυφ. U. — 2. κρυφ. U. om. RU. — Ib. θ. οἰκίσκῳ καί om. U. — 3. τότε] τό U. — 11. [ἐν] ex em.; — 13. ἢ ante σκ. om. R.

Cocchi 162-165.

18 μὴ πλύσσονται δέ. Εἶτα περισπογγιζέσθω ἡ κεφαλὴ καὶ περιαλειφέσθω, καὶ τὰ αὐτὰ πάντα γινέσθω τὰ μικρῷ πρόσθεν εἰρημένα,
19 καὶ ταῖς ἑξῆς ἡμέραις ὁμοίως | 165 θεραπευέσθω. Ἐξέσ7αι δὲ καὶ τῷ τετραφαρμάκῳ ἀνειμένῳ χρήσασθαι, τῶν ἄλλων γινομένων ὁμοί-
20 ως. Τῆς δὲ μήνιγγος ἀκαθάρτου οὔσης, κεφαλικῇ δυνάμει ἐξανει-
21 μένῃ τῷ ῥοδίνῳ χρῆσθαι, τῆς αὐτῆς ἀγωγῆς φυλασσομένης. Μετὰ δὲ τὴν κάθαρσιν καὶ σάρκωσιν ἰσόπεδον γενόμενον τὸ ἕλκος κατουλοῦσαι δεῖ, ἤτοι σποδίῳ λείῳ, ἢ τρυφερᾷ δυνάμει καθαρτικῇ, ὁποία ἐσ7ὶν ἡ διὰ τῆς καδμείας ἐξανειμένη ῥοδίνῳ.

κ'. Περὶ φλεγμονῆς μήνιγγος.

1 Ἡ μῆνιγξ κυρία οὖσα ἐν φλεγμονῇ γενομένη κινδυνωδεσ7άτη ἐσ7ίν· διογκοῦται δὲ ἐν τῇ φλεγμονῇ μετὰ ἀντιτυπίας καὶ ἐρυθήματος, ἀλγήματός τε ἐπιγενομένου οὐ μόνου τοῦ τοπικοῦ, ἀλλὰ καὶ τῆς

18 Puis on essuiera avec une éponge et on oindra toute la tête, et l'on fera, sans en rien omettre, tout ce que nous avons prescrit un peu plus haut; les jours suivants on soignera encore le malade de la même
19 manière. On peut aussi employer le médicament aux quatre ingredients
20 délayé, sans rien changer aux autres parties du pansement. Si la membrane du cerveau n'est pas nette, on se servira d'un médicament céphalique délayé dans l'huile aux roses, en recommandant [du reste]
21 le même traitement. Après la mondification et la production des bourgeons charnus, on cicatrisera la plaie, qui, dès lors, aura acquis une surface plane; on se servira en conséquence de cendres de zinc triturées, ou d'un médicament mondificatif délicat : tel est, par exemple, le médicament à la tutie, délayé dans de l'huile aux roses.

20. DE L'INFLAMMATION DE LA MEMBRANE DU CERVEAU.

1 Comme la membrane du cerveau est une partie importante, elle expose aux plus grands dangers quand elle est prise d'inflammation; dans ce cas, elle devient le siége d'une tumeur résistante, accompagnée de rougeur, et à la suite de laquelle il survient non-seulement une douleur

3. ἐξέσ7ω RU. — Ch. 20, l. 12. ἐπιγιν. U.

Cocchi 105.

ὅλης κεφαλῆς. Διογκοῦται δὲ ἐπὶ τοσοῦτον ἡ μῆνιγξ, ὥστε μὴ μό- 2
νον τὸν τῆς ἐκτρήσεως κύκλον πληροῦν, ἀλλά ποτε καὶ ὑπερέχειν
τὸ τοῦ ὀστέου πάχος, συνεχομένη δὲ ἀποτίθεται τὸ φυσικὸν ἑαυ-
τῆς σφυγματῶδες ἐνέργημα, συμπαρέπεται δὲ καὶ πυρετὸς ὀξύς·
τῇ δὲ φλεγμονῇ ἐπιγίνεται χολημεσία, παρακοπὴ, σπασμός. Οὐ 3
δεῖ δὲ ἀναμένειν ταῦτα ὀλεθρίου θανάτου ὄντα μηνυτικὰ, ἀλλὰ ἐν
ἀρχῇ τοῦ συμβεβηκότος ἔτι τῆς φλεγμονῆς ἀμυδροτέρας οὔσης ἐπι-
βοηθεῖν τῷ πάσχοντι. Ἐξετάζειν δὲ δεῖ ἐν πρώτοις, τί τὸ τῆς φλεγμο- 4
νῆς ἐστιν αἴτιον, καὶ τούτῳ ἐνίστασθαι. Ἐὰν μὲν οὖν ἐλλιποῦς τῆς 5
ἐκκοπῆς γεγενημένης, ὀξεῖα προὔχουσα καὶ νύσσουσα τὴν μήνιγγα,
καὶ δύνηται αὕτη ἠρέμα ἐκκοπῆναι, ἀποθραυσθήτω, τῆς μήνιγγος
ἀπαθοῦς τηρηθείσης· ὅταν δὲ ἀνωμαλίας οὔσης ξαίνηται, λειούσθω
ὁ τῆς ἐκτρήσεως κύκλος, ἵνα μὴ νύσσηται. Ταῦτα δὲ τὰ ἔργα γι- 6
νέσθω ἐὰν ᾖ ποσὴ εὐρυχωρία· ἂν δὲ ἐξ ἀδήλου αἰτίας γεγενημένη

locale, mais aussi une douleur de la tête entière. La tuméfaction de la 2
membrane du cerveau atteint un tel degré, qu'elle ne remplit pas seule-
ment toute la circonférence du trou percé dans le crâne, mais qu'elle
dépasse quelquefois aussi l'épaisseur de l'os; et, comme alors elle est
étranglée, elle perd l'activité pulsative qui lui était naturelle, symptôme
qui s'accompagne aussi d'une fièvre aiguë; en même temps, par suite de
l'inflammation, le malade est pris de vomissements bilieux, de délire et
de convulsions. Il ne faut pas attendre l'apparition de ces symptômes, 3
qui présagent une mort misérable, mais il faut porter secours au malade
dès le début et quand l'inflammation est encore faible. On tâchera d'é- 4
tablir en premier lieu quelle est la cause de l'inflammation, et on com-
battra cette cause. Si donc, l'excision ayant été insuffisante, il est resté une 5
esquille qui fait saillie et irrite la membrane du cerveau, et si cette esquille
peut être enlevée sans secousses, on la brisera, en évitant de léser la
membrane du cerveau; lorsqu'il existe quelque inégalité qui froisse
cette membrane, il faut, pour empêcher qu'elle ne s'irrite, ruginer
toute la circonférence du trou percé dans le crâne. On fera ces opéra- 6
tions quand on aura un certain espace à sa disposition; quand l'inflam-

6. ὀλέθρια U. — 9. οὕτως R. — 11. αὐτή U. — 14. γεγεν. μένη U.

Cocchi 105.

ἢ φλεγμονὴ, τὰ κατάλληλα βοηθήματα δοκιμαζέσθω, ταῖς πρώταις
ἡμέραις ὑποσΊολὴ, ἔπειτα λεπΊαὶ τροφαὶ προσαγόμεναι· ἀεὶ δὲ
7 ὑδροποσία σύμφορος, θερμοῦ ποτοῦ προσφερομένου. Σφοδροτάτης
δὲ οὔσης τῆς φλεγμονῆς ἐπὶ νέου πολυύλου, καὶ τῇ φλεβοτομίᾳ χρῆ-
8 σθαι. Ἐν δὲ τοῖς τοπικοῖς βοηθήμασι τὸ σύνολον οὐ συμφέρει τὴν
9 μήνιγγα βαρύνειν, ἀλλὰ ἀφόρτως αὐτὴν παρηγορεῖν. Ἁρμόζει δὲ
σκεπάσαι ὅλον τὸν ἀπὸ τῆς φλεγμονῆς ὄγκον λεπΊῷ μαλακῷ καθαρῷ
10 ὀθονίῳ ῥοδίνῳ βεβρεγμένῳ. Εἶτα ἔξωθεν ὅλη ἡ κεφαλὴ καταπλασ-
σέσθω καταπλάσματι παρηγορικῷ, ὡς τῷ διὰ μελιλώτου ἢ λινο-
σπέρμου ἀλεύρου καὶ ἐλαίου σκευαζομένῳ, τοῦ σπληνίου ἐκτιτραμέ-
νου κατὰ τὸν τῆς ἀνατρήσεως τόπον, καὶ τὰ ἔξωθεν πάντα ἐρίῳ
11 κούφῳ σκεπέσθω. Ταῖς δὲ ἑξῆς ἡμέραις παραλαμβανέσθω κατάντλη-
σις ἀπὸ τήλεως ἢ μαλάχης ἀφεψημάτων μετὰ περιχύσεως ἐλαίου,

mation est le produit d'une cause inconnue, on recommandera les moyens
appropriés en pareil cas, à savoir, un régime sévère pendant les pre-
miers jours, et ensuite l'administration d'aliments légers; mais, pendant
tout le cours du traitement, il est utile de s'en tenir, comme boisson, à
7 l'eau; encore l'administre-t-on chaude. Si l'inflammation est très-intense
chez un jeune homme rempli de matériaux (*pléthorique*), on aura aussi
8 recours à la saignée. Quant aux remèdes locaux, il n'est pas avantageux,
en général, de surcharger la membrane du cerveau d'objets lourds; il
9 faut, sans peser sur cette membrane, en émousser l'irritation. Il convient
de recouvrir toute la surface de la tumeur produite par l'inflammation
10 avec un linge fin, doux et propre, trempé dans l'huile aux roses. Ensuite
on appliquera sur toute la circonférence de la tête un cataplasme calmant,
par exemple le cataplasme au mélilot, ou celui à la farine de graine de
lin, cataplasme qu'on préparera avec de l'huile; dans le linge destiné au
cataplasme, on pratiquera une ouverture correspondant au siége de la
trépanation, et on recouvrira toutes les parties extérieures de laine légère.
11 Les jours suivants, on combinera une affusion faite vivement au moyen
d'une décoction de fenugrec ou de mauve avec une affusion d'huile; puis

3. σύμφορος..... προσφερομένου om. παρηγορεῖν (sic) U. — 11. τρόπον R. U. — 6. ἀλλὰ φορτος αὐτην ἐλαφρος — 13. ἑψημένων U.

καὶ πάλιν ἐγκρινέσθω ἡ αὐτὴ θεραπεία ἡ μικρῷ πρόσθεν εἰρημένη. Τούτοις ἀρκέσει ἐπιμένειν ἕως τοῦ τέλους. 12

κα'. Περὶ τῶν ἐν κεφαλῇ καταγμάτων. Ἐκ τῶν Γαληνοῦ.

Πάντα τὰ πάθη τῶν ὀσΊῶν τῆς κεφαλῆς, ὅσα πάσχει διὰ τὰς 1
ἔξωθεν πληγὰς, πέντε τὸν ἀριθμόν ἐσΊιν, ἕδρα, θλάσις, ῥωγμὴ,
ὦσις, εἴσθλασις· ἕδραν γὰρ | καὶ διακοπὴν ταὐτὸν εἶναί φησιν Ἱπ- 106
ποκράτης, ὠνομασμένην οὕτω διὰ τὸ κατὰ τὴν γενομένην διακοπὴν
ἑδράζεσθαι καὶ σΊηρίζεσθαι τὸ τιτρῶσκον, ὃ πάντως ὀξὺ μὲν ὑπάρ-
χειν ἀναγκαῖόν ἐσΊιν ἵνα διακόψῃ, κοῦφον δὲ ἵνα μήτε θλάσῃ,
μήτε κατάξῃ τὸ κρανίον· ἡ μὲν γὰρ θλάσις γίνεται διὰ τὸ βάρος
τῶν πληΊτόντων, ἡ δὲ διαίρεσις διὰ τὴν ὀξύτητα· συνελθόντων δὲ
ἐς ταὐτὸν ἀμφοτέρων τῶν αἰτίων εἴσθλασις γίνεται, τῆς μὲν ὀξύτη-
τος τοῦ πλήτΊοντος διαιρούσης τὸ ὀσΊοῦν, τοῦ βάρους δὲ ὠθοῦντος
εἴσω τὸ διῃρημένον. Ἐὰν δὲ βαρὺ μὲν ᾖ τὸ πλῆτΊον, ὀξύτητα δὲ 2

on mettra de nouveau en œuvre le même traitement que nous avons exposé un peu plus haut. Il suffira de s'en tenir à ces moyens-là jusqu'à 12 la fin.

21. DES FRACTURES QUI ONT LIEU À LA TÊTE. — TIRÉ DE GALIEN.

Les affections que les os de la tête subissent, à la suite de violences 1
4 ρυπαίνεσθαι, μὴ ὑπό τινος τῶν ἔξωθεν. Ὀστοῦν κατάξηρον ἢ πελιὸν, ἢ μέλαν, ἢ χλωρὸν εἶναι, τό τε τὰς ῥαφὰς ἐν τῷ χρόνῳ τῆς θεραπείας διΐστασθαι μοχθηρὸν, καὶ τένων ἀκίνητος, ἐπιπόνως συνελκόμενος, ἀκράτεια κεφαλῆς, κἂν τῷ δὴ βασταχθῆναι σκοτόδινον ἐπάγουσα, ἀπροαιρέτως τε δακρύειν, ἢ λημαίδεις ὀφθαλμοὺς φαίνεσθαι, καὶ τὸ φεύγειν τὴν αὐγὴν, ἐρυθρά τε ἢ πελιὰ τὰ λευκὰ γίνεσθαι, ὑποσημαίνειν τε συμβαλλομένων τῶν βλεφάρων τὰ λευκὰ, ἤχους ἢ βόμβους ἐν τοῖς ὠσὶν εἶναι, καὶ μηδὲν ἀκούειν, ἀμαυροῦσθαι τὴν ὅρασιν, δεδέσθαι σιαγόνας, ἢ τρέμειν, ἢ παρεῖσθαι, πόνος τῶν ὀδόντων ἀθροῦς ἐμπίπτων, φωνῆς ἰσχνότης, ἀσάφεια, βάρβα-

plus en plus démesurée de la plaie, [ou] écoulement d'un ichor ténu et
3 de mauvaise odeur. Il est mauvais que les bords de l'incision soient très-rouges, ou pétris d'humidité, et encore plus qu'ils se renversent; qu'en outre la peau s'écarte de l'os, que la membrane du cerveau soit blessée, immobile, démesurément blanche, livide, noire, gravement enflammée, pendante hors de la plaie; qu'après s'être détergée, elle rede-
4 vienne sordide, sans que cela tienne à quelque cause extérieure. Il est mauvais que l'os soit très-sec, livide, noir ou verdâtre, que les sutures subissent un écartement pendant le pansement; que la nuque ne puisse être mise en mouvement, ou qu'elle soit le siége de crampes douloureuses; que le malade ne puisse pas mouvoir librement la tête, ou qu'il soit pris de vertige en la levant; qu'il pleure involontairement ou que ses yeux paraissent chassieux; qu'il évite la lumière, que le blanc des yeux devienne rouge ou livide, que ce blanc se laisse légèrement apercevoir, les paupières restant fermées; qu'il y ait des sons ou des bourdonnements dans les oreilles; que le malade n'entende rien, que la vue s'obscurcisse, que les mâchoires soient fixes, ou tremblantes, ou paralysées, qu'il survienne subitement de la douleur aux dents, que la voix soit

2. ἔτι] ἢν U. — 9. κἂν τῷ δή ex em.; κἂν τῷδε R; κἂν τῷ δὲ U.

ρος καὶ ἀσυνήθης ὁμιλία, ὕπνος πλείων τοῦ δέοντος ἢ ἀγρυπνία, καὶ πόνος ἐπανάγων, πυρετοὶ μηδὲν μὲν ἀνιέντες, ἐπὶ ἡμέραν δὲ ἐπιτείνοντες, ὑπόπυα μέρη γινόμενα, ἱδρώτων πολλὴ ῥύσις, καὶ πύον διὰ ῥινὸς ἢ ὤτων δυσῶδες φερόμενον. Τρόμος, *παλμὸς συνεχής, δακτύλων ἄλογος κίνησις μοχθηρὸν, κατὰ κοιλίαν ἢ χολῶδες, ἢ μέλαν, ἢ ὠμὸν φέρεσθαι, οὖρα λεπτὰ πολλὰ ἢ παχέα, ἢ ὑποζυγίοις ὅμοια, καὶ τὸ ἀπροαιρέτως φέρεσθαι τὰς χεῖρας ἐπὶ τὸ τραῦμα, κροκυδίζειν, ἐξανίστασθαι, περιψυχόμενον τὰ ἄκρα τὰ μέσα ἐκπυροῦσθαι, ἄτακτον εἶναι σφυγμὸν, δυσπνοεῖν, ψυχρὸν ἐκπνεῖν.*

κζʹ. Περὶ ὑδροκεφάλων. Ἐκ τῶν Ἀντύλλου.

Τὸ *ὑδροκέφαλον γίνεται πάθος, ἀφυῶς τῆς κεφαλῆς θλιβομένης ὑπὸ τῶν μαιῶν, ἔτι νεογνῶν ὄντων τῶν παιδίων· παρακολουθεῖ δὲ*

grêle ou peu distincte; que, dans ses rapports avec les assistants, le malade se montre grossier, ou autre que d'habitude; qu'il dorme plus qu'il ne le faut, ou pas du tout; qu'il y ait une recrudescence de douleur, ou des fièvres qui ne présentent pas la moindre rémission, et durent tout un jour; qu'il se forme des collections de pus au-dessous des parties, qu'il survienne un flux abondant de sueur, qu'il s'écoule du pus de mauvaise odeur par le nez ou par les oreilles. C'est un mauvais signe qu'un tremblement continuel, ou une palpitation continuelle, qu'un mouvement sans motif des doigts, qu'un écoulement par les selles de matières bilieuses, noires ou crues, qu'un flux abondant d'urine, soit ténue, soit épaisse, soit semblable à celle des bêtes de somme, ou bien que le malade porte involontairement les mains sur la plaie, qu'il épluche les couvertures, qu'il se lève, que ses extrémités soient froides, tandis que les parties centrales sont brûlantes, que le pouls soit irrégulier, que la respiration soit difficile, ou que l'air expiré soit froid.

27. DES DIVERSES ESPÈCES D'HYDROCÉPHALE. — TIRÉ D'ANTYLLUS.

La maladie dite *hydrocéphale* provient de ce que les sages-femmes compriment maladroitement la tête des enfants, quand ils viennent de naître; les sujets affectés de cette maladie présentent à la tête une tumeur con-

1. *ἢ* om. U. — Ch. 27, l. 11. *δέ* om. U.

Cocchi 121-122.

τοῖς ἐν τῷ πάθει ὄγκος πολὺς προμήκης περὶ τὴν κεφαλὴν, αἶσχος
2 οὐκ ὀλίγον παρεχόμενος. Διαφοραὶ δὲ τῶν ὑδροκεφάλων εἰσὶ τρεῖς· ἢ γὰρ μεταξὺ τοῦ δέρματος καὶ τοῦ περικρανίου, ἢ μεταξὺ περικρανίου καὶ ὀσ7οῦ, ἢ μεταξὺ ὀσ7οῦ καὶ μήνιγγος· μεταξὺ γὰρ μή-
122 νιγγος καὶ ἐγκεφάλου συσ7ῆναι ὑγρὸν ἀδύνατον· φθαρείη | γὰρ ἂν πρότερον ὁ τοῦτο παθὼν πρὶν τὸ ὑδροκέφαλον συσ7ῆναι πάθος.
3 Σημεῖα δὲ τῶν μεταξὺ τοῦ δέρματος καὶ περικρανίου τὸ ὑγρὸν ἐχόντων τοιαῦτά ἐσ7ιν· ὄγκος εὐαφὴς, ὁμόχρους, ἀναλγὴς, εἰς ὕψος κεκυρτωμένος, ἠρέμα διὰ ὀλίγου σώματος ὑποπίπ7ων, κατὰ τὴν ἐπέρεισιν τῶν δακτύλων ῥᾳδίως ὑπείκων τε καὶ ἀντιμεθισ7άμενος.
4 Εἰ δὲ μεταξὺ περικρανίου καὶ ὀσ7οῦ συσ7αίη τὸ ὑγρὸν, τὰ μὲν ἄλλα ὁμοίως παρακολουθήσει, ἀλγημάτων δὲ μᾶλλον ἀντιλήψονται οὗτοι, καὶ ὄγκος αὐτοῖς ἧσσον διαυγήσει, καὶ ἀντιμετασ7ήσεται βραδύτερον, καὶ τὰ ἐπεσ7ορεσμένα σώματα πολλὰ τοῖς ἐπαφωμένοις
5 ἀπαντήσεται. Εἰ δὲ μεταξὺ μήνιγγος καὶ ὀσ7έου τὸ ὑγρὸν συσ7αίη,

2 sidérable de forme allongée, d'où résulte une laideur assez prononcée. Il y a trois variétés d'hydrocéphale : cette maladie peut avoir son siége ou entre la peau et le péricrâne, ou entre le péricrâne et l'os, ou entre l'os et la membrane du cerveau; car il est impossible qu'il se forme du liquide entre cette membrane et le cerveau lui-même, attendu que l'individu pris d'une telle affection périrait avant que la maladie dite hydrocéphale
3 pût se développer. Voici les signes présentés par les malades qui ont du liquide entre la peau et le péricrâne : tumeur douce au toucher, de la même couleur que la peau, exempte de douleur, s'élevant de manière à offrir une surface convexe; on l'aperçoit faiblement à travers la couche peu épaisse de parties dont elle est couverte, et, quand on appuie les
4 doigts dessus, elle cède et se déplace facilement. Si le liquide s'est formé entre le péricrâne et l'os, les mêmes symptômes se manifestent; mais la douleur est plus vive, la tumeur se dissimule davantage à travers les parties et se déplace avec plus de lenteur; quand on l'explore avec les doigts,
5 on la trouve recouverte d'une couche épaisse de parties. Quand le liquide s'est accumulé entre la membrane du cerveau et l'os, il y aura

3-4. περικρ. τε καί R. — 4. τοῦ ὀσ7οῦ U utrobique. — 10. ἐπέρεισιν Paul.; ὑπέρεισιν RU. — 12. ἀντιλήμψονται U.

ὄγκος μὲν ἔσται· τὸ γὰρ ὀστοῦν ἔτι ἀπαγὲς ἐπὶ τῶν νηπίων ἐστὶ, καὶ εὐκίνητον καὶ εὔθλαστον ὂν ἐπεκταθήσεται ῥᾳδίως, καὶ στερεός γε ὄγκος εὑρεθήσεται καὶ ἐπώδυνος καὶ ἐς ὀξὺ μᾶλλον ἀνηγμένος· οἱ τόποι δὲ οἱ κατὰ μέτωπον καὶ κροτάφους στενότεροι ἢ κατὰ λόγον τοῦ σώματος εὑρεθήσονται, συναγομένων τῶν ἐνταῦθα μερῶν διὰ τὴν εἰς ὕψος ἀνάτασιν, περί τε ὀφθαλμοὺς μαρμαρυγαὶ καὶ σκαρδαμυγμοὶ τούτοις παρακολουθήσουσιν. Εἰ δὲ συσταίη μεταξὺ 6
μήνιγγός τε καὶ ὀστέου τὸ ὑγρὸν, μὴ προώσειε δὲ, μηδὲ κυρτώσειε τὸ ὀστοῦν, ἀλλὰ διαστήσειε τὰς ῥαφὰς, ἀνελεύσεται μὲν τὸ ὑγρὸν καὶ εὑρεθήσεται μεταξὺ περικρανίου καὶ ὀστοῦ· σημεῖα δὲ τὰ μὲν ἄλλα παρέψεται τὰ αὐτὰ, ἅπερ εἶχεν ἡ μεταξὺ περικρανίου καὶ ὀστοῦ σύστασις, τὰ δὲ ἀλγήματα τούτοις, ὧν αἱ ῥαφαὶ διεστᾶσι, μείζω παρακολουθήσει. Ἴδια δὲ καὶ ἐξαίρετα ἐπὶ τούτων εὑρεθήσε- 7
ται σημεῖα δύο, τό τε θλιβομένου πάντοθεν τοῦ ὄγκου τὸ ὑγρὸν ἔλασσον φαίνεσθαι, ὡς ἂν καταδυόμενον διὰ τῆς διαστάσεως τῶν

une tumeur, il est vrai; car, chez les petits enfants, l'os, n'étant pas encore solidifié, se déplace, se déprime aisément, et, par conséquent, se distend facilement sous la pression du liquide, mais on rencontre, du moins, une tumeur solide, douloureuse et qui s'allonge davantage en une pointe aiguë; on trouve la région du front et des tempes plus amincie que ne le comporte le développement du corps, attendu que les parties situées dans cette région se contractent, parce qu'elles sont tirées en haut; ces malades ont des lueurs devant les yeux et du clignement des paupières.
Quand la collection existe entre la membrane du cerveau et l'os, mais 6
que le liquide n'a pas poussé devant lui, ni courbé l'os, et qu'il a, au contraire, produit un écartement des sutures, ce liquide montera, et on en constatera la présence entre le péricrâne et l'os; du reste, on retrouvera les mêmes signes que ceux qui caractérisent la formation du liquide entre le péricrâne et l'os; seulement, quand les sutures ont subi un écartement, il y aura des douleurs plus fortes. On constatera ces deux signes 7
propres et spécifiques : si on comprime la tumeur de tous les côtés, le liquide semblera diminuer, comme s'il se retirait en descendant, à travers l'écartement des sutures, dans l'endroit d'où il est remonté; si on

3. γε om. U.

Cocchi 122.

ῥαφῶν εἰς ἐκεῖνο τὸ χωρίον ὅθεν ἐπανῆλθεν, καὶ τὸ τὴν χεῖρα ὁμα-
λῶς παραγομένην ἐπὶ τοῦ ὄγκου κατά τινα μέρη οἷον κενεμβατεῖν,
8 τουτέστι κατὰ ἐκεῖνα, κατὰ ἃ διεστᾶσιν αἱ ῥαφαί. — Εἰ μὲν οὖν
μεταξὺ δέρματός τε καὶ περικρανίου τὴν σύστασιν λάβοι τὸ ὑγρὸν,
εἰ μὲν σύμμετρον εἴη τῷ πλήθει, καὶ μικρὸς [ὁ] ὄγκος τυγχάνοι,
μίαν διαίρεσιν κατὰ μέσον ἐμβλητέον, σύμμετρον τῷ μεγέθει πρὸς
9 τὸν ὄγκον. Οὕτω δὲ ἐμβλητέον τὴν διαίρεσιν ὥστε τὴν ἐξ αὐτῆς
10 γινομένην οὐλὴν ὑπὸ τῆς ἐπικλώσεως τῶν τριχῶν σκέπεσθαι. Μετὰ
δὲ τὴν ἔκκρισιν τοῦ ὑγροῦ τὸν κόλπον δεῖ ὁμοίαις ἀγωγαῖς ἀποθε-
11 ραπεύειν αἷς καὶ τοὺς ἀπὸ τῶν ἀποστημάτων κόλπους ἰώμεθα. Εἰ
δὲ μείζων ὁ ὄγκος εἴη, δύο καὶ πλείους διαιρέσεις ἐμβαλοῦμεν, καὶ
καθόλου μετοίσομεν ἐνταῦθα πᾶσαν τὴν ἀπὸ τῶν ἀποστημάτων
12 χειρουργίαν. Εἰ δὲ μεταξὺ περικρανίου καὶ ὀστέου γένοιτο ὑγρὸν,
ὁ μὲν αὐτὸς τρόπος τῆς χειρουργίας παραληφθήσεται, φυλαξόμεθα
δὲ τοὺς ἐμπίπτοντας μῦς, οἷον τοὺς τῶν κροτάφων, καὶ οὐ κατὰ αὐ-

imprime à la main placée sur la tumeur un mouvement latéral uni-
forme, il semblera qu'on tombe dans le vide sur certains points, c'est-
à-dire sur ceux qui correspondent à l'endroit où les sutures on subi un
8 écartement. Quand le liquide s'est rassemblé entre la peau et le péricrâne,
si la quantité en est modérée et si la tumeur est petite, on fera sur le
milieu de la collection une incision unique dont la longueur correspond
9 au volume de la tumeur. On donnera à l'incision une direction telle, que
10 la cicatrice soit recouverte par la chevelure qui tombe dessus. Après
l'évacuation du liquide, on emploie, pour réunir les parois de la cavité,
une méthode de traitement secondaire semblable à celle que nous met-
11 tons en usage pour les sinus provenant des abcès. Si la tumeur est plus
volumineuse, nous ferons deux incisions ou même davantage, et, en gé-
néral, nous transporterons à cette maladie tous les procédés de traite-
12 ment mis en usage pour les abcès. S'il existe du liquide entre le péricrâne
et l'os, nous aurons recours au même procédé d'opération; seulement
nous prendrons garde aux muscles qui s'implantent [sur les os], par
exemple aux muscles temporaux, et nous ne ferons pas les incisions sur

5. [ὁ] ex em.; om. RU. — 6. μέσον U.

τοὺς, ἀλλὰ παρὰ αὐτοὺς τὰς διαιρέσεις δώσομεν. Ἐκκριθέντος δὲ 13
τοῦ ὑγροῦ, τῆς ψιλώσεως ἐπιμελησόμεθα τῆς κατὰ τὸ ὀστοῦν ὅνπερ
τρόπον ἐπὶ τῶν συρίγγων ἐλέγομεν. Εἰ δὲ ὑπὸ τὸ ὀστοῦν συμβαίη 14
τὸ ὑγρὸν, εἴτε σὺν διαστάσει ῥαφῶν, εἴτε ἄνευ διαστάσεως, ἀπα-
γορεύσομεν τὴν χειρουργίαν· τήν τε γὰρ | μήνιγγα ἀμήχανόν ἐστι 125
μὴ οὐχὶ κακῶς ὑπὸ τοῦ ὑγροῦ περιπλεομένην διακεῖσθαι, ἥ τε διά-
στασις τῶν ῥαφῶν ἀθεράπευτός ἐστιν. Εἰ δὲ χωρὶς τῆς διαστάσεως 15
ἐξογκωθείη τὸ ὀστοῦν, καὶ ὡς ἀνωφελὴς ἡ χειρουργία· ἀνατρήσαν-
τες γὰρ, τὸ μὲν ὑγρὸν κομισόμεθα, τὴν δὲ ἀμορφίαν τὴν γεγονυῖαν
ἐκ τῆς ἐπαναστάσεως τοῦ ὀστοῦ καταστεῖλαι πῶς ἄν τις δυνηθείη;
Εἰ δέ τις πᾶν ἐθέλοι τὸ ἐπανεστηκὸς ὀστοῦν ἐκκόπτειν, γυμνώσει 16
τὴν μήνιγγα πᾶσαν, καὶ σπασμῷ τὸν κάμνοντα παραδώσει.

κη'. Περὶ ὀστώδους ἐπιφύσεως. Ἐκ τῶν Ἡλιοδώρου.

Ὀστώδης ἐπίφυσις ἐν παντὶ μὲν γίνεται μέρει τοῦ σώματος, 1

ces muscles, mais à côté d'eux. Après l'évacuation du liquide, nous trai- 13
terons la dénudation de l'os de la manière que nous avons exposée en
parlant des fistules. Si le liquide se rencontre au-dessous de l'os, que la 14
maladie soit accompagnée ou non d'écartement des sutures, nous refu-
serons de faire l'opération; car il est impossible que la membrane du cer-
veau ne soit pas en mauvais état quand elle flotte au milieu du liquide,
et l'écartement des sutures est incurable. Même dans le cas où l'os 15
forme une tumeur sans écartement [des sutures], l'opération est sans
utilité; en effet, si nous perçons le crâne, nous enlèverons le liquide;
mais comment pourrait-on redresser la difformité qui résulte du déve-
loppement de l'os? Si on voulait exciser toute la partie soulevée de l'os, 16
on dénuderait la membrane du cerveau tout entière, et on exposerait
le malade aux convulsions.

28. DE L'EXOSTOSE. — TIRÉ D'HÉLIODORE.

Une exostose peut se former dans quelque partie que ce soit du corps, 1

4-5. ἀπαγορεύομεν U. — 8. ὡς RU. — 9. μὲν om. R.

Cocchi 125.

πλεοναζόντως δὲ ἐν τῇ κεφαλῇ, μάλιστα δὲ πλησίον τῶν κροτά-
2 φων. Ὅταν δὲ δύο ἐπιφύσεις γένωνται πλησιάζουσαι τοῖς κροτά-
φοις, κέρατα ταῦτά τινες εἰώθασιν ὀνομάζειν, ἔνιοι δὲ διονυσίσκους
3 τοὺς οὕτω πεπονθότας ἀνθρώπους προσηγόρευσαν. Ἔστι δὲ τὸ πάθος
εὐκατάληπτον· συνεδρεύει γὰρ ὄγκος ἀντίτυπος, ὁμόχρους, ἀναλγής·
ἀντίτυπος δὲ ἄγαν ὡς ἀπὸ ὀστέου, ἀμετακίνητος· ἐξ αὐτοῦ γὰρ τοῦ
4 κατὰ φύσιν ὀστέου γίνεται ἡ ὀστώδης ἐπίφυσις. Δεῖ δὲ ἐπὶ μὲν τῶν
ἄλλων τῆς κεφαλῆς μερῶν ἀναστολῇ χρήσασθαι ἐμφερεῖ τῷ Η στοι-
χείῳ, ἵνα μετὰ τὴν τῆς ἐπιφύσεως ἀναίρεσιν ἰσοπλατῆ ὄντα τὰ
συναγόμενα σώματα ῥᾳδίως κολληθῇ· ἐπὶ δὲ τοῦ μυὸς τῷ χιασμῷ·
5 πολυειδῶς γὰρ ὁ μῦς διαστελλόμενος ἀσυμπαθὴς μένει. Ἔξεστι δὲ
μικρᾶς μὲν οὔσης τῆς ἐπιφύσεως, διαιρέσει ἀρκεσθῆναι κατὰ τὴν
τοῦ ὄγκου κορυφὴν, ἔπειτα διαστεῖλαι τοῖς ἀγκίστροις τὰ χείλη,
6 καὶ τὴν ἐπίφυσιν ἐκκόψαι. Ἐπὶ δὲ τοῦ μυὸς οὐ πάντως δεῖ χιάζειν

mais elle a lieu très-fréquemment à la tête, et surtout dans le voisinage
2 des tempes. Lorsqu'il existe deux excroissances voisines des tempes,
quelques-uns ont l'habitude de les appeler *cornes;* d'autres encore ont
3 donné le nom de *petits Bacchus* aux gens affectés de cette maladie. Cette
affection est facile à reconnaître : la tumeur est résistante, de la même
couleur que le reste du corps, et non accompagnée de douleur; elle est fort
résistante, dis-je, comme si la résistance venait d'un os, et elle ne saurait
4 se déplacer; car l'excroissance provient de l'os sain lui-même. A l'excep-
tion de la région des muscles [temporaux], il faut, pour toutes les parties
de la tête, recourir à un débridement, dont la forme ressemble à la
lettre H, afin que, l'excroissance enlevée, les parties qu'on rapproche se
soudent facilement, vu qu'elles présentent la même largeur; mais, sur le
muscle, on fera une incision cruciale; en effet, quand le muscle peut
se dilater de plusieurs manières, il ne survient aucune affection sympa-
5 thique. Quand l'excroissance est petite, on peut se contenter de faire
une seule incision sur le sommet de la tumeur; on écarte ensuite les
6 bords de la plaie avec des crochets et on excise l'excroissance. Sur le
muscle, il ne faut pas toujours faire une incision cruciale dans les tissus,

3. *διονυσίσκους* ex em.; *διονυσιακούς* RU. Voy. Pseudo-Gal. *Défin. méd.* 394. — 9-10. *τὰ συναγ. σώματα* om. R. — 11. *πολυμερῶς* U. — 13. *κεφαλήν* U.

τὸ σύγκριμα, ἄλλως δὲ μείζονι χρῆσθαι διαιρέσει συμμέτρως ὑπο-
λόξῳ, ἵνα τὸ πλεῖον αὐτοῦ μέρος τέμνηται, καὶ τῷ μεγέθει τῆς
διαιρέσεως γυμνωθῇ ἡ ἐπίφυσις. Ὅλη δὲ ἐκ βάσεως ἐκκοπτέσθω, 7
ἵνα ὁμαλισθέντος τοῦ τόπου ἡ φυσικὴ εὐπρέπεια γίνηται. Ἐὰν μὲν 8
οὖν χαύνη ᾖ ἢ σηραγγώδης ἡ ἐπίφυσις, αὐτόθεν τοῖς σμιλιωτοῖς
ἐκκοπεῦσιν ἐκκοπτέσθω, ὅλη ἐκ τῆς βάσεως ἀναιρουμένη· ἐὰν δὲ ᾖ
πυκνὴ ἢ ὀστώδης, πρότερον περιτιτράσθω ἡ τοῦ ὄγκου βάσις, τῆς
τοῦ τρυπάνου ἀκμῆς πλαγίας προστιθεμένης, καὶ οὕτως ἡ ἐκκοπὴ
γινέσθω. Μετὰ δὲ τὴν τῆς ἐπιφύσεως ἀναίρεσιν τὸ κατὰ φύσιν 9
ὀστέον ξυστῆρι ἐπιξυέσθω, ἵνα ὁμαλισθῇ, καὶ τότε τὰ ἀνεσταλ-
μένα σώματα ἐπαγέσθω καὶ ῥαπτέσθω πρὸς κόλλησιν. Ὅταν δέ τι 10
ἀντιβαίνῃ τῇ κολλήσει, διαμοτούσθω ἡ ἀναστολή, καὶ διὰ ὅλου ἡ
πυοποιὸς ἐπιμέλεια ἐγκρινέσθω.

mais, si on ne la fait pas, on aura recours à une incision assez longue,
dont la direction présente une légère obliquité, afin que la plus grande
partie du muscle soit divisée et que la longueur de l'incision suffise pour
dénuder l'excroissance. On excisera l'excroissance par toute sa base, afin 7
que, la région ayant pris son niveau, la beauté naturelle soit rétablie. Si 8
donc l'excroissance est spongieuse, ou creusée de canaux tortueux, on
l'excisera immédiatement avec des scalpels à excision ressemblant à des
scalpels ordinaires et en l'enlevant complétement par sa base; si, au
contraire, elle est compacte ou osseuse, on entourera d'abord de trous
la base de la tumeur, en appliquant l'extrémité de la tarière dans une di-
rection légèrement oblique; puis on pratiquera l'excision. Après l'abla-
tion de l'excroissance, on raclera avec une rugine l'os qui se trouve dans 9
son état naturel afin de l'aplanir, et alors on ramènera dessus les lam-
beaux, qu'on rapprochera par des sutures pour les réunir. Mais, lorsqu'il 10
se rencontrera quelque obstacle à cette réunion, on remplira la plaie de
tentes et on adoptera la méthode suppurative pendant toute la durée du
traitement.

1. ἀλλ' ὡς U. — 4. γένηται R. — Ib. μέν om. U. — 5. ᾖ om. U. — Ib. σμηλωτοῖς R. — 8. πλαγίας προσ- τιθεμένης ex emendatione; πλαγίας Ib. ὑπολόξου προστιθεμένης RU. — 12. τι om. U.

κθʹ. Περὶ ἀλωπεκίας.

1 Τῆς ἀλωπεκίας ἡ ὑπερμεγέθης ἀθεράπευτός ἐστιν, ἡ δὲ ἁπλῶς
μεγάλη δυσίατος, καὶ ἡ παρὰ κροτάφοις συστᾶσα, καὶ ἡ χρονία
2 δυσίατος ὁμοίως. Ἐν δὲ τῷ | τῆς θεραπείας καιρῷ ξυρᾷν δεῖ τὴν ἀλω-
126 πεκίαν, ἵνα ἐρεθισθῇ ἡ ἐπιφάνεια, καὶ ὀθονίῳ τραχυτάτῳ τὸν τό-
πον ἀνατρίψαντα κατασχᾷν ἐπιπολαίοις ἀμυχαῖς πρὸς ἔκκρισιν τοῦ
τῆς ψιλώσεως αἰτίου, εἶτα ἐπιθεῖναι φάρμακον ἑλκυστικόν, οἷόν
ἐστι τουτί· φλοιοῦ καλάμου κεκαυμένου τέφραν, καὶ νίτρου, καὶ
καρδάμου πεφωγμένων ἴσα λεῖα ἀναλάμβανε ὑγρᾷ πίσσῃ, ἵνα ἐμ-
πλαστρῶδες γένηται, ποιήσας τε σπληνίον ἀφλεγμάντου δυνάμεως
κατὰ τὴν μεσότητα ἔκκοπτε ἀναλόγως τῷ τῆς ἀλωπεκίας μεγέθει,
ἵνα τὰ μὲν πλησίον μέρη σκεπασθῇ, γυμνὸς δὲ μείνῃ ὁ τῆς ἀλω-
3 πεκίας τόπος. Καὶ τότε πλάτυσμα τοῦ φαρμάκου ἐπιτίθει κατὰ τῆς

29. DE L'ALOPÉCIE.

1 L'alopécie qui envahit une très-grande surface est incurable; celle qui
est grande est difficile à guérir, ainsi que celle qui se forme près des
tempes; il en est de même de l'alopécie qui dure depuis longtemps.
2 Quand on commence le traitement, on rase la place qui est le siége de
l'alopécie, afin d'irriter la surface; puis, après l'avoir frottée avec un linge
très-rugueux, on fera des scarifications superficielles pour évacuer la
cause de l'épilation; ensuite on appliquera un médicament attractif, par
exemple le suivant : parties égales de cendres de la gaîne du roseau [à
balai] brûlée, de soude brute et de cresson d'Alep torréfiés; réduisez le
tout en poudre impalpable, et incorporez dans du goudron, pour donner
au médicament la consistance d'un emplâtre; préparez un emplâtre doué
de propriétés capables de prévenir l'inflammation; pratiquez au milieu
une ouverture qui corresponde à l'étendue de l'alopécie, de telle sorte
que les parties voisines soient recouvertes, tandis que le siége de l'alo-
3 pécie reste à nu. Placez alors sur l'alopécie une compresse enduite du

Ch. 29, tit. Ἐκ τῶν Ἡλιοδώρου π. ἀλωπ. U. — l. 4. ἡ om. U. — 6. ἑλκω-τικόν R. — 8-9. ἐμπλαστρῶδες U. — 11. μείνῃ ex em.; μείνει R; μένῃ U.

ἀλωπεκίας, χαρτίῳ σκεπάζων αὐτὸ, καὶ οὐκ ὀθονίῳ, ἵνα μὴ διὰ
τῶν ἀραιωμάτων ἐκρεύσῃ τὸ φάρμακον, ἐπίδεσίς τε οἰκεία παρα-
λαμβάνεται. Καὶ τῇ τρίτῃ λύσας, ἐὰν μὴ φανῇ φλύκταινα γεγονυῖα 4
μεγάλη, πάλιν ἐπιτίθει τὸ αὐτὸ φάρμακον· τῇ δὲ τετάρτῃ, ἢ τῇ
πέμπτῃ τῆς φλυκταίνης φανείσης, τοῖς δακτύλοις ἀποδέρειν, καὶ
τοῦ ὑγροῦ ἐκκριθέντος, προσάμυσσε τὸν τόπον φαρμάκῳ τινὶ, οἷόν
ἐστι τὸ ἀφόδευμα τῶν μυῶν σὺν λιβανωτῷ καὶ ὄξει. Ταῖς δὲ ἑξῆς 5
ἡμέραις, ἐὰν μὲν ἐπιπόλαιος οὖσα ἡ ἕλκωσις ταχέως φαίνηται
ἐπουλουμένη, τοῖς αὐτοῖς ἐπίμενε· εἰ δὲ βραδύνοι, κηρωτῇ χρῶ διὰ
ἐλαίου καὶ ψιμυθίου ἐσκευασμένῃ· ἅμα γὰρ κατουλώθη ὁ τόπος [καὶ]
χνοώδεις ἀραιαὶ φαίνονται φυόμεναι τρίχες, ἃς δεῖ συνεχέστατα ξυ-
ρᾶν, πράως ἀνατρίβοντα τὸν τόπον· βραδυνούσης δὲ τῆς τριχοφυΐας,
τοῖς εἰρημένοις φαρμάκοις πάλιν χρηστέον. — Κροκοδείλου χερ- 6
σαίου τὸ δέρμα καὲν ἀναισθήτους ποιεῖ τοὺς μέλλοντας τέμνεσθαι.

médicament précité, en la recouvrant d'un morceau de papier, et non
d'un linge, afin que le médicament ne s'écoule pas par les interstices;
puis on aura recours à un bandage approprié. Défaites l'appareil le troi- 4
sième jour et remettez de nouveau en place le même médicament, si
vous voyez qu'il ne s'est pas formé de grande bulle; si, le quatrième ou
le cinquième jour, une bulle a paru, rompez-la avec les doigts, et irritez,
en outre, après l'évacuation du liquide, le siége du mal avec quelque
médicament, par exemple avec des excréments de souris combinés à l'en-
cens et au vinaigre. Si, les jours suivants, vous voyez l'ulcération se ci- 5
catriser rapidement, attendu qu'elle est superficielle, tenez-vous-en aux
mêmes moyens; mais employez, si l'ulcération tarde à se guérir, du cé-
rat préparé avec de l'huile et de la céruse : car, aussitôt que l'endroit sera
cicatrisé, on y verra pousser des poils en forme de duvet et clair-semés;
rasez-les avec beaucoup d'assiduité, et frottez doucement l'endroit; si les
poils tardent à pousser, on aura de nouveau recours aux médicaments
susdits. — La peau du *crocodile* de terre, brûlée, rend insensibles les 6
gens qui doivent subir une opération avec un instrument tranchant.

2. *ἐπίδεσιν τε ἣν οἰκείαν* U. — 9. *ἐπουλωμένη* R. — 10. [*καί*] ex em.; om. RU.

ΒΙΒΛΙΟΝ ΜΖ'.

α'. Περὶ ἐξαρθρημάτων. Ἐκ τῶν Γαληνοῦ.

Cocchi 130.

1 Τῶν δὲ ἐξαρθρημάτων τινὰ μὲν ἐξαιφνιδίους τε καὶ σφοδρὰς
ἔχει προηγουμένας κινήσεις, τινὰ δὲ ἀμετρίᾳ τῆς ἐν τοῖς ἄρθροις
ὑγρότητος γίνεται, τεγγούσης μὲν τοὺς συνδέσμους καὶ χαλώσης,
ὀλισθηρὰν δὲ τῇ γλισχρότητι τὴν ὅλην διάρθρωσιν ἐργαζομένης.
2 Ἐνίοις δὲ τῶν ἀμφὶ τὰς κοτύλας ὀφρύων περιθραυσθεισῶν ἑτοίμη
ταῖς κεφαλαῖς τῶν κώλων ἡ παράλλαξις γίνεται, τισὶ δὲ εὐθὺς ἐξ
ἀρχῆς ὕπτιαί τε καὶ προπετεῖς εἰσι καὶ παντάπασιν ἐπιπολῆς αἱ
3 κοτύλαι. Ὅταν οὖν διά τινα τῶν εἰρημένων αἰτίαν ἐκπέσῃ τῆς οἰ-
κείας ἕδρας τὸ διηρθρωμένον ὀστοῦν, ἡ κατὰ ἐκεῖνο τὸ μέρος εἰς ὃ τὴν
ἔκπτωσιν ἐποιήσατο, καταπεφυκυῖα τελευτὴ τοῦ μυὸς, ὡς ἂν εἰς ἑαυ-
τὸν ὅλου συντρέχοντος αὐτοῦ καὶ πρὸς τὴν ἰδίαν ἀνελκομένου κεφα-

LIVRE XLVII.

1. DES LUXATIONS. — TIRÉ DE GALIEN.

1 Il y a des luxations qui sont la conséquence de mouvements soudains
et violents (*luxations traumatiques*), tandis que d'autres tiennent à la
quantité démesurée du liquide accumulé dans les articulations, liquide
qui humecte et relâche les ligaments, et qui, par sa viscosité, donne à
2 toute l'articulation la faculté de glisser (*luxations spontanées*). Chez cer-
taines gens, les rebords qui circonscrivent les cavités articulaires, s'étant
brisés circulairement, facilitent le déplacement de la tête des os longs;
chez d'autres, ces cavités sont congénialement plates, déclives et complé-
3 tement superficielles. Lors donc que, pour une des raisons susdites, l'os
qui contribue à former une articulation mobile a quitté son emplace-
ment naturel, le muscle dont l'implantation correspond à l'endroit où
l'os s'est porté en se luxant se ramasse entièrement sur lui-même, se ré-

Ch. 1, l. 1. τε om. R. — 5. Θραυσθεισῶν R. — 11. ἑλκομένου U.

λὴν, ἀνασπᾷ τὸ συμφυὲς αὐτῷ τοῦ κώλου μόριον, ὅπερ ἐστὶν ἡ κεφαλὴ
τοῦ κατὰ τὴν διάρθρωσιν ὀστοῦ, ταύτης δὲ ἀνασπωμένης συνανα-
σπᾶται καὶ τὸ σύμπαν ὀστοῦν. Ἐν τούτῳ δὴ τῷ παθήματι συμβαί- 4
νει τὴν κεφαλὴν τοῦ ταπεινοτέρου κατὰ τὴν διάρθρωσιν ὀστοῦ τῆς
ἀρχαίας θέσεως ὑψηλοτέραν γίνεσθαι, ὥστε ἀδύνατον ἐμβάλλειν
αὐτὴν εἰς τὴν οἰκείαν ἕδραν πρὶν κατατείναντα τὸ σύμπαν ὀστοῦν
μεταστῆσαι κάτω τοσοῦτον, ὅσον ὑψώθη παρὰ φύσιν. Ποιησαμέ- 5
νους οὖν τὴν ἀντίτασιν ἐπὶ τἀναντία μέρη τῆς ἐκπτώσεως ἀπωθεῖ-
σθαι προσήκει τὸ ἐκπεπτωκὸς ἄρθρον· ἔνθα δὲ ἐμβαλλόντων ἐξοχή
τις ὀστοῦ προμήκης ἐστὶν, ὑπεραιωρήσαντας τὸ ἐμβληθησόμενον
ὀστοῦν κατατάξαι δεῖ τὸ ἄρθρον ἀπωθοῦντας εἰς τὴν πρόσω χώραν.
Σκέπτου τοίνυν ἐπὶ ἑκάστης ἐξαρθρήσεως ὁπόθεν μὲν ἤρξατο τῆς 6
μεταστάσεως τὸ ἄρθρον, ὅπως δὲ προελθὸν ὅποι τὴν τελευτὴν ἐποιή-
σατο· δεήσει γάρ σε τὴν μὲν τελευτὴν τὴν τῆς μεταστάσεως ἀρχὴν

tracte vers sa propre tête, et attire par conséquent la partie du membre
qui est adhérente à son extrémité, c'est à-dire la tête de l'os qui contribue
à former l'articulation mobile; or, en attirant cette tête, il attire consécu-
tivement l'os tout entier. Dans cet état de choses, il arrive que la tête de 4
l'os, qui forme la partie inférieure de l'articulation mobile, prend une
position plus élevée que celle qu'elle avait primitivement, de sorte qu'il
est impossible de la faire rentrer dans sa place naturelle avant d'avoir
abaissé l'os tout entier en lui faisant parcourir, par une traction exercée de
haut en bas, un espace proportionnel à celui qu'il a parcouru en remon-
tant. Il faut, par conséquent, après la double extension, pousser le 5
membre luxé dans un sens contraire à celui dans lequel la luxation s'est
produite; mais, lorsque, pendant la réduction, nous rencontrons une
partie saillante et allongée d'un os, nous sommes obligés de faire passer
l'os qu'il s'agit de remettre en place par-dessus cette saillie et de pra-
tiquer la coaptation de l'articulation en poussant l'os en avant. Examinez 6
donc, pour chaque luxation, par où le membre a commencé son dépla-
cement, comment il s'est avancé, et où il s'est arrêté : car vous devrez
prendre le point d'arrêt du déplacement pour point de départ de la ré-

2. ταύτης] τῆς R Gal. — 2-4. δὲ..... τῆς om. R. — 4. τῆς om. U. — 5. ἐμβαλεῖν U. — 6. κατατείνοντα U. — 14. τὴν μεταστ. U; τῆς μεταστ. Gal.

τῆς ἐπανόδου ποιήσασθαι, προελθεῖν δὲ ἐντεῦθεν ἀνάπαλιν ἐπὶ τὴν ἀρχὴν τῆς ἐκπτώσεως.

133 β'. Περὶ γένυος.

1 Προδιακινῆσαι καὶ προμαλάξαι δεῖ τὰ νεῦρα καὶ τοὺς μύας ἕλκοντα κάτω τὴν γένυν, ἀπάγοντά τε κατὰ ὅσον ἐνδέχεται τῆς ἄνω, προσήκει παράγειν τε ἐξαίφνης καὶ ἀθρόως εἰς τὸ κατὰ εὐθὺ τῆς κατὰ φύσιν χώρας τὸ ἄρθρον, ἐν τούτῳ τε καταστήσαντα παραχρῆμα πάλιν ὠθεῖν εἰς τοὐπίσω, κελεύσαντα τῷ πάσχοντι συναγαγεῖν τὸ στόμα· πρότερον μὲν γὰρ αὐτὸν χάσκειν δεῖ χαλαρὰν παρέχοντα τὴν γένυν, ὅπερ ἐστὶ μηδένα τῶν μυῶν τείνοντα· τοῦτο γὰρ ἦν συμφορώτατον εἴς τε τὸ διακινῆσαι τὰ νεῦρα καὶ τοὺς μῦς, ἐξαίφνης τε παραγαγεῖν ἐπὶ τὸ κατὰ φύσιν τὴν παρεστραμμένην
2 γένυν, ἀπώσασθαί τε πρὸς τοὐπίσω. Νυνὶ δὲ ὅταν ἤδη κατὰ εὐθὺ τῶν ἰδίων χωρῶν ἑκάτερον τῶν ἄκρων τῆς γένυος γένηται, συμφέ-

duction, et redescendre, à partir de ce point, vers l'endroit où la désarticulation a commencé.

2. LUXATION DE LA MÂCHOIRE INFÉRIEURE.

1 On commence par imprimer des mouvements de va-et-vient aux *nerfs* et aux muscles, pour les amollir; puis, abaissant la mâchoire inférieure et l'éloignant autant que possible de la mâchoire supérieure, on la replace subitement et d'un seul coup dans une position parallèle à son emplacement naturel, et, l'ayant mise dans cette position-là, on la pousse immédiatement en arrière, en ordonnant au malade de fermer la bouche; en effet, il doit d'abord avoir la bouche béante pour nous présenter la mâchoire dans l'état de relâchement, c'est-à-dire dans celui où il ne contracte aucun de ses muscles; car ce sont là les conditions les plus avantageuses pour imprimer des mouvements de va-et-vient aux nerfs et aux muscles, dans le but de ramener subitement dans sa position naturelle la mâchoire déviée, et de la pousser en arrière.
2 Quand les deux extrémités de cet os (*condyles*) sont ainsi arrivées directement en face de leur emplacement naturel, il convient que les muscles

Ch. 2, l. 4. δέ RU. — 9. τείναντα U. — 10. ἦν] δή U; om. Gal.

ρει τοὺς κροταφίτας ἐνεργήσαντας ἐπισπᾶσθαι πρὸς ἑαυτοὺς ὅλην αὐτήν· ἐνεργήσουσι δὲ προθυμηθέντος τοῦ κάμνοντος συναγαγεῖν τε καὶ κλεῖσαι τὸ στόμα. Προσκατέχειν δέ τινα τὴν κεφαλὴν ἐν τῷ 3
διακινεῖν τὴν γένυν, ἀπάγειν τε μετρίως εἰς τὸ κάτω δεῖ, χάριν τοῦ μὴ συνακολουθεῖν αὐτὴν τῇ κάτω γένυϊ, τοῦτο δὲ κοινὸν ἐπὶ πασῶν ἀντιτάσεών ἐστι τὸ παράγγελμα. — Ἐὰν δὲ κατὰ ἀμφοτέρας τὰς 4
διαρθρώσεις ἡ ἔκπτωσις γένηται, μᾶλλον μὲν εἰς τὸ πρόσω χωρεῖ νῦν ἡ κάτω γένυς ἤπερ ὅτε κατὰ θάτερον μέρος ἐξεπεπτώκει, καὶ πλέον ἀφεστηκυῖα φαίνεται τῆς ἄνω γένυος, οὐ μὴν παρασπᾶταί γε, οὐδὲ διαστρέφεται, φυλάσσουσα τὸ κατὰ φύσιν ἀδιάστροφον. Διαγνώσῃ δὲ τῇ τῶν ὀδόντων εὐθυωρίᾳ, τουτέστιν ὅταν οἱ κάτω 5
τοῖς ἄνω κέωνται κατὰ εὐθὺ, τομεῖς μὲν τομεῦσι, κυνόδοντες δὲ κυνόδουσι, μύλαι δὲ ταῖς μύλαις. Τάχιστα δὲ ἐμβάλλειν συμφέ- 6
ρει πρὶν διὰ τὴν τῶν μυῶν τάσιν εἰς συμπάθειαν ἀφικέσθαι τὸν ἐγκέφαλον· ὁ δὲ τρόπος τῆς ἐμβολῆς ὃν ἐπὶ τῆς κατὰ τὸ ἕτερον μέ-

temporaux entrent en action pour attirer à eux la mâchoire; or ils entreront en action quand le malade s'efforcera de contracter et de fermer la bouche. Il faut, en outre, que, pendant que nous imprimons des mouve- 3
ments de va-et-vient à la mâchoire, un aide retienne et abaisse modérément la tête, afin qu'elle ne suive pas [les mouvements de] la mâchoire, ce qui est, du reste, un précepte commun pour toute double extension. Dans le cas où la luxation a eu lieu dans les deux articulations à la fois, 4
la mâchoire inférieure se déplace plus fortement en avant que dans celui où la luxation ne se produit que d'un des deux côtés; et la mâchoire inférieure est plus éloignée de la mâchoire supérieure, mais elle n'éprouve ni déviation, ni torsion, vu qu'elle garde sa position droite naturelle. Vous reconnaîtrez cela au parallélisme des dents, parallélisme 5
qui consiste en ce que celles d'en bas correspondent en ligne droite à celles d'en haut, les incisives aux incisives, les canines aux canines et les molaires aux molaires. Il convient de faire très-rapidement la 6
réduction avant que le cerveau soit pris sympathiquement, par suite de la tension des muscles; mais il me semble que, dans le cas actuel, la

6. ἀντιθέσεών U Gal. — 8. ἐξεπεπτώκει ex em.; ἐκπεπτώκει RU; ἐκπέπτωκε Gal. — 13. ἐμβαλεῖν U. — 15. τρόπος ἐμβ. U.

Cocchi 133.

ρος ἐξαρθρήσεως εἴπομεν, οὐ κατὰ πᾶν ὁ αὐτός μοι δοκεῖ νῦν γίνεσθαι προσήκειν· τότε μὲν γὰρ εἰς τὸ πλάγιον ἡ γένυς ἀτρέμα παρῆκτο, νυνὶ δὲ ἰσόῤῥοπός ἐσῖιν, ὥσῖε αὔταρκες διακινήσαντα καὶ πρὸς τὰ κάτω τὸ ὀσῖοῦν ἑλκύσαντα χάριν τοῦ τὸ πέρας τῆς κορώνης κατωτέρω γενέσθαι τοῦ ζυγώματος οὕτως ἤδη πρὸς τὴν ἔσω χώραν ὠθεῖν ἑκατέρωθεν ὅλην τὴν γένυν, ἅμα τῷ κελεῦσαι τῷ
7 κάμνοντι κλείειν τὸ σῖόμα. Οὐκ ἀκίνδυνος μὲν οὖν οὐδὲ ἡ κατὰ τὸ ἕτερον μέρος ἐξάρθρησις, ἡ δὲ κατὰ ἄμφω διπλασίῳ χαλεπωτέρα, πάντας τοὺς ἀνέχοντας τὴν κάτω γένυν ἐντείνουσα μύας, ἔχοντας ἀπὸ ἐγκεφάλου τὰ νεῦρα καὶ τάχισῖα εἰς συμπάθειαν ἄγοντας αὐτόν.

γ'. Περὶ ἀκρωμίου ἀποσπασθέντος.

1 Χονδρῶδές ἐσῖιν ὀσῖοῦν τὸ ἀκρώμιον, ἐπικείμενον τῇ συζεύξει

manière dont on fait la réduction ne doit pas, en tout point, être la même que celle que nous avons décrite pour la luxation d'un seul côté : en effet, la mâchoire avait alors subi une légère déviation latérale, mais actuellement elle ne penche pas plus d'un côté que de l'autre; il suffit donc d'imprimer à l'os des mouvements de va-et-vient, et de l'abaisser, afin que l'extrémité de l'apophyse en bec de corneille soit placée plus bas que l'arc zygomatique; alors on poussera la mâchoire tout entière des deux côtés en dedans, en même temps qu'on ordonnera au malade
7 de fermer la bouche. La luxation qui se fait d'un des deux côtés n'est pas sans danger non plus; mais celle qui a lieu des deux côtés à la fois est deux fois plus grave, attendu qu'elle tend tous les muscles qui relèvent la mâchoire inférieure, muscles qui tirent leurs nerfs du cerveau et qui excitent très-promptement des affections sympathiques dans cet organe.

3. DE L'ARRACHEMENT DE L'ACROMION.

1 Le sommet de l'épaule (*acromion*) est un os cartilagineux, placé sur

1. ἐξαρθρώσεως R. — 5. ζεύγματος ἐξάρθρωσις R Gal. — 9. κατέχοντας Gal. U. — 7. τό post κατά om. Gal. — 8. — Ib. μῦς R.

τῆς κλειδὸς καὶ τῆς ὠμοπλάτης, ὑμένας ἐκπεφυκότας ἔχον, οἷς
συνδεῖται | τὰ πέρατα τῶν ὀστῶν· ἀποσπασθέντι δὲ αὐτῷ καὶ ἡ 134
κλεὶς εἴωθε συνέπεσθαι, καὶ διὰ τοῦτο καὶ ἡ ἐπανόρθωσις γίνεται
καταναγκαζομένης εἰς τὸ κάτω τῆς κλειδὸς, ὡς ἀποτελεῖσθαί
τινα κυκλοτερῆ καμπὴν αὐτῆς ἐνταῦθα· διὸ καὶ τοῖς νεωτέροις ἡ
καταναγκασις αὕτη μᾶλλον ἐπιτυγχάνεται· ὅσῳ γὰρ ἡ ἡλικία προέρ-
χεται, ξηρότερα ἡμῶν τὰ σώματα ἀποτελεῖται. Καθάπερ οὖν τὰ 2
ξηρὰ ξύλα πρὸς τὰς καμπὰς ἐστιν οὐκ ἐπιτήδεια, τὰ δὲ ὑγρὰ καὶ
χλωρὰ ῥᾳδίως πάσχει τοῦτο, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ τῶν
ἔτι αὐξανομένων ζῴων ὀστᾶ κάμπτεσθαι δύναται καταναγκαζόμενα,
καὶ πολὺ μᾶλλον ὅταν ᾖ χαῦνα καὶ σηραγγώδη, καθάπερ καὶ ἡ
κλείς ἐστιν. Καὶ ἔγωγε ἐπειράθην αὐτὸς ἐπὶ ἐμαυτοῦ καμπτομένης 3
αἰσθανόμενος τῆς κλειδός· ἔσφυζε γὰρ διὰ βάθους, ὁπότε σφοδρῶς
καταναγκασθείη τῷ βιαίῳ τῆς ἐπιδέσεως. Ὑπέμεινα δὲ τοῦτο μέχρι 4

le point de réunion de la clavicule avec l'omoplate; c'est sur lui que
s'implantent les membranes servant à rattacher l'une à l'autre les ex-
trémités de ces deux os; quand le sommet de l'épaule a été arraché, la
clavicule le suit ordinairement, et, pour cette raison, on remédie à cet
accident en forçant la clavicule à s'abaisser, de façon qu'il en résulte pour
cet os une espèce de flexion en arc de cercle; cette forme de la flexion
est aussi la cause pour laquelle la réduction dont il s'agit réussit d'au-
tant mieux que les sujets sont plus jeunes; car, à mesure que nous avan-
çons en âge, nos parties deviennent de plus en plus sèches. Or, de même 2
que le bois sec n'est pas propre à être fléchi, tandis que le bois humide
et vert s'y prête facilement, de même les os des animaux qui sont encore
dans la croissance peuvent être fléchis pendant la réduction, et il en est
ainsi à bien plus forte raison quand ces os sont spongieux et présentent
de nombreuses cavités médullaires, deux circonstances qui se ren-
contrent dans la clavicule. J'en ai fait l'expérience sur moi-même et j'ai 3
senti que la clavicule se fléchissait : en effet, cet os présentait de la pul-
sation dans la profondeur, chaque fois qu'on le réduisait violemment en
appliquant un appareil très-résistant. Je supportai cette violence jusqu'au 4

10. ἔτι om. R. — 11. συριγγώδη U.

Cocchi 134.

τεσσαρακοσΊῆς ἡμέρας, ἐν αἷς οὕτω προσήχθη τῇ κεφαλῇ τοῦ βρα-
χίονος ἡ κλεὶς, ὥσΊε τοὺς μὲν νῦν ὁρῶντας ἀπισΊεῖν, εἰ ἀπεσπάσθη
ποτὲ, τοὺς δὲ ἰδόντας ὁπότων ἀποσπασθῇ, τριῶν δακτύλων διάσΊημα
5 τὸ μεταξὺ γενόμενον, ὑπερθαυμάζειν τὸ πρᾶγμα. Ἐπὶ δὲ μειρακίων,
καὶ μᾶλλον ἐπὶ παιδίων, ἑτοιμότερον ἡ ἐπίδεσις καταναγκάζει τὸ
ὀσΊοῦν· ἐμοὶ μὲν γὰρ ἔτος ἄγοντι πεμπΊὸν καὶ τριακοσΊὸν οὕτω
παθεῖν ἐν παλαίσΊρᾳ συνέβη· οὐ μὴν ἄλλον γέ τινα τῶν ἤδη τε-
λείων ἠδυνήθην ὁμοίως ἰάσασθαι, διὰ τὸ μὴ φέρειν αὐτοὺς τὸ βίαιον
6 τῆς ἐπιδέσεως. Ἐγὼ δὲ οὖν καὶ αὐτὸς ᾐσθανόμην ψυχροῦ τοῦ χω-
ρίου πάντως, ὡς ἀναγκάζεσθαι διὰ ὅλης ἡμέρας καὶ νυκτὸς ἔλαιον
καταντλεῖν θερμὸν, ὑποβεβλημένου δέρματος ὅλῳ τῷ σώματι·
7 γυμνὸς γὰρ ἐπὶ αὐτοῦ κατεκείμην. Ὑποκειμένης οὖν κατὰ τὸ πρὸς
τῶν ποδῶν μέρος λεκάνης κενῆς, ἐσχημάτισΊο κατὰ τοῦτο πρὸς
ἔκρουν ἐπιτηδείως τὸ δέρμα, πάλιν τε τὸ ἀθροισθὲν ἐν τῇ λεκάνῃ
μεταβάλλοντες εἰς λέβητα κατὰ πυρὸς ἐπικείμενον ἐθέρμαινον, ἐν-

quarantième jour, et cet espace de temps a suffi pour rapprocher telle-
ment la clavicule de la tête de l'humérus, que ceux qui me voient main-
tenant refusent de croire que l'os ait jamais été arraché; et cela paraît
encore bien plus étonnant à ceux qui, au moment même de l'accident,
5 ont constaté un écartement de trois doigts. Chez les jeunes gens, et bien
plus encore chez les petits enfants, l'appareil maintient plus facilement
l'os réduit : quant à moi, cet accident m'est arrivé dans la palestre, à
l'âge de trente-cinq ans; mais je n'ai pu guérir de la même manière
aucun autre malade qui fût déjà arrivé à l'âge adulte, parce qu'ils ne
6 supportaient pas la violence de la déligation. La région de la luxation
me paraissait complétement froide, de sorte qu'on était obligé de faire
des affusions d'huile chaude pendant le jour et la nuit, en plaçant une
7 peau sous mon corps; car j'étais couché tout nu sur cette peau. On avait
donc placé sous ma couche, du côté des pieds, un bassin vide, et, dans
cette partie du lit, on avait arrangé la peau de façon à favoriser l'écoule-
ment de l'huile; puis, quand l'huile s'était accumulée dans le bassin,
on la chauffait en la transvasant dans un chaudron placé sur le feu, et

3. ἀπεσπάσθη RU Gal. — 7. οὐ μὴν μᾶλλόν γέ R; οὐ μὴν ἀλλ' οὔ γέ U. — 10. παντός R. — 15. μεταβαλόντες R Gal.

Cocchi 134.

τεῦθέν τε λαμβάνοντες ἀπήντλουν τῷ πεπονθότι χωρίῳ παντί. Καὶ 8
εἰ βραχύ ποτε διέλιπον, ᾐσθανόμην τάσεως εὐθέως τῶν κατὰ τὸν
τράχηλον μυῶν, ὡς εἶναι δῆλον ὅτι σπασμὸς ἀκολουθήσειε ῥᾳθυμη-
σάντων περὶ τὴν κατάντλησιν. Οἱ πολλοὶ δὲ αἱροῖντο τὴν εἰς 9
τὸν ἔπειτα χρόνον ἐκ τοῦ πάθους ἔχειν δυσχέρειαν, ὑπὲρ τοῦ μὴ
πονῆσαι μέχρι τεσσαράκοντα ἡμερῶν· οὐ γὰρ ἡγοῦμαι θᾶτλον
δύνασθαι τῶν τοσούτων ἀκριβῶς καμφθῆναι τὸ τῆς κλειδὸς ὀσ7οῦν.

δ'. Περὶ τῶν κατὰ ὦμον ἐξαρθρημάτων.

Ἐπὶ τῶν τοῦ βραχίονος ἐξαρθρημάτων μέγισ7όν τε καὶ ῥᾶσ7ον 1
εἰς διάγνωσίν ἐσ7ιν ὄγκος σ7ρογγύλος καὶ σκληρὸς ἐν τῇ μασχάλῃ
φαινόμενος· οὐ γὰρ ἐνδέχεται γενέσθαι τοῦτο χωρὶς τοῦ τὴν κε-
φαλὴν τοῦ βραχίονος ἐκπεσοῦσαν τῆς διαρθρώσεως εἰς τὸ τῆς
μασχάλης ἐνεχθῆναι χωρίον, ὥσ7ε εἰ καὶ μόνῳ τις τούτῳ τῷ ση-
μείῳ πισ7εύσειεν, οὐκ ἂν ἁμάρτοι. Καὶ μέντοι καὶ ῥᾴσ7ην ἔχει τὴν 2

on la prenait dans le chaudron pour renouveler les affusions sur toute
la région malade. Et, si parfois on s'arrêtait pendant quelques instants, 8
je sentais immédiatement de la tension dans les muscles du cou; il est
donc évident qu'il serait survenu des spasmes, si on avait mis de la né-
gligence dans l'emploi des affusions. La plupart des malades aimeraient 9
mieux subir l'incommodité qui résulte de cette affection pour le reste de
leur vie que de souffrir pendant quarante jours; car je suis d'avis que
l'os de la clavicule ne saurait arriver au degré nécessaire de flexion dans
un espace de temps plus court.

4. DES LUXATIONS DE L'ÉPAULE.

Le signe le plus important et le plus facile pour constater les luxations 1
de l'humérus est une tumeur ronde et dure qui se montre dans l'aisselle:
car il est impossible que cela ait lieu sans que la tête de l'humérus, ayant
quitté l'articulation, se soit portée dans la région de l'aisselle: si donc on
s'en rapporte uniquement à ce signe, on ne se trompera pas. Il est très- 2

3. ὅτι καὶ σπ. R. — Ib. ἀκολουθήσει — 4. αἱροῦντο RU. — Ch. 4, l. 9. σκληρός] μικρός Gal. — 12-13. τῷ σημείῳ om. Gal.
RU Gal.

διάγνωσιν· ἐνθεῖναι γὰρ χρὴ μόνον εἰς τὴν μασχάλην τοὺς δακτύλους ὡς ψαῦσαι τῆς ἐξοχῆς, καὶ φανεῖται σαφῶς ἡ κεφαλὴ τοῦ βραχίονος ἐνταῦθα. | 137 3 Πυκνῶς δὲ ἐκπίπτει ἄρθρον ἐπὶ μικραῖς προφάσεσιν, ἤτοι διὰ τὸ τῆς κοιλότητος ἀβαθές τε ἅμα κἂν ταῖς ὀφρύσιν ὕπτιον, ἢ διὰ τὴν ὑγρότητα τῶν περικειμένων τῇ διαρθρώσει σωμάτων, διὰ ἣν χαλαρά τέ ἐστι καὶ ῥᾳδίως ἐκτεινόμενα. 4 Διὰ τὰς αὐτὰς οὖν αἰτίας καὶ αἱ ἐμβολαὶ τῶν τοιούτων ἄρθρων εἰσὶ ῥᾴδιαι, καὶ διὰ τοῦτο χωρὶς ἰατρῶν ὑπὸ αὐτῶν τῶν πασχόντων γίνονται, τῆς ἑτέρας χειρὸς ἐντιθέντων τοὺς κονδύλους εἰς τὴν μασχάλην, ἀναγκαζόντων τε εἰς τὸ ἄνω τὸ ἄρθρον, τόν τε ἀγκῶνα παραγόντων παρὰ τὸ στῆθος. 5 Ὁ μὲν οὖν πρῶτός τε καὶ ῥᾷστος τρόπος τῆς ἐμβολῆς οὗτός ἐστιν· δεύτερος δὲ ὁ τοιοῦτος· ὑποβάλλοντος ἰατροῦ τινος ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος τοὺς κονδύλους τῆς χειρὸς, οὐχ ἁπλῶς, ἀλλὰ ἐκ τῶν ἔνδον μερῶν, ὥστε ἀποστῆσαι κάτω πρῶτον, εἶτα οὕτως εἰς τὴν ἄνω χώραν ἀπώσασθαι καὶ κατὰ εὐθὺ ποιῆσαι τῆς ὑποδεχομέ-

facile à constater; on n'a qu'à mettre les doigts dans l'aisselle de manière à toucher la saillie [que forme l'os]; alors la tête de l'humérus apparaîtra
3 manifestement. Une articulation peut se luxer fréquemment pour des causes peu graves, soit parce que sa cavité manque de profondeur, en même temps que ses rebords sont abaissés, soit par l'effet de l'humidité des parties qui entourent l'articulation, humidité qui les rend lâches et
4 promptes à s'allonger. Les mêmes raisons font donc aussi que de pareilles articulations se remettent facilement, et c'est encore là la cause pour laquelle les malades opèrent ces réductions eux-mêmes sans le secours des médecins, en plaçant les condyles de l'autre main dans l'aisselle, en forçant le membre de remonter et en faisant mouvoir le coude qu'ils
5 tiennent serré contre la poitrine. C'est là le premier mode de réduction de l'épaule, qui est en même temps le plus facile; voici le second : un médecin place les condyles de sa main sous la tête de l'humérus, non pas sur un point quelconque, mais du côté intérieur, de manière à la déplacer d'abord vers le bas, à la pousser ensuite en haut et à la placer

3. τὸ ἄρθρον RU. — 6-7. Διὰ τοσαύτας U. — 7. αἱ om. U. — 12. ὑποβ. εἶτ' αὐτοῦ τοῦ κάμνοντος, εἶτ' ἰατροῦ Gal. — 15-p. 218, l. 1. ὑποδεξομένης Gal.

Cocchi 137.

νης αὐτὴν κοιλότητος· ἐνταῦθα γὰρ ἤδη καὶ οἱ περικείμενοι τῇ
διαρθρώσει μύες ὑπηρετοῦσί τε καὶ συμπράττουσιν ἀνασπῶντες αὐ-
τήν· σύνθετος γάρ ἐστιν ἐκ τριῶν ἐνεργειῶν ἡ ἐμβολή, πρώτης
μὲν κατὰ ἣν εἰς τὸ πρόσω τὸ ἄρθρον ἄγεται, δευτέρας δὲ κατὰ ἣν
ἄνω, καὶ τρίτης κατὰ ἣν ὀπίσω· ταύτας γὰρ ἀναγκαῖον ἐργάσασθαι
τὸν ἐμβάλλοντα, διὰ οὗπερ ἂν ἐπιχειρῇ τρόπου τὴν ἐμβολὴν ποιή-
σασθαι. Ὅταν οὖν εἰς τὴν πρόσω χώραν ἀπὸ τῆς οἰκείας ἕδρας ἡ 6
κεφαλὴ τοῦ βραχίονος ἀποχωρήσασα, κάτω μὲν πρῶτον ἐνεχθῇ τῷ
βάρει ῥέψασα, μετὰ ταῦτα δὲ ὀπίσω πρὸς τὰς πλευρὰς ὑπὸ τῶν
μυῶν εἰς ἑαυτοὺς συντρεχόντων ἀνασπασθῇ, τὴν εἰς τὸ κατὰ φύσιν
ἐπάνοδον ἄρξασθαι μὲν ἀπὸ τῆς ὀπίσω χώρας ἀναγκαῖόν ἐστιν, ἐν-
τεῦθεν δὲ πρόσω μὲν πρῶτον, εἶτα ἄνω παραγενέσθαι, κἀπειδὰν
ἤδη κατὰ εὐθὺ τῆς κοιλότητος ᾖ, δυοῖν θάτερον, ἢ τοῖς μυσὶν ἐπι-
τρέψαι τὸ πᾶν, ἢ καὶ συνεπωθεῖν αὐτόν. Ὅταν δὲ ἐπιτρέψῃς τοῖς 7
μυσὶ, μὴ καταλίπῃς τὴν κάτω χώραν ἀφρούρητον· ὀχεῖσθαι γὰρ

directement vis-à-vis de la cavité qui la reçoit; car, dès que la tête de
l'humérus est ainsi placée, les muscles qui entourent l'articulation
prêtent leur aide et leur coopération au médecin, en tirant cette tête
vers le haut; en effet, la réduction se compose de trois temps : dans le
premier, le membre est amené en avant; dans le second, il est poussé en
haut, et, dans le troisième, en arrière : celui qui opère la réduction doit
nécessairement accomplir ces trois mouvements, quel que soit le procédé
auquel il s'arrête pour réduire la luxation. Lors donc que la tête de l'hu- 6
mérus, ayant quitté sa place pour se porter en avant, s'abaisse d'abord,
en suivant l'impulsion de sa pesanteur, et se trouve ensuite ramenée en
arrière vers les côtes par les muscles contractés, il est nécessaire que
la réduction du membre commence en arrière, et que de là l'os marche
d'abord en avant, et ensuite vers le haut; lorsqu'il se trouve directe-
ment en face de sa cavité, il faut faire de deux choses l'une, ou lais-
ser les muscles accomplir toute la besogne, ou les aider en poussant soi-
même. Si vous vous en rapportez aux muscles, prenez garde de laisser la 7
partie inférieure sans surveillance, car, dans cette région, le bras doit

1. αὐτόν RU. — Ib. ἐντεῦθεν RU. — 15. ἀποχεῖσθαι RU.

Cocchi 137.

ἐπί τινος ἐνταῦθα χρὴ τὸν βραχίονα· μὴ ἕως ἠτονηκότων τῶν μυῶν ἀνασπᾷν αὐτὸν, ἐνεχθῆναι κάτω φθάσῃ, πρὶν ὑπὸ ἐκείνων εἰς τὴν
8 οἰκείαν ἐνεχθῆναι χώραν. Οὐσῶν οὖν τριῶν τούτων ὁδοιποριῶν, ἄριστον μέν ἐστιν ἑκάστην ποιεῖσθαι κατὰ εὐθεῖαν γραμμὴν, πρώτην μὲν τὴν πρόσω, δευτέραν δὲ τὴν ἄνω, καὶ τρίτην τὴν ὀπίσω· πολλάκις δὲ οὐχ οὕτως, ἀλλὰ περικυλινδουμένης τῆς κεφαλῆς τοῦ βραχίονος τῷ τῆς ὠμοπλάτης αὐχένι τὴν ἐμβολὴν ἐργαζόμεθα, καὶ ὅ γε πρῶτος τρόπος ὁ διὰ τῶν δακτύλων ὑπό τε τοῦ πάσχοντος αὐτοῦ καὶ τῶν ἰατρῶν γινόμενος ἐκ τούτου τοῦ εἴδους ἐστὶν, ἐπιτυγχανόμενος ἄνευ βλάβης ἐν τῇ κατὰ ὦμον διαρθρώσει μηδεμίαν ἐξοχὴν ἐχούσῃ προμήκη, μήτε κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος· ἀκριβῶς γάρ ἐστι περιφερής· μήτε κατὰ τὰς ὀφρύας τῆς ἐπιδεχο-
9 μένης αὐτὴν κοιλότητος. Οἷς μὲν οὖν ἐκπίπτει πυκνῶς, ἀνάγκη τήν τε διάρθρωσιν εἶναι χαλαρὰν, καὶ τὴν κοιλότητα βραχείας ἔχειν τὰς ὀφρῦς, καὶ διὰ τοῦτο ῥᾳδίως ἐμβάλλουσιν αὐτοὶ ἑαυτοῖς τὸ ἄρ-

reposer sur quelque chose, de peur que, si les muscles étaient impuissants pour le tirer en haut, le membre ne commençât par se porter en
8 bas avant d'avoir été amené par eux dans sa position naturelle. Donc, puisqu'il y a trois routes à parcourir, le mieux est que le membre parcoure chacune d'elles en ligne droite, la première en avant, la seconde en haut, et la troisième en arrière; souvent il n'en est pas ainsi; mais c'est en imprimant à la tête de l'humérus un mouvement de glissement sur le pourtour du col de l'omoplate que nous effectuons la réduction; le premier mode de réduction, qui s'accomplit à l'aide des doigts, par le malade lui-même, ou par les médecins, appartient à cette espèce; ce mode de réduction réussit sans causer du dommage, s'il s'agit de l'articulation de l'épaule, car cette articulation n'a aucune partie saillante allongée, ni sur la tête de l'humérus (cette tête est complétement ronde),
9 ni sur les marges de la cavité qui la reçoit. Quand les luxations de l'épaule sont fréquentes, l'articulation doit nécessairement être lâche et la cavité présenter des rebords peu considérables; c'est pour cette raison que les gens ainsi conformés font rentrer facilement eux-mêmes le membre

3. οἷον ὁδοιπ. R. — 5. τρ. ὀπίσω R. — 12. ἀκρ. γάρ ἐστι om. R. — 12- 13. ὑποδεξομένης Gal. — 15. αὐτοί om. RU.

θρον οἱ οὕτω κατεσκευασμένοι, τοὺς κονδύλους τῶν δακτύλων τῆς
ἀπαθοῦς χειρὸς ἐντιθέντες εἰς τὴν μασχάλην, ὡς μεταξὺ δηλονότι
| τὴν ἔνθεσιν αὐτῶν γενέσθαι τῆς τε κεφαλῆς τοῦ βραχίονος καὶ τῶν 138
ϖλευρῶν· γίνονται γὰρ ἀντὶ μοχλοῦ τηνικαῦτα τῆς χειρὸς οἱ δάκτυ-
λοι, τελευτώντων μὲν εἰς ὀξὺ ϖέρας τῶν κονδύλων, ὥσπερ εἰς τρί-
γωνον κορυφὴν, αὐτῇ δὲ ταύτῃ τῇ κορυφῇ ϖαρεισερχομένων ῥᾳδίως
εἰς τὴν μεταξὺ χώραν τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τῶν ϖλευ-
ρῶν· ἢν δὲ ἅπαξ ὑπὸ αὐτῆς εἰσδεχθῶσι, ῥᾳδίως τῆς ἐμβολῆς γινο-
μένης διὰ τὴν ὑγρότητα ϖάντων τῶν κατὰ τὴν διάρθρωσιν σωμά-
των. Οἱ μὲν δάκτυλοι ϖαραδεχθέντες εὐθέως ἐν αὐτῷ τούτῳ τὸ 10
ἄρθρον εἰς τὸ ϖρόσω μέρος ἀπεσΊάλκασι τῶν ϖλευρῶν· ὁ δὲ ἀγκὼν*
ὑπὸ τὸν τοῦ κάμνοντος ἔσΊω, χάριν τοῦ κατὰ εὐθὺ γενέσθαι τὸν
βραχίονα τῆς ἰδίας ἕδρας· εἴρηται γὰρ ἡμῖν ἤδη ϖολλάκις, ὡς ὅταν
ἐν τούτῳ κατασΊῇ τὸ ἐμβαλλόμενον ἄρθρον, ἑτοίμην ἴσχει τὴν ἔμ-
πΊωσιν, εἰ μὴ καὶ συνεπωθοῖμεν ἡμεῖς, τῶν μυῶν ἐργαζομένων τὸ
δέον. Λέγει δὲ καὶ ἄλλον τρόπον ἐμβολῆς Ἱπποκράτης κατὰ τήνδε 11

en mettant les condyles des doigts de la main valide dans l'aisselle,
de façon qu'ils soient placés, bien entendu, entre la tête de l'humérus
et les côtes : alors les doigts remplissent l'office d'un levier, vu que les
condyles des doigts se terminent en pointe aiguë, comme est le sommet
d'un triangle, et que, à l'aide de ce sommet même, ils s'insinuent facile-
ment entre la tête de l'humérus et les côtes; or, une fois qu'ils ont pé-
nétré dans cet espace, la réduction se fait facilement à cause de l'hu-
midité de toutes les parties qui appartiennent à l'articulation. Dès que 10
les doigts ont été introduits dans cet espace, ils repoussent à l'instant
même le membre des côtés vers la partie antérieure; le coude doit être
porté vers la poitrine, afin que le bras, l'humérus étant soulevé, puisse se
trouver dès lors en face de la cavité de l'omoplate; car nous avons déjà dit
souvent que, lorsque le membre qu'il s'agit de réduire occupe cette po-
sition, la réduction est facile, attendu que les muscles se chargent de ce
qui reste à faire, même quand on ne les aide pas en poussant. Dans le 11

5. δακτύλων R. — 5-6. ὥσπερ ἡ κώνου κορυφή Gal. — 12. ὑπὸ..... ἔσΊω] παρὰ τὸ σΊῆθος ἀπαγόμενος ὑψοῖ τὸν βραχίονα Gal. — Ib. τὸν τοῦ] τὸν ὦμον τοῦ U. — 16-p. 221, l. 1. Λέγει ..... λέξιν om. Gal.

Cocchi 138.
τὴν λέξιν· χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν
δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι, ἐπὶ ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ,
ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσι ἑωυτοῦ τῆς χειρὸς τῆς σιναρῆς
κατατείνειν αὐτὴν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα
ἀντωθεῖν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστε-
12 ρήν. Δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι
ἐναρμόσσον· ἐπιτηδειότατον δὲ πάνυ σμικραὶ σφαῖραι σκληραὶ,
13 οἷαι ἐκ τῶν πολλῶν σκυτέων ῥάπτονται. Ἐνίους δέ φησι καὶ ὑπέρῳ
14 ἀναγκάζειν. Μᾶλλον δὲ τῶν ἔμπροσθεν ἐμβολῶν ἐπαινεῖ τὴν διὰ
15 τοῦ κλιμακίου, καὶ ἔτι μᾶλλον ταύτης τὴν διὰ τῆς ἄμβης. Χρὴ
μέντοι φησὶ καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι στρογγύλον τι ἄνω-
θεν ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσδιαναγκάσει
τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι· ξύλον γὰρ
τοιοῦτον ἐξέχον εὐθὺς ἀπὸ ἀρχῆς γίνεται κατὰ τὸ μηχανικὸν κλι-

texte suivant, Hippocrate (*Des articul.* § 3) expose encore un autre mode
de réduction : « Le malade est couché par terre, sur le dos; celui qui fait
« la réduction s'assied à terre, du côté du membre luxé; ensuite il saisit
« avec les mains le bras lésé pour le tirer en bas, et il place son talon dans
« l'aisselle, le talon droit dans l'aisselle droite et le gauche dans la gauche,
12 « afin de pousser en sens contraire. On place dans le creux de l'aisselle
« quelque objet rond qui s'y adapte; or ce qui répond le mieux à l'in-
« tention ce sont des boules dures et extrêmement petites, comme on
13 « en fait, en cousant plusieurs morceaux de cuir ensemble. » Hippocrate
dit encore (*ibid.* § 5) que quelques-uns font aussi la réduction avec le
14 pilon. Toutefois le procédé qu'il préfère aux précédents est celui qui se
fait avec l'échelle (§ 6); mais la réduction avec l'ambe (§ 7) lui paraît en-
15 core supérieure. « Il faut, dit-il, lier aussi sur le premier échelon quelque
« objet rond qui s'adapte au creux de l'aisselle, lequel objet devra forcer
« la tête de l'humérus à rentrer dans sa place naturelle : » en effet, on a des
machines en forme de petite échelle, machines dont nous nous servons

4. πτέρναν RU. — 5. τῇ μὲν δεξιῇ] τὴν μὲν δεξιήν U. — Ib. εἰς RU; it. l. 6, 12 et 13. — Ib. τὴν δὲ ἀριστερήν U. — 7. σφ. καὶ σκληραί Hipp. — 8. οἷαι πολλαὶ ἐκ σκ. Hipp. — Ib. φησι om. R. — 12. ὅπως διαναγκάσῃ U.

Cocchi 138.

μάκιον, ᾧ καὶ ἡμεῖς συνήθως χρώμεθα, παραπλήσιον τῷ ξύλῳ τῷ τὴν ἄμβην ἔχοντι κατὰ τὸ πέρας. Ὅλον δὲ τὸ ξύλον οἱ ἰατροὶ 16 προσαγορεύουσιν ἄμβην ἐκ τῆς κατὰ τὸ πέρας ἐπικειμένης ὀφρύος ἄμβωνι παραπλησίας· τοιαύτη δέ ἐστιν ἡ ὀφρὺς οἵα καὶ κατὰ τὸ τῶν λοπάδων πέρας τὸ ἄνω γίνεται, πρὸς τὴν ἐντὸς ἐστραμμένη κοιλότητα. Ἐπιτηδειότατον δέ ἐστι τοῦτο τῷ παραδῦναι μεταξὺ τῆς κε- 17 φαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν, καὶ μέντοι καὶ μοχλεύοντι χρησιμώτατον, ἀσφαλῶς περιλαμβάνον τὴν κυρτότητα τῆς κεφαλῆς τοῦ βραχίονος. Ὁ μὲν οὖν Ἱπποκράτης εἰς μασχάλην μόνον 18 ἑωρακέναι φησὶν ὀλισθάνοντα βραχίονα, τῶν δὲ μετὰ αὐτὸν ἰατρῶν ἔνιοι καὶ ἄλλας ἐκπλώσεις ἔγραψαν, ὡς ἰδόντες αὐτοί, καὶ ἡμεῖς δὲ μέχρι δεῦρο πεντάκις εἴδομεν. Ἐγένοντο δὲ [αἱ] ἐκπλώσεις ἅπα- 19 σαι μὲν ἐν τῇ πρόσω χώρᾳ, διέφερον δὲ ἀλλήλων ἐν τῷ πλησιαίτερον ἢ πορρώτερον εἶναι τῆς διαρθρώσεως, κατά τε τὸ μῆκος τοῦ

habituellement, et auquelles l'ouvrier adapte aussi en les faisant un [échelon avec un] renflement; elles ressemblent à celles qui portent une ambe à leur extrémité. Les médecins appellent toute la machine *ambe* 16 à cause de la saillie placée à son extrémité et qui ressemble au rebord d'un bouclier; ce rebord est fait comme celui qu'on fabrique à l'extrémité supérieure de [certains] plats et qui est tourné vers la cavité intérieure. Ce rebord est très-propre à s'insinuer entre la tête de l'humérus 17 et les côtes, et il est, du reste, aussi très-utile quand on opère le mouvement de levier, puisqu'il saisit sûrement la partie convexe de la tête de l'humérus. Hippocrate dit (*ibid.* § 1) qu'il n'a pas vu d'autre luxation 18 du bras que la luxation dans l'aisselle; mais quelques-uns des médecins qui sont venus après lui ont décrit aussi d'autres luxations [du bras], comme les ayant observées eux-mêmes; quant à nous, nous avons, jusqu'à ce jour, constaté cinq de ces luxations [en dehors de l'aisselle]. Elles 19 avaient toutes eu lieu du côté antérieur, et elles différaient entre elles suivant qu'elles étaient plus proches ou plus éloignées de l'articulation, aussi bien dans le sens de la longueur que dans celui de la largeur du

5. ἐκτός RU. — Ib. ἐστραμμένη ex em.; ἐστραμμένην RU Gal. — 6. τῷ om. R in magna lac. — 8. ἐπιλαμβάνον RU. — 12. [αἱ] ex em.; om. RU Gal. — 13. μέν om. U. — 13-14. πλησιέστερον U Gal.

20 κώλου, καὶ τὸ πλάτος. Ἡ δὲ οὖν ἐμβολὴ καὶ τούτων τῶν ἐξαρθρη-
μάτων τοῖς αὐτοῖς ὑπάγεται σκοποῖς, ἀντιτάσει τε καὶ μοχλείᾳ καὶ
141 ἀποθέσει· προσήκει δὲ οὐχ ὡς ἐπὶ τῆς εἰς | μασχάλην ἐκπτώσεως,
οὕτω καὶ νῦν μοχλεύειν· ἐπὶ ἐκείνης μὲν γὰρ ἔδει πρόσω πρῶτον,
εἶτα ἄνω τὸ ἄρθρον ἄγειν, ἄχρι ἂν ἐπὶ εὐθείας γένηται τῇ κοιλό-
τητι· νῦν δὲ ἐπειδὴ πάντως μὲν ἐν τοῖς πρόσω μέρεσι τῆς διαρ-
θρώσεώς ἐστιν, ἤτοι δὲ ἐγκέκλιται πρὸς τὴν ἔξω ἢ ἔνδον χώραν,
ἐσφηνωμένον ἐν τοῖς μυσὶν, ὠθεῖν αὐτὸ χρὴ πρὸς τὴν ἐναντίαν
21 χώραν ἐμβάλλοντα τῶν μυῶν. Ἐν τούτῳ δὲ τῷ ἔργῳ κίνδυνος εἰς
τὴν κάτω χώραν ὀλισθῆσαν αὐτὸ πρὸς τῶν μυῶν ἀνασπασθὲν εἰς
22 τὴν μασχάλην ἐνεχθῆναι. Μάλιστα μὲν οὖν οὔτε ἡ ἀντίτασις ἐᾷ
γενέσθαι τοῦτο, καὶ κατὰ αὐτὴν δὲ τὴν ἀντίτασιν οὐδὲν χεῖρόν ἐστιν
ἠσφαλίσθαι τὸ κατὰ τὴν μασχάλην χωρίον, ὡς ἐπράξαμεν ἐν
Σμύρνῃ περὶ τὸ γενόμενον οὕτως ἐξάρθρημα· κατὰ παλαίστραν μὲν
γάρ τινι συνέβη, διπλωθείσης τῆς χειρὸς ὑπὸ τοῦ συμπαλαίοντος,

20 membre. On peut, du moins, ramener également le mode de réduction
de ces luxations aux mêmes indications : double extension, soulèvement
comme avec un levier et *position;* cependant, dans le cas actuel, on ne
pratiquera pas le soulèvement de la même manière que pour la luxation
dans l'aisselle : en effet, dans ce dernier cas, il fallait amener le membre
d'abord en avant et ensuite en haut, jusqu'à ce qu'il fût placé directe-
ment en face de la cavité; mais, comme, dans le cas actuel, le membre se
trouve nécessairement au-devant de l'articulation, tout en ayant dévié
en dedans ou en dehors, vu qu'il est enclavé dans les muscles, il faut le
pousser en sens contraire de [la direction dans laquelle l'attirent] les
21 muscles. Pendant cette opération il peut arriver que le membre, ayant
glissé en bas, soit porté dans l'aisselle par l'action des muscles qui le
22 tirent en haut. Le plus souvent la double extension empêche que cet ac-
cident ne se produise; néanmoins il n'est pas trop mauvais de renforcer
la région de l'aisselle pendant qu'on fait la double extension elle-même,
ainsi que nous l'avons fait à Smyrne à propos de la luxation qui s'était
opérée de cette manière : en effet, cette luxation arriva à quelqu'un dans
la palestre, lorsque son bras avait été plié en deux par son adversaire

4. δεῖ R. — 11. ἡ om. U.

ὅς τις μάλιστα τρόπος εἰς τὸ πρόσω δύναται μεταστῆσαι τὸ ἄρ-
θρον. Ὕπτιον δὲ κατακλίναντες τὸν πεπονθότα τὴν ἀντίτασιν ἐποιη- 23
σάμεθα τῇ διὰ τῆς πτέρνης παραπλησίαν, ὄπισθεν μὲν καθίσαντές
τινα, περιβάλλοντες δὲ τὴν μασχάλην πλατεῖ ἱμάντι, προϋποβε-
βλημένου τινὸς εἰς τὸ κοῖλον ἐκπληρώματος· αὐτοὶ δὲ, ὡς ἔφην,
ἔξω τῶν περισφιγγόντων τὸ ἄρθρον μυῶν ἀπώσαντες, εἶτα ἀνέντες
τὴν κατάτασιν, ἐπετρέψαμεν ἀνασπασθῆναι πρὸς τῶν μυῶν εἰς ἑαυ-
τοὺς συντρεχόντων, ἐμβληθῆναί τε τῇ κοιλότητι. Τοῦτο μὲν οὖν 24
εὐκόλως ἐνέπεσε καὶ παραχρῆμα, καὶ ἤρκεσέ γε τῆς πεπονθυίας
χειρὸς ἡ κατάτασις ὑπὸ ἡμῶν αὐτῶν γενομένη, καθάπερ ἐπὶ τοῦ
διὰ τῆς πτέρνης τρόπου. Ἄλλοτε δὲ καὶ διὰ βρόχου τὴν κατάτασιν 25
ἐποιησάμεθα· χρὴ δὲ ἰσότονον εἶναι τὸν βρόχον, οἷός ἐστιν ὅ τε
διπλοῦς καρχήσιος, ὅ τε ἐκ δυοῖν διανταίων· ἄλλοτε δὲ κεχρονι-
σμένου τοῦ ἐξαρθρήματος ἐδεήθημεν τοῦ Ἱπποκρατείου βάθρου.

avec lequel il luttait; car c'est surtout à cette manœuvre qu'est dû le dé-
placement du membre en avant. Nous couchâmes donc le malade sur le 23
dos, nous pratiquâmes une double extension semblable à celle qui se fait
avec le talon; nous fîmes asseoir quelqu'un derrière le malade, en passant
une large courroie autour de l'aisselle, après avoir placé préalablement
en dessous, dans le creux de cette région, quelque objet destiné à le rem-
plir; nous-même, ainsi que je le disais tout à l'heure, nous poussâmes
le membre hors de l'atteinte des muscles qui le serraient de tout côté;
ensuite nous relâchâmes l'extension et nous laissâmes aux muscles le
soin, en se rétractant, de l'attirer et de replacer la tête dans la cavité.
Ce membre rentra donc facilement et de suite, et il nous a suffi de tirer 24
en bas le bras luxé comme dans le procédé par le talon. D'autres fois 25
nous fîmes aussi l'extension à l'aide d'un lacs, mais il faut que ce soit
un lacs à tension égale, comme le *câble double* (XLVIII, 10) et le lacs *à
deux cordons d'égale longueur* (conf. XLVIII, 7; Gal. *Us. part.* VII, 14;
t. III, p. 574); une autre fois, la luxation ayant duré longtemps, nous
eûmes besoin du banc d'Hippocrate. (*Articul.* § 72, et Orib. XLIX,
27 sqq.)

Cocchi 141.

ε'. Περὶ τῶν κατὰ ἀγκῶνα.

1 Ἡ τῶν κατὰ ἀγκῶνα διακινημάτων θεραπεία ῥᾴσ7η· χρὴ γὰρ
ἀποτεταμένης ὅλης τῆς χειρὸς, ἀντιτείνεσθαι τῷ πήχει τὸν βρα-
χίονα κατὰ τὸ κοινὸν ἁπάσης ἐμβολῆς, ὅπως ἑτοιμότερον ὑπακούσῃ
2 ταῖς χερσὶν ἡμῶν ἀπωθούσαις τὸ παρηλλαχὸς ἄρθρον. Γνώρισμα
δὲ τοῦ μὴ πᾶν τὸ ἄρθρον ἐκπεπ7ωκέναι τὸ κατὰ χώραν μένειν τὴν
ὄπισθεν κορώνην τοῦ πήχεως· μενούσης γὰρ ταύτης, εἰ καὶ παραλ-
λάτ7οι κατά τι τὸ λοιπὸν τῆς διαρθρώσεως, οὔπω τέλειόν ἐσ7ιν
3 ἐξάρθρημα. Καλεῖται δὲ ὑπὸ Ἱπποκράτους διακινήματα τὰ τοιαῦτα,
καὶ γίνεται τῶν κονδύλων τοῦ βραχίονος εἰς τὴν βαθμῖδα τοῦ πή-
χεως ἐμβαινόντων, ἣν τέως ἡ μέση περιφέρεια κατειλήφει τοῦ κάτω
4 πέρατος τοῦ βραχίονος, ἣν τροχιλιώδη προσαγορεύουσιν. Δῆλον
δὲ ὅτι ῥυσότερον μὲν φαίνεται τὸ χωρίον ὅθεν ἀπεχώρησεν ὁ κόν-

5. DE LA SUBLUXATION DU COUDE.

1 Le traitement des déplacements qui ont lieu au coude est très-facile;
en effet, il faut, d'après la règle commune pour toutes les réductions,
imprimer un mouvement de traction au bras et à l'avant-bras, l'un en
sens inverse de l'autre (*extension* et *contre-extension*), en tenant tout le
membre supérieur étendu le long du corps, afin que le membre dé-
2 placé obéisse plus promptement à l'impulsion de nos mains. On recon-
naît que la luxation n'est pas complète, si l'apophyse postérieure en bec
de corneille (*olécrane*) du cubitus reste en place; car, si cette apophyse
ne bouge pas, la luxation n'est pas encore complète, quoique le reste
3 de l'articulation se déplace quelque peu. Hippocrate (voy. *Fract.* § 40)
appelle ces accidents *déplacements;* ils ont lieu quand les condyles de
l'humérus arrivent sur la cavité du cubitus (*grande cavité sigmoïde*),
cavité qui, jusque-là, avait été occupée par la demi-circonférence de
l'extrémité de l'humérus, et qu'on appelle *apophyse en forme de poulie*
4 (*trochlée*). Il est clair que la région d'où le condyle s'est éloigné offrira
plus de plis que dans l'état normal, tandis que la région opposée présen-

Ch. 5, l. 11. τροχιλλώδη U, et sic sæpius.

δυλος, ὄγκον δὲ ἴσχει τὸ ἐναντίον. Ὅταν οὖν ὁ βραχίων πρὸς τὴν 5
ἔσω χώραν μεταστῇ, τῆς τοῦ πήχεως κοιλότητος ἀποστὰς, εἰκότως
τὸν τοιοῦτον τρόπον τοῦ ὀλισθήματος ὀνομάζουσι σιγμοειδῆ, διότι
τῷ σίγμα στοιχείῳ προσέοικεν. Ὥσπερ οὖν ἀντωθεῖν ἀλλήλοις 6
προσήκει κατὰ τὴν ἐμβολὴν τό τε τοῦ βραχίονος | καὶ τὸ τοῦ πή- 142
χεως ὀστοῦν, ἵνα θᾶττον εἰς τὴν οἰκείαν χώραν ἐπανέλθῃ τὸ γιγγλυ-
μοειδὲς τοῦ βραχίονος, οὕτω καὶ ἡ πρὸς τὴν ἔσω χώραν ἐπιστροφὴ
τοῦ πήχεως οὐ βραχύ τι συντελέσει, στρεφομένης ἤδη τηνικαῦτα
τῆς σιγμοειδοῦς κοιλότητος, ἀπαντώσης τε τῷ πρὸς αὐτὴν ἀγο-
μένῳ πέρατι τοῦ βραχίονος. Οὐ μόνον δὲ ἐπὶ τῆς εἰς τὴν ἔσω χώ- 7
ραν γινομένης παραρθρήσεως ἐπιστρέφεσθαι χρὴ τὸν πῆχυν ὡς
ἐπὶ τὸ πρανὲς, ἀλλὰ κἀπὶ τῆς ἀντικειμένης αὐτῇ τῆς ἐπὶ τὸ ἔξω
μέρος· ἐμβαλλόντων γὰρ ταύτην ἐπιτήδειόν ἐστιν ὑπτίαν πως ἐπι-
στρέφειν τὴν χεῖρα πρὸς τὸ καὶ νῦν ἀπαντῆσαι τὴν σιγμοειδῆ κοι-
λότητα τῇ πρὸς αὐτὴν ἀγομένῃ τροχιλιώδει κυρτότητι τοῦ βραχίο-
νος. Τὸ δὲ μεταστῆναι τὸ κατὰ ἀγκῶνα πέρας τοῦ βραχίονος, ἢ 8

tera une saillie. Lors donc que l'humérus, en s'éloignant de la cavité du 5
cubitus, s'est déplacé en dedans, on appelle à juste titre un pareil mode
de glissement *glissement sigmoïde*, la figure qui en résulte ressemblant à la
lettre sigma (C). Par conséquent, comme il faut, en opérant la réduction, 6
pousser en sens inverse l'un de l'autre l'humérus et le cubitus, afin que
la *trochlée* revienne d'autant plus vite à sa place naturelle, on facilitera
assez notablement ce résultat en tournant le cubitus en dedans; alors,
en effet, la cavité sigmoïde est déjà retournée et vient à la rencontre de
l'extrémité de l'humérus qu'on amène vers lui. Ce n'est pas seulement 7
dans la luxation incomplète qui se fait en dedans, qu'on doit retourner le
cubitus pour le mettre dans la pronation, mais aussi dans la luxation in-
complète opposée à la précédente, c'est-à-dire dans celle qui a lieu en
dehors; car, en réduisant cette luxation, il est convenable de tourner en
quelque sorte le membre supérieur dans la supination, afin que, dans
ce cas aussi, la cavité sigmoïde vienne à la rencontre de la saillie tro-
chléenne qu'on amène vers lui. Le déplacement dans lequel l'extrémité 8

7. ἡ om. U. — 12. τό ante ἔξω om. R. — 15. τροχηλοειδεῖ R. — Ib. κυρτότητι e conj.; κοιλότητι RU. — 16. πέρας] πρός U.

Cocchi 142.

ἔνθα ἢ ἔνθα, καταλιπὼν τὴν βαθμῖδα τοῦ πήχεως, ὀλιγάκις εἴωθε συμβαίνειν, οὐχ ὥσπερ τὰ πρόσθεν εἰρημένα πολλάκις, ἐπὶ ὧν
9 εἴπομεν φυλάτΊεσθαι τὴν ὀπίσω διάρθρωσιν. Ἀλλὰ ἐν οἷς τελέως ὑπερέβη τὸ τοῦ πήχεως ὀσΊοῦν ὁ βραχίων ὡς ἐκ πλαγίων αὐτῷ παρακεῖσθαι κατὰ τὴν ἔξω χώραν, τὴν κατάτασιν οὐ χρὴ ποιεῖσθαι τῆς ὅλης χειρὸς ἐκτεταμένης, ἀλλὰ κατὰ τὸ καλούμενον ἐγγώνιον σχῆμα· δεήσει γὰρ ἐκ τῶν πλαγίων μερῶν παρακείμενον τὸν βραχίονα τῷ πήχει μετεωρίσαι τε καὶ ὑψηλότερον ἐργάσασθαι τῆς κατὰ τὸν πῆχυν βαθμῖδος· ἐκ πλαγίων γὰρ αὐτῇ παρακείμενος
10 οὐκ ἂν ἐμβαίη πρὶν ὑπεραιωρηθῆναι. Τῆς οὖν κατατάσεως ὑμᾶς ἀναμιμνήσκεσθαι χρὴ τῆς γεγραμμένης ἔμπροσθεν, ἡνίκα περὶ τῶν τοῦ βραχίονος ἐδιδάσκομεν ἐξαρθρημάτων· ὅταν γὰρ ἐκ τῆς εἰρημένης ἀντιτάσεως ὁ βραχίων ὑψωθῇ τοσοῦτον ὡς ὑπεραιωρηθῆναι τῆς ὑποδεξομένης αὐτὸν χώρας, ἕτοιμον ἤδη καὶ ῥᾴδιόν ἐσΊι κατασΊῆσαι τὴν διάρθρωσιν ὅλην εἰς τὸ κατὰ φύσιν, ἀπωθουμένην τοῖς θέναρσι

de l'humérus voisine du coude dévie à droite ou à gauche, en quittant la cavité du cubitus, se présente rarement, loin d'être aussi fréquent que les déplacements dont nous venons de parler, et dont nous disions
9 qu'ils laissent la partie postérieure de l'articulation intacte. Seulement, quand l'humérus a complétement passé par-dessus le cubitus, de manière à être placé latéralement au côté extérieur de cet os, on ne tirera pas sur le membre en le tenant dans l'extension, mais en lui donnant la position dite *angulaire;* car il faudra qu'on soulève l'humérus placé latéralement à côté du cubitus, et qu'on lui donne une position plus élevée que la cavité de ce dernier os; en effet, quand l'humérus est placé à côté de cette cavité, il n'y entrera pas, à moins qu'on ne le fasse passer préa-
10 lablement par-dessus ses bords. Nous devons donc vous rappeler la manière de tirer le membre en bas, celle que nous avons décrite plus haut lorsque nous traitions des luxations de l'humérus; en effet, quand, par suite de la double extension dont nous parlions, l'humérus a été soulevé à tel point, qu'on peut le faire passer par-dessus l'endroit destiné à le recevoir, il est dès lors commode et facile de remettre toute l'articulation dans sa position naturelle, en poussant le membre avec la paume

10. ὑμᾶς e conj.; ἡμᾶς RU. — 14. καταντῆσαι U.

τῶν χειρῶν. Ἡ δὲ εἰς τὸ πρόσθεν ἔκπτωσις κατὰ τὰς ἀμέτρους 11
ἐκτάσεις γίνεται, καθάπερ καὶ τὸ ἐναντίον ἐν ταῖς βιαίαις τε καὶ ἀθρόαις κάμψεσιν· ἐκτεινόντων μὲν γὰρ τὴν χεῖρα συμβαίνει τὴν ὀπίσθιον κορώνην ἐν τῇ τοῦ βραχίονος ἑδράζεσθαι κοιλότητι, τῆς προσθίας ἐπὶ πλεῖστον ἀφισταμένης ἀπὸ τῆς οἰκείας ἑαυτῇ βαθμῖδος, ὡς κινδυνεύειν ὀλίγου δεῖν ἔξαρθρον εἶναι κατὰ τοῦτο τὸ μέρος τὸν βραχίονα· πάλιν δὲ αὖ καμπτόντων ὀλίγου δεῖν ἔξαρθρος γίνεται κατὰ τὴν ὀπίσω χώραν ὁ βραχίων, ἔμπαλιν δὲ τηνικαῦτα τὸ πρόσθιον κορωνὸν τοῦ πήχεως ἀσφαλῶς στηρίζεται κατὰ τῆς προσθίας τοῦ βραχίονος βαθμῖδος. Εἰκότως οὖν οὔτε ἐπὶ πλεῖστον 12
ἐκτεινόντων ὑπερβῆναι δύναται πρὸς τὴν ὀπίσω χώραν ὁ βραχίων, ἐγκαταβαινούσης αὐτοῦ τῇ κοιλότητι τῆς ὀπισθίας τοῦ πήχεως κορώνης, οὔτε ἐπὶ πλεῖστον καμπτόντων εἰς τὰ πρόσω παραρθρῆσαι· κωλύει γὰρ κἀνταῦθα τὸ πρόσθιον κορωνὸν τοῦ πήχεως ἐν τῇ προσθίᾳ βαθμῖδι τοῦ βραχίονος στηριζόμενον, ὥστε καὶ ἡ ἐμ-

des deux mains. La luxation en avant a lieu dans les extensions exagé- 11
rées du membre, de même que l'accident contraire se produit dans les flexions violentes et subites; en effet, quand nous mettons le membre supérieur dans l'extension, il arrive que l'olécrane se loge solidement dans la cavité de l'humérus, tandis que l'apophyse antérieure (*a. coronoïde*) s'éloigne notablement de la cavité qui lui est naturellement destinée, de manière que, dans cette région de l'articulation, l'humérus court le danger de se trouver dans une position peu différente de la désarticulation; au contraire, quand nous fléchissons le membre, il s'en faut de peu que l'humérus ne subisse une désarticulation en arrière; mais, dans ce cas-là, l'apophyse antérieure en bec de corneille du cubitus (*a. coronoïde*) est solidement appuyée sur la cavité antérieure de
l'humérus. Lors donc que nous étendons très-fortement le membre, l'hu- 12
mérus ne saurait passer par-dessus le cubitus en arrière, attendu que l'olécrane s'introduit dans la cavité de l'humérus, et il est également clair que, si nous fléchissons très-fortement le membre, il ne peut subir un déplacement en avant; car, dans ce cas, l'apophyse *coronoïde* empêche la luxation, en s'engageant dans la cavité antérieure de l'humérus;

9. *κόρωνον* U; it. l. 14.

Cocchi 142-145.

βολὴ κατὰ τὸν οἰκεῖον τρόπον ἑκατέρα γίνεται τῆς ἐξαρθρήσεως, ἐπειδὰν μὲν ὀλίσθῃ πρόσω τὸ ἄρθρον, ἀθρόως καὶ βιαίως καμπτόντων, ἐπειδὰν δὲ ὀπίσω, βιαίαν καὶ ἀθρόαν ἔκτασιν ποιουμένων.
145 13 | Χρὴ δὲ ἐπὶ τῆς εἰς τὸ πρόσθεν ἐκπτώσεως προσεντιθέναι τι πλάγιον ὀθόνιον σκληρὸν, ὥσπερ τινὰ σφῆνα, συναπώσοντα κατὰ τὴν ἐμβολὴν εἰς τὴν ὀπίσω χώραν τὸ πέρας τοῦ βραχίονος· εὔδηλον γὰρ ὅτι τῷ πρόσω μεταστάντι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον χρὴ γίνεσθαι κατὰ μὲν τὴν αὐτὴν ὁδὸν, οὐ μὴν ὡσαύτως γε, ἀλλὰ ἐναντίως βαδίζοντι· βαδίζοι δὲ ἂν ἐναντίως εἰ κατὰ τὴν ἔκπτωσιν ἀφι-
14 κόμενον πρόσω, νῦν ἐμβαλλόντων, ὀπίσω προέρχοιτο. Τοῦτο οὖν ἔνθα μὲν δυνατόν ἐστιν, αἱ ἡμέτεραι χεῖρες ἐργάζονται, προωθοῦσαι τὸ ἐμβαλούμενον ὀστοῦν· ἔνθα δὲ οὐ δυνατὸν, ἀντὶ τῶν χειρῶν ἄλλο τι μηχάνημα παραλαμβάνεται, καθάπερ ἡ πλαγία νῦν ὀθόνη· τῶν γὰρ ἡμετέρων χειρῶν οὐ δυναμένων ἐν τῷ κάμπτειν διωθεῖν ὀπίσω τὸν βραχίονα, διότι τὴν καμπὴν ἂν αὐτὴν κωλύσαιμεν γενέσθαι,

ainsi donc la réduction de ces deux espèces de luxations se fait d'une manière spéciale pour chacune d'elles : elle s'obtient, lorsque le membre a glissé en avant, par une flexion soudaine et violente, et, quand il a glissé
13 en arrière, par une extension violente et subite. Dans la luxation en avant, on doit, en outre, introduire obliquement, en guise de coin, [dans le pli du coude,] un linge dur qui nous aidera à pousser, pendant la réduction, l'extrémité de l'humérus en arrière ; car il est évident que l'humérus s'étant déplacé en avant, son retour dans sa place naturelle devra se faire par la même voie ; seulement il ne marchera pas dans la même direction, mais en sens inverse ; or il marchera en sens inverse si, étant arrivé au moment de la luxation dans la région antérieure, il s'a-
14 chemine en arrière, quand nous faisons la réduction. Nous opérons, s'il est possible, cette réduction avec nos mains, qui pousseront l'os qu'il s'agit de réduire en avant ; mais, quand cela ne se peut pas, on a imaginé d'employer quelque autre objet, par exemple, dans le cas actuel, le linge obliquement placé ; en effet, comme nos mains ne sauraient, pendant la flexion, pousser l'humérus en arrière, parce que nous aurions fait obs-

7. προσώπῳ U. — 10. προσώπῳ R. — Ib. ἐμβαλόντων R. — 12. ἐμβαλλόμενον U. — 14. ὠθεῖν R. — 15. ἐκωλύσαμεν RU.

μέσων αὐτῶν ἐγκειμένων τοῦ βραχίονος καὶ τοῦ πήχεως, ἡ διὰ τῆς ὀθόνης ἐπενοήθη μόχλευσίς τε καὶ ἄπωσις· ὥστε δῆλον ὅτι κρατεῖσθαι δεῖ κατὰ τὴν καμπὴν αὐτὴν ἐξ ἑκατέρων τῶν μερῶν ὑπό τινος ἐν τῷ κάμπτειν ἀθρόως τε καὶ βιαίως τὴν χεῖρα τὸν καταρτιζόμενον, ἵνα ἀσφαλῶς ἐστηριγμένη κατὰ τοὺς κονδύλους τοῦ βραχίονος ὠθεῖν αὐτὸν εἰς τὴν ὀπίσω χώραν δύνηται. Καὶ οὐ μόνον γε τῆς 15
ὀθόνης κρατεῖν τὰ πέρατα κελεύω κατὰ ἑκάτερον μέρος, ἀλλὰ καὶ πρὸς τὴν ὀπίσω χώραν ὅτι μάλιστα συνεπωθεῖν ἐν τῷ κάμπτειν τὴν χεῖρα τὸν κάμνοντα. Κατὰ μὲν οὖν ταύτην τὴν ἐμβολὴν ἀδύνα- 16
τον τοῖς θέναρσι τῆς ἡμετέρας χειρὸς χρώμενον ὠθεῖν ὀπίσω τὴν κεφαλὴν τοῦ βραχίονος· οὐ γὰρ οἷόν τε κάμπτειν τε ἅμα κελεύειν τὸν κάμνοντα τὴν κατὰ ἀγκῶνα διάρθρωσιν, αὐτόν τε μέσην ἐνθεῖναι τῇ καμπῇ τὴν χεῖρα· κατὰ δὲ τὴν ἐκτεταμένης τῆς διαρθρώσεως γινομένην οὐκ ἀδύνατόν ἐστι διὰ τῆς ἡμετέρας χειρὸς ὠθεῖν ὀπίσω τὸν βραχίονα μετὰ τοῦ καὶ τὸν πῆχυν ἀπωθεῖν εἰς τὸ

tacle à la flexion elle-même, si nos mains étaient placées entre le bras et l'avant-bras, on a eu recours au linge pour soulever à l'instar d'un levier et pousser devant lui; ainsi il est évident que ce linge doit être retenu des deux côtés par un aide dans le pli même du coude, pendant que le patient fléchit soudainement et violemment le membre, de sorte que le linge, étant solidement appuyé sur les condyles de l'humérus, repousse cet os en arrière. Nous ne nous bornons pas seulement à faire retenir 15
les extrémités du linge des deux côtés, mais nous recommandons aussi au malade de le pousser, autant que possible, en arrière, au moment où il fléchit le membre supérieur. Dans ce procédé de réduction, il est donc 16
impossible que nous employions la paume de nos deux mains pour pousser en arrière la tête de l'humérus; car on ne peut pas placer soi-même la main au milieu du pli du coude au même instant qu'on ordonne au malade de fléchir cette articulation; mais, quand on réduit pendant que l'articulation est dans l'extension, il n'est pas impossible d'employer une de nos mains pour pousser l'humérus en arrière au même

1. μέσον R. — 3. κάμπην U; it l. 13. — 5. σΊηριγμένη R. — 13. ἐκτεταμένης ex em.; ἐκτεταμένην R; ἐντεταμένην U. — 14. γιγνομένης U.

Cocchi 145.

πρόσω τῇ ἑτέρᾳ χειρὶ, κατὰ τὸν ἀγκῶνα τὴν ἐμβολὴν ποιούμενον.

ϛʹ. Περὶ διαστάσεως κερκίδος.

1 Ὅταν ἡ κερκὶς κατὰ τὴν σύμφυσιν ἀποχωρήσῃ τοῦ ἑτέρου ὀστοῦ,
πλατύτερον τοσούτῳ φαίνεται τὸ χωρίον ἅπαν, ὅσῳ διέστη ταῦτα·
σωζομένης δὲ ἀβλαβοῦς τῆς τοῦ βραχίονος πρὸς τὸν πῆχυν διαρ-
θρώσεως, ἐκτείνειν καὶ κάμπτειν δύνανται, κἂν τελέως ἐνήργουν
ἑκάτεροι, ὅσον ἐπὶ τῷ τῆς διαρθρώσεως ἀβλαβεῖ, εἴπερ μηδὲν οἱ
μῦς ἐπεπόνθεισαν· νυνὶ δὲ καὶ τούτους ἀνάγκη συνεκτείνεσθαι
2 τοσοῦτον, ὅσον ἀλλήλων ἀφίσταται τὰ ὀστέα. Διὰ τὴν τούτων οὖν
παρὰ φύσιν ἔκτασιν ὀδυνώμενοι τὰς κατὰ ἔκτασιν καὶ κάμψιν ἐνερ-
3 γείας οὐχ ὁμοίως ἐπιτελοῦσιν. Φανήσεταί δέ σοι σαφῶς ἡ διάστα-
4 σις ψαύοντι κατὰ τὴν ἔνδον χώραν τοῦ ἀγκῶνος. Εἰς μὲν οὖν τὴν
σύμφυσιν ἄγειν τὰ διασπασθέντα τῶν ὀστῶν ἀδύνατον, εἰς δὲ τὴν

instant que, de l'autre, nous poussons le cubitus en avant, en faisant la réduction du coude.

6. DE L'ÉCARTEMENT DU RADIUS.

1 Lorsque le radius s'est écarté du cubitus là où les deux os sont arti-
culés, toute la région présentera un élargissement proportionnel au de-
gré de l'écartement, et, quand l'articulation de l'humérus avec le cubitus
est restée intacte, les malades peuvent étendre et fléchir le membre, et
même la fonction de ces deux os ne serait nullement compromise, eu
égard à l'intégrité de l'articulation, si les muscles n'avaient subi aucune
lésion; mais, dans le cas actuel, ces organes s'allongent inévitablement
2 en proportion de l'écartement mutuel des os. Éprouvant donc de la dou-
leur par suite de l'allongement contre nature des muscles, les malades
ne peuvent plus accomplir, aussi bien qu'avant l'accident, l'extension et
3 la flexion. Vous constaterez manifestement l'écartement, si vous explorez
4 avec le doigt la face antérieure du coude. Il est impossible de rétablir
une adhérence entre les os arrachés l'un de l'autre, mais ils reviennent

Ch. 6, l. 5. προς τῆς τόν R.

ἐξ ἀρχῆς Θέσιν, εἰ πάνυ βιάσαιο κατὰ τὴν ἐπίδεσιν, ἔσῖιν ὅτε παραγίνεται. Χρὴ δὲ τὴν ἐπίδεσιν ἐπὶ τῶν τοιούτων παθημάτων 5 *γίνεσθαι καταγματικὴν, καταλαμβανόντων ἡμῶν ἔξωθεν μὲν τὸν ἀγκῶνα, κατὰ δὲ τὴν ἔνδον χώραν τὴν καμπὴν αὐτῆς τῆς διαρθρώσεως· διὸ καὶ δυσκίνητα γίνεται πολλάκις ἐξ αὐτοῦ τοῦ τρόπου τῆς ἐπιδέσεως τὰ κατὰ τὸν ἀγκῶνα μόρια, καὶ πάσχει πάθημα τὴν καλουμένην | ἀγκύλην, ἐὰν μή τις αὐτὰ καταντλήσει τε συνεχεῖ τῇ διὰ* 146 *ἐλαίου καὶ ὕδατος μαλάτῖῃ καὶ μετὰ τὸ παρελθεῖν τὸν χρόνον τῆς φλεγμονῆς διακινῇ συνεχῶς, ἔν τε ταῖς καταντλήσεσι καὶ ταῖς δεξαμεναῖς, ὅταν ὁ κάμνων λούηται.*

ζ'. Περὶ τῶν κατὰ ἰσχίον.

Εἰ *δὲ ἡ κεφαλὴ τοῦ μηροῦ τῆς οἰκείας μετασῖᾶσα χώρας ἐν τοῖς* 1 *ἔξω μέρεσι τῆς διαρθρώσεως ἐν σαρκὶ σῖηρίζεται, κατὰ ἀρχὰς μὲν οἱ οὕτω παθόντες ὀδυνῶνται τὴν Θλιβομένην ὑπὸ αὐτῆς σάρκα, τῷ*

quelquefois à leur position primitive, si on applique un bandage très-serré. Or le bandage doit être appliqué d'après la même méthode que 5 dans les fractures; nous devons y comprendre le coude en arrière, et, en avant, le champ de flexion de l'articulation; c'est aussi pour cette raison que ce procédé de déligation compromet souvent le mouvement du coude, et qu'il en résulte l'affection dite *ankylose*, à moins qu'on n'assouplisse l'articulation par de continuelles affusions d'huile et d'eau, et que, la période d'inflammation une fois passée, on ne lui imprime constamment des mouvements de va-et-vient, soit pendant les affusions, soit dans la piscine, quand le malade prend un bain.

7. DE LA LUXATION DE LA HANCHE.

Si la tête du fémur, quittant sa place naturelle, s'est logée à la partie 1 extérieure de l'articulation dans les chairs, on éprouve, au début, de la douleur dans la chair comprimée par cette protubérance osseuse; mais, par l'effet du temps, cette chair devient calleuse comme les mains

1. *βιάσαιτο* U.

Cocchi 146.
χρόνῳ δὲ τυλοῦται καθάπερ τῶν σκαπτόντων ἢ ἐρεσσόντων αἱ χεῖρες.
2 Ὅταν δὲ τοῦτο γένηται, παραπλήσιόν τι διαρθρώσει παρασκευάζε-
ται, χρωμένου τοῦ μηροῦ τῇ γεγενημένῃ τρίβῳ, καθάπερ ἔμπροσθεν
ἐχρῆτο τῇ κοτύλῃ τοῦ ἰσχίου· τά τε γὰρ ἄλλα καὶ ὑγρότης τις αὐτῇ
προσγίνεται, κατὰ ἀρχὰς μὲν διὰ τὴν φλεγμονὴν ἀθροιζομένη
πλείων, ἐν δὲ τῷ χρόνῳ τοῦ λεπτοτέρου τε καὶ ὑδατώδους ἐν αὐτῇ
διατμισθέντος ὑπὸ τῶν ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, καταλειπο-
μένου δὲ τοῦ γλίσχρου τε καὶ μυξώδους, καὶ διὰ ταύτην οὖν τὴν
3 ὑγρότητα καθάπερ ἄρθρῳ χρῶνται τῇ τρίβῳ. Εἰ μὲν οὖν ἀποῤῥα-
γέντος τοῦ συνδέσμου τὸν μηρὸν ἐκπεσεῖν συμβαίη, κἂν ἐμβληθῇ
παραχρῆμα, μεῖναι κατὰ χώραν οὐ δυνήσεται· κατάντους γὰρ οὔσης
τῆς κοτύλης καὶ μεγάλου βάρους αὐτῆς ἐκκρεμαμένου τοῦ παντὸς
σκέλους, ἑτοίμως αὖθις ὁ μηρὸς ἐκσΊήσεται τῆς οἰκείας χώρας, εἴ
τις βαδίζειν ἐγχειρήσαι βραχὺ θᾶτΊον, ἢ ὑπερβῆναί τι τῶν ἐν ποσὶν,

2 des gens qui manient la rame ou la bêche. Dans ce cas, il se forme quel-
que chose de semblable à une articulation mobile (*fausse articulation*),
attendu que le fémur se sert de la cavité qu'il s'est creusée, comme
auparavant du cotyle de l'ischion : en effet, sans parler des autres cir-
constances, il y arrive aussi un certain liquide qui s'accumule d'abord
en assez grande quantité à cause de l'inflammation; mais, à la longue,
la partie aqueuse et la plus ténue s'évapore par l'action des médicaments
placés à l'extérieur, et il n'en reste plus alors que la partie visqueuse
et semblable au mucus; c'est donc en raison de ce liquide que la cavité
3 accidentelle remplit les mêmes usages qu'une articulation. S'il arrive
que le fémur se désarticule avec arrachement du ligament (*lig. rond*),
il ne pourra pas rester en place, quand même on l'aurait réduit immé-
diatement; en effet, comme le cotyle est déclive, et que tout le membre
inférieur, qui est d'un poids considérable, y est suspendu, le fémur s'é-
chappera de nouveau promptement dès qu'on s'efforcera de marcher un
peu plus vite que de coutume, ou de passer par-dessus le moindre obs-
tacle; si, au contraire, on ne faisait avec le membre que des mouvements

1. ἢ ἐρεσσόντων om. U Gal. — 8. δέ] τε Gal.; om. U. — Ib. μυξώδους πρὸς τὴν κίνησιν τῆς κεφαλῆς τοῦ μηροῦ καί U. Cf. Gal. — 10. δεσμοῦ U. — 14. βαδίζειν ex em.; ἐν τῷ βαδίζειν RU Gal.

Cocchi 146.

ὡς εἴ γέ τις ὀλίγην αὐτοῦ ποιοῖτο κίνησιν ἐπὶ ὁμαλοῦ ἐδάφους, ἀεὶ
δύναιτο ἂν οὕτω μόνως φυλάξαι τὴν κατὰ φύσιν θέσιν. Οὕτω μὲν 4
οὖν ἡ φύσις τοῦ πράγματος ἡμᾶς διδάσκει μὴ δύνασθαι μεῖναι κατὰ χώραν τὸν μηρὸν ἐμβληθέντα, τοῦ συνδέσμου διασπασθέντος· καὶ γὰρ αὖ κἀκεῖνο προσθεὶς ἄν τις ἀληθεύοι· τῇ μὲν κατὰ γόνυ διαρθρώσει σύνδεσμοί τινες ἔξωθέν εἰσι νευρώδεις, τῷ μηρῷ δὲ μόνος εἷς οὗτος, οὐδενὸς ἔξωθεν ἄλλου τοιούτου σφίγγοντος τὴν διάρθρωσιν, ὅτι μὴ τῶν μυῶν· οὐ γὰρ οὖν οὐδὲ παρὰ τούτων ὀλίγη τίς ἐστι βοήθεια πρὸς τὸ μὴ ῥᾳδίως ἐκπίπτειν τὰ ἄρθρα, καὶ μάλιστα ὅταν ὦσιν εὐτραφεῖς τε καὶ σύντονοι, καθάπερ εἰσὶ τοῖς γυμναστικοῖς, οἷς καίτοι σφοδροτάτας ἴσχουσι κατὰ τὰ παλαίσματα πληγάς τε καὶ πτώσεις καὶ τάσεις καὶ περιστροφὰς τῶν ἄρθρων οὐκ ἐκπίπτει τὰ κῶλα, διὰ τὸ πάντοθεν ἰσχυροῖς καὶ μεγάλοις σφίγγεσθαι μυσίν.
Διαρραγέντος οὖν τοῦ κατὰ τὸν μηρὸν συνδέσμου, μένειν οὐχ οἷόν 5
τε τῷ ἄρθρῳ κατὰ χώραν κἂν ἐμβληθῇ, καὶ μάλιστα ἐπὶ τῶν ἰσ-

peu considérables sur un sol uni, il pourrait, à cette condition seule,
rester toujours dans sa place naturelle. Voilà donc ce que nous enseigne 4
la nature des choses, à savoir que le fémur ne saurait rester en place après la réduction, si le ligament a été déchiré; et l'on ne s'écarterait pas de la vérité, si on y ajoutait que l'articulation du genou est pourvue, à l'extérieur, de ligaments nerveux, tandis que le fémur n'a qu'un seul ligament, sans qu'aucune autre partie semblable serre l'articulation à l'extérieur, si ce n'est les muscles; or le concours de ces organes pour empêcher les articulations de se luxer trop promptement est assez puissant, surtout quand ils sont bien nourris et vigoureux, comme c'est le cas chez les athlètes; en effet, chez les athlètes, bien que, pendant les manœuvres de la lutte, leurs articulations soient en butte aux coups, aux chutes, aux tensions et aux distorsions les plus violentes, les membres ne se désarticulent pas, parce qu'ils sont serrés de tous les côtés par des
muscles robustes et volumineux. Si donc le ligament du fémur est dé- 5
chiré, le membre ne saurait rester en place, même quand il a été réduit, et surtout chez les gens maigres; mais, quand la distension du ligament

11. *τά* om. U.

χνῶν· εἰ δὲ ὁ σύνδεσμος ἐπιτρέψειεν ἐκπεσεῖν τῷ μηρῷ, κἄπειτα ἐμβληθείη, μενούσης μὲν τῆς ὑγρότητος, αὖθις ὡσαύτως ἐκπεσεῖται·
6 ξηρανθείσης δὲ τὴν κατὰ φύσιν ἀσφάλειαν ἀπολήψεται. Προσήκει δὲ μέχρι πολλοῦ ξηραίνουσι φαρμάκοις περιλαμβάνειν τὴν διάρθρωσιν, ἄχρι ἂν αὐτάρκως ξηρανθῇ τὸ συνδετικὸν νεῦρον.

149 | η'. Περὶ τῆς πρὸς τὸν πόδα διαρθρώσεως τῆς κνήμης.

1 Ὅταν τῆς πρὸς τὸν πόδα διαρθρώσεως τὸ τῆς κνήμης ὀσΊοῦν ἐξαρθρήσῃ γυμνωθὲν, ἀφίσΊασθαι δεῖ τῆς ἐμβολῆς διὰ τὸν ἐπιγινόμενον σπασμὸν, καὶ μᾶλλον αἱρεῖσθαι χωλὸν ἐᾷν αὐτό· συμβαίνει γὰρ κατὰ τὰς τοιαύτας διαθέσεις τὸ μέν τι διασπᾶσθαι τῶν μυῶν,
2 τὸ δὲ συνέχεσθαί τε καὶ διασώζειν τὴν ἕνωσιν. Ἀνασπασθέντων οὖν αὐτῶν ἐπὶ τὴν ἀρχὴν, ἔλατΊον γίνεται τὸ κῶλον ὅλον, ἀκολουθοῦν
3 τε καὶ συνανασπώμενον τοῖς μυσίν. Ἐὰν δή τις κατατείνας ἐμβάλῃ τὸ ἐξέχον ὀσΊοῦν, ἅμα μὲν ἡ κατάτασις αὕτη βλάβην οὐ μικρὰν

a permis au fémur de se luxer, et si cet os a ensuite été réduit, la luxation se reproduira de nouveau de la même manière, si l'articulation reste humide; si, au contraire, le liquide est desséché, l'articulation
6 reprendra sa solidité naturelle. Il convient d'entourer l'articulation, pendant longtemps, de médicaments desséchants, jusqu'à ce que le nerf ligamentaire (*ligament rond*] soit suffisamment desséché.

8. DE LA LUXATION DE LA JAMBE SUR LE PIED.

1 Quand le tibia s'est dénudé et s'est luxé sur le pied, on doit renoncer à la réduction, à cause des convulsions qui surviendraient; mieux vaut laisser le malade estropié; en effet il arrive, dans ce cas, qu'une partie des muscles se déchire, tandis qu'une autre partie reste cohérente
2 et conserve sa continuité. Comme les muscles se rétractent vers leurs points d'insertion, le membre tout entier devient plus court, attendu
3 qu'il suit ce mouvement et qu'il est tiré en haut avec les muscles. Si on réduit le tibia qui fait saillie en pratiquant l'extension, cette traction causera un dommage assez considérable aux muscles, en même temps

Ch. 8, l. 8. καὶ..... αὐτό om. Gal. — καὶ σώζειν Gal. — Ib. οὖν om. U. — 9. τοιαύτας om. U. — 10. συνέρχεσθαι 12. δή] δέ RU.

ἐργάσεται τοῖς μυσὶν, ἅμα δὲ καὶ τὸ μῆκος τοῦ κώλου συναποτεῖνον αὐτοὺς ὀδυνήσει σφοδρῶς, καὶ κατὰ τοῦτο μεγάλων μὲν ὄντων τῶν μυῶν, ἐξ ἀνάγκης ἀκολουθήσει σπασμός· εἰ δὲ μικροὶ τύχοιεν ὄντες, οἷοι κατὰ τοὺς δακτύλους εἰσὶν, οὐδὲ οὕτω μὲν ἀκίνδυνον ἔσΊαι, σὺν ἀκριβείᾳ δὲ πολλῇ τῆς ὅλης θεραπείας οἱ πολλοὶ τῶν τοιούτων διασώζονται.

θ'. Περὶ τῶν κατὰ τὴν πΊέρναν.

ΔιίσΊαται πολλάκις πηδησάντων τινῶν ἰσχυρότερον τὰ κατὰ 1
τὴν πΊέρναν ὀσΊᾶ, δηλονότι τῶν συμφυόντων αὐτὰ συνδέσμων ἀποῤῥηγνυμένων, ἐπὶ ὧν κίνδυνός ἐσΊιν ὀδύνας τε μεγάλας ἀκολουθῆσαι καὶ φλεγμονὴν οὐ σμικράν· ὀσΊώδη τε γὰρ τὰ χωρία, καὶ οὐδὲ ἐκ τῶν ἐπιτυχόντων ὀσΊῶν, ἀλλὰ ἐκ πάνυ σκληρῶν συνηρθρωμένα, ὥσΊε κἂν βραχεῖά που γένηται φλεγμονὴ, μεγάλας ὀδύνας ἕπεσθαι διὰ τὴν θλῖψιν, ὅ τε ἐμφυόμενος τῇ πΊέρνῃ τένων,

que l'allongement du membre, en les forçant de s'allonger aussi, sera pour eux une cause de douleur très-forte; or, comme les muscles sont volumineux dans cette région, il surviendra inévitablement des convulsions; si, au contraire, les muscles étaient petits, comme le sont ceux des doigts, la chose ne serait pas sans danger, même dans ce cas-là; toutefois, si on règle tous les détails du traitement avec une grande exactitude, les malades survivent pour la plupart.

9. DE LA LUXATION DES OS DU TALON.

Il arrive souvent, chez certaines gens qui font des sauts vigoureux, 1
que les os voisins du talon s'écartent l'un de l'autre, bien entendu quand les ligaments qui les tiennent réunis sont rompus; alors il y a danger qu'il ne survienne des douleurs graves et une inflammation assez considérable, car cette région est osseuse; même elle n'est pas composée d'os ordinaires, mais d'os extrêmement durs réunis par des articulations immobiles, de sorte que, s'il existe quelque part une inflammation, même légère, elle causera de vives douleurs, à cause de la compression; de plus, le tendon qui s'implante sur le talon, étant d'un volume remar-

1. ἐργάζεται RU. — Ch. 9, l. 11. σκληρῶν] μικρῶν Gal.

Cocchi 149.

ἀξιόλογος ὢν τὸ μέγεθος, εἰ φλεγμήνειε, κίνδυνον ἕξει σπασμῶν.
2 Καὶ μὴν καὶ νεῦρα κατὰ τὸ μόριον τοῦτο μεγάλα τέτακται, ψαύοντα
3 τῶν ὀστῶν. Τά τε οὖν ἄλλα τῆς θεραπείας ἁπάσης ἠκριβῶσθαι χρή, κατά τε τὴν τῆς διαίτης λεπτότητα καὶ τὸ πλῆθος τοῦ καταντλουμένου θερμοῦ, καὶ μέντοι καὶ τὸ δέρμα τὸ κάτω τοῦ ποδὸς ὃ προσαγορεύουσιν ἴχνος, ἀμύσσειν χρὴ συμμέτρως, ὅρον τοῦ βάθους τῆς τομῆς ποιούμενον τὴν σκληρότητα· τυλοῦται γὰρ ἐπὶ ἐνίων ὡς μηδὲ βραχὺ προχεῖν αἵματος, εἰ μὴ μέχρι βάθους ἱκανοῦ καθείη τις τὴν
4 σμίλην. Αὐτὸ δὴ οὖν τοῦτο μόνον αὐτοῦ προσήκει τέμνειν τὸ μέρος, ὅσον οὔπω προχεῖ τοῦ αἵματος, ἐκείνου δὲ φείδεσθαι κατὰ ὃ τεμνόμενον εὐθέως αἱμάσσεται· καὶ γὰρ καὶ ὀδυνᾶται τεμνόμενον ἐκεῖνο·
5 τέμνειν δὲ οὐχ ἁπλῶς, ἀλλὰ ὁμαλῶς τὸ σκληρὸν τοῦ δέρματος. Ἔχοις δὲ ἂν τρεῖς σκοποὺς τοῦ τέμνειν ὁμαλῶς, ἕνα μὲν τὸ μῆκος τῆς τομῆς, ἕτερον δὲ τὸ βάθος, καὶ τρίτον τὸ μεταξὺ διάστημα· χρὴ γὰρ ἴσας

2 quable, exposera, s'il s'enflamme, le patient à des convulsions. En outre, des nerfs considérables qui touchent aux os sont placés sur cette partie.
3 Il faudra donc régler rigoureusement non-seulement les détails du traitement tout entier, en ce qui regarde la ténuité du régime et la quantité de l'eau chaude servant aux affusions, mais il faudra encore faire des scarifications modérées sur la peau de la surface inférieure du pied, peau qu'on appelle *plante*, en prenant pour limite de la profondeur des incisions la dureté des tissus; car, chez quelques malades, cette peau devient calleuse de manière à ne pas produire le moindre écoulement de sang, à moins qu'on n'enfonce le couteau jusqu'à une profondeur suffisante.
4 Il convient donc de se borner à diviser la partie même de la peau qui ne produit pas encore d'écoulement de sang; cela fait, on épargnera les tissus qui donnent du sang aussitôt qu'ils sont atteints; car la section de ces tissus provoque aussi des douleurs; puis on ne coupera pas au
5 hasard, mais d'une manière égale, la partie calleuse. Vous aurez égard à trois points de vue par rapport à l'égalité des incisions : leur longueur, leur profondeur et les intervalles à laisser entre elles; car les scarifications doivent être égales entre elles, eu égard à la longueur, à la profon-

2. τό om. U. — Ib. τέτακται] τε καί R. — 5. τὸ κάτω om. U.

τῷ μήκει καὶ βάθει τὰς τομὰς ἀλλήλαις τέμνειν, ἴσον τε διεστηκυίας,
ὅπως ἅπαν ὁμοίως τὸ ἴχνος ἀλύπως ἐπεκτείνηται κατὰ τὸν τῆς
φλεγμονῆς καιρόν. Σχάζειν δὲ ἀναγκαζόμεθα τὸ δέρμα, τοῦτο μὲν 6
κενοῦντές τι τῆς περιουσίας τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος, τοῦτο
δὲ καὶ διαπνοὰς ἐργαζόμενοι, καὶ προσέτι τὴν τάσιν ἐκλύοντες τῆς
φλεγμονῆς ἧς ἔσχεν. | Τέμνειν μὲν οὖν ὡς εἴρηται τὸ ἴχνος, ἑξῆς 150 7
δὲ λεπτύνειν· γένοιτο δὲ ἂν τοῦτο τῆς μὲν σκληρότητος μαλαττομένης, τοῦ δὲ πάχους καθαιρομένου· γενήσεται δὲ ἄμφω ταῦτα καταντλούντων ἔλαιόν τε καὶ ὕδωρ θερμὸν οὐκ ὀλίγον, εἶτα ἐπὶ τῇ καταντλήσει πρὸ τῶν ἐπιδέσμων ὑπαλειφόντων ἔλαιον μηδεμίαν
ἔχον στύψιν. Ἐπιδεῖν δὲ προσήκει καὶ ἐπὶ τούτων τῷ καταγμα- 8
τικῷ τρόπῳ· μόνος γὰρ ἐκεῖνος, ὡς πρόσθεν ἔφαμεν, διωθεῖ τὸ αἷμα πρὸς τὰ πλησιάζοντα χωρία, τῆς συνήθους πολλοῖς ἐκ τῶν ἄλλων
μερῶν τοῦ ποδὸς ἐπὶ τὴν πτέρναν ἐκθλιβούσης τὸ αἷμα. Πρώτην 9

deur et à la distance, afin que la plante du pied tout entière puisse, à l'époque de l'inflammation, s'allonger d'une manière uniforme et sans
causer de douleur. Nous sommes forcés de scarifier, d'abord pour éva- 6
cuer une partie du sang qui surabonde dans la partie enflammée, ensuite pour préparer des voies à la circulation de l'air, et, en outre, pour affaiblir
la tension propre à l'inflammation. On fera donc des incisions à la plante 7
des pieds de la manière que je viens de décrire; après cela on amincira la partie calleuse; on arrivera à ce résultat, si on ramollit et si on déterge cette partie : pour cela on pratique des affusions assez abondantes d'huile et d'eau chaude, et ensuite, après l'affusion, mais avant de recourir aux bandages, on fait des onctions avec une espèce d'huile entièrement dé-
pourvue d'astringence. Chez ces malades il faut également appliquer 8
un bandage de l'espèce qu'on emploie pour les fractures; car, ainsi que nous le disions plus haut (XLVI, 1, p. 110, 122 suiv.), ce bandage est le seul qui pousse le sang vers les parties voisines; au contraire, l'appareil que beaucoup de médecins ont l'habitude d'appliquer dans ce cas
exprime le sang des autres parties du pied vers le talon. Nous commen- 9

1. βάθει] πλάτει Gal. — 3. τοῦτο μὲν οὖν U. — 8. πλήθους Gal. — 12. διωθεῖται R Gal. — 14-p. 239, l. 1. Πρώτην... καί om. Gal.

Cocchi 150.

οὖν τὴν πτέρναν ἐπιδήσομεν, καὶ τὰς πλείστας ἐπιβολὰς τῶν ὀθο-
10 νίων κατὰ αὐτὴν ποιησόμεθα. Δεῖ δὲ μὴ ἰσχυρῶς πιέζειν τοῖς ἐπι-
δέσμοις, ἀλλὰ πολλοῖς τοῖς ὀθονίοις χρῆσθαι· τὴν γὰρ ἀσφάλειαν
11 τῆς ἐπιδέσεως ἢ τῇ πιέσει ποιητέον, ἢ τῷ πλήθει τῶν ὀθονίων. Ἐπὶ
ὧν οὖν δεδοίκαμεν μὴ βραχὺ μᾶλλον ἐρεισάντων γένηται συμπάθεια τῆς τῶν νεύρων ἀρχῆς, ἐπὶ τούτων ἄμεινον τῷ πλήθει τῶν ὀθονίων ἐργάζεσθαι τὴν ἀσφάλειαν, οὐ τῷ τῆς πιέσεως ἰσχυρῷ.

ι'. Περὶ τῶν ἐν ἄκροις τοῖς κώλοις κινηθέντων ὀστῶν.

1 Ἐν ἄκροις τοῖς κώλοις ὀστοῦν κινεῖται τῶν συναπτόντων αὐτὰ πρὸς τὰ πλησιάζοντα συνδέσμων ἀπορρηγνυμένων, ἀλλὰ οὔτε πάντες οἱ περιέχοντες ἐν κύκλῳ σύνδεσμοι τὸ κινηθὲν ὀστοῦν ἀπορρήγνυνται· σπάνιον γὰρ ἱκανῶς τὸ τοιοῦτον· εἰ δέ ποτε καὶ γένοιτο, καταλιπὸν ἅπασαν τὴν αὐτοῦ χώραν τὸ βλαβὲν, οὕτως ἀναπηδᾷ πρὸς τὸ δέρμα, καὶ μάλιστα οἷς ἐστι χαλαρὸν, ὡς τό γε σύντονον ἀνθίστα-

cerons donc l'application du bandage sur le talon, et nous ferons passer
10 la plus grande partie des tours de bande sur cette région même. Cependant on ne serrera pas fortement avec les bandes, mais on emploiera une grande quantité de linges; car la solidité de la déligation tient soit à la
11 pression, soit au grand nombre de bandes. Par conséquent, chez les malades où nous craignons qu'il n'y ait quelque affection consécutive de l'origine des nerfs, si nous appuyons un peu trop fort, il vaut mieux arriver à la solidité de la déligation par le grand nombre de linges, et non par la vigueur de la compression.

10. DU DÉPLACEMENT DES OS DE L'EXTRÉMITÉ DES MEMBRES.

1 A l'extrémité des membres un os se déplace quand les ligaments qui le rattachent aux parties voisines sont rompus; mais les ligaments qui enveloppent l'os déplacé ne sont pas tous arrachés [à la fois]; un pareil accident est assez rare, et même, s'il arrive, l'os lésé, après avoir quitté entièrement sa place naturelle, repousse vivement la peau, surtout aux parties où elle est lâche; car, si cette membrane est tendue, elle s'op-

2. ἐπιβαλόμεθα U. — 2-3. τοῖς δε-σμοῖς U; om. Gal. — 6. ἐπὶ... ὀθονίων om. Gal. — CH. 10, l. 10. τοῦ κινηθέντος ὀστοῦ U. — 11. εἰ... γένοιτο om. Gal.

Cocchi 150.

ται τῇ πρὸς ἑαυτὸ φορᾷ τοῦ κινηθέντος ὀστοῦ. Διὰ τοῦτο γοῦν οὐδὲ 2
εἰς τὸ κάτω τοῦ ποδὸς εἴωθε τὰ πολλὰ τὸ κινηθὲν ὀστοῦν ἐξίσχειν,
ὅτι σκληρὸν καὶ παχὺ τὸ δέρμα τὸ καλούμενον ἴχνος, ἀλλὰ καὶ
διότι τὰ πλήττοντα τοὐπίπαν ἐκ τῶν ἄνω μερῶν ἐμπίπτει τῷ ποδί.
Μόνως οὖν οὕτως εἰς τὸ κάτω μέρος ἐκστήσεται τὸ κινηθὲν ὀστοῦν, 3
ὅταν ἀπὸ ὑψηλοῦ τινος ὁ ἄνθρωπος ἐπὶ λίθον τραχὺν ἐξοχὰς ὀξείας
ἔχοντα καταπηδῶν ἐρείσηται. Τὰ μὲν οὖν πάντοθεν ἀπολυθέντα καὶ 4
τελέως ἐκστάντα τῆς ἑαυτῶν χώρας, εἴτε κάτω τοῦ ποδὸς, εἴτε ἄνω
χωρήσειε, χαλεπώτατόν ἐστιν εἰς τὴν οἰκείαν ἐμβάλλειν χώραν· εἰ
δὲ ἄρα καὶ σπανίως εὐτυχηθείη τινὶ τὸ ἔργον, ἀλλὰ τὸ φυλάξαι γε
τὴν χώραν ἀεὶ χαλεπόν· ἔνθα γὰρ ἂν ὀστοῦν σφοδρότερον κινηθῇ,
πάλιν ἐκστήσεται, τοὺς κρατοῦντας αὐτὸ συνδέσμους οὐκ ἔχον· ἐκ
μέρους δὲ ἀπολελυμένον, κατὰ ἅπερ ἂν ἀποῤῥαγῶσιν οἱ σύνδεσμοι,
προκύπτειν εἴωθεν. Δεῖ δὲ τὴν θεραπείαν τοιαύτην ποιεῖσθαι καὶ 5

pose à ce que l'os déplacé la repousse. Pour cette raison donc, au pied, 2
dans le plus grand nombre des cas, l'os déplacé ne forme pas habituellement une saillie vers la surface inférieure, et parce que la plante du pied est dure et épaisse, et aussi parce que les objets qui frappent le pied tombent, en général, d'en haut. En conséquence, le seul cas où l'os dé- 3
placé déviera vers la surface inférieure du membre, c'est lorsque l'individu, en sautant de haut en bas d'un endroit élevé, arrive sur une pierre inégale pourvue d'aspérités aiguës. Il est très-difficile de mettre à leur 4
place les os qui se sont détachés de tous les côtés et qui ont complétement abandonné leur situation naturelle, que ces os se soient portés à la surface inférieure ou à la surface supérieure du pied, et même si, pour certains cas rares, on a réussi dans cette opération, il est, du moins, toujours difficile d'obtenir que l'os reste en place; en effet, toutes les fois qu'un os s'est déplacé violemment, il se luxera de nouveau, attendu que les ligaments qui le retenaient lui font défaut; si, au contraire, un os n'est luxé qu'incomplétement, il forme habituellement une saillie du côté où les ligaments ont été rompus. Ici encore on appliquera le même trai- 5
tement que nous avons exposé plus haut (XLVI, 1, p. 105 et 110 suiv.),

9. ἐμβαλεῖν R Gal. — 11. σφοδρότατον R.

νῦν, οἵαν ἐπὶ τῶν καταγμάτων ϖροειρήκαμεν· καὶ γὰρ ἀπὸ διατάσεως ἄρχεσθαι χρὴ, χάριν τοῦ καλῶς διαπλάσαι τὰ διακεκινημένα τῶν ὀστῶν, καὶ μετὰ τὴν διάπλασιν ἐπιδοῦντα τῶν αὐτῶν στοχά-
153 ζεσθαι | σκοπῶν· ἀφλέγμαντόν τε γὰρ εἶναι βουλόμεθα τὸ μόριον, ἐσφίγχθαι τε καὶ κρατεῖσθαι τὸ διαπεπλασμένον ὀστοῦν ὑπὸ τῶν
6 ὀθονίων. Τὴν καταγματικὴν οὖν ἐπίδεσιν καὶ νῦν κελεύομεν ϖοιεῖσθαι ϖλὴν ναρθήκων, ἐπειδὴ τοῦ μέρους ἡ φύσις οὐ ϖροσίεται τὴν
7 ἐπίθεσιν τούτων. Χρῆσθαι δὲ δεῖ τοῖς ὀθονίοις καὶ τοῖς σπλήνεσι ϖλείοσιν, ὅτι τὴν τῶν ναρθήκων ἐπίθεσιν οὐ ϖροσίεται τὸ χωρίον.
8 Ἐπιδεῖν δὲ οὐχ ὡς ἐπὶ τῶν κατεαγότων, ἵνα εἰ μὲν ἐπὶ τὰ δεξιὰ ῥέποιεν, εἰς ἀριστερὰ ϖεριτρέποιμεν, εἰ δὲ εἰς ἐκεῖνα, ϖρὸς τὴν δεξιὰν χώραν ἐπανάγοιμεν, ἀλλὰ ἰσόῤῥοπον ϖοιεῖσθαι τὴν ἐπίδεσιν, ἐπειδὴ τὰ κατὰ τὸν ϖόδα τῆς ἰδίας χώρας ἐξιστάμενα τῶν ὀστῶν οὐκ εἰς τὰ ϖλάγια ϖοιεῖται τὴν ῥοπὴν, ἀλλὰ εἰς τὸν ἄνω τόπον, ἢ
9 κάτω. Χρηστέον δὲ καὶ τῇ τοῦ θερμοῦ ὕδατος καταντλήσει ϖλέονι·

à propos des fractures; en effet, il convient de commencer par la double tension (*extension* et *contre-extension*), pour être en mesure de faire convenablement la coaptation des parties déplacées; après la coaptation, on cherchera, par l'application du bandage, à satisfaire aux mêmes indications; car nous désirons que la partie soit à l'abri de l'inflammation, et que l'os qui a été l'objet de la coaptation se trouve serré et
6 retenu par les linges. Nous recommandons donc également, dans le cas actuel, d'appliquer un appareil semblable à celui qu'on emploie pour les fractures, à l'exception cependant des attelles, puisque la nature de la
7 partie lésée ne permet pas l'application de ces pièces de pansement. Il faut employer un assez grand nombre de bandes et de compresses, parce
8 que la région dont il s'agit ne se prête pas à l'application des attelles. On n'appliquera pas l'appareil de la même façon que sur les membres fracturés où l'on a pour but de ramener le membre à gauche, quand il tend à dévier vers la droite, et à droite, quand c'est vers la gauche; on construira un bandage qui ne cause de déviation ni d'un côté ni de l'autre, attendu que les os du pied luxés n'inclinent pas à se porter sur
9 les côtés, mais en haut ou en bas. On aura aussi recours à une affusion

12-13. ἐπίθεσιν R.

Cocchi 153.

χαλᾶσθαι γὰρ χρήζει τὰ κατὰ ἄρθρα μάλιστα παθήματα, καὶ ὅτι νευρωδέστερά τέ ἐστι καὶ ὀστωδέστερα ταῦτα τὰ μόρια, θλίβεταί τε ὑπὸ τῶν ὀστῶν τὰ φλεγμαίνοντα.

ια'. Περὶ τῶν κατὰ ῥάχιν σπονδύλων.

Ὅταν συνημμένον γένηται τοῖς σπονδύλοις φῦμα, μετεωριζομένῳ 1
τούτῳ καὶ αὐξανομένῳ πρὸς τὴν ἔνδον χώραν ἀναγκαῖον ἕπεσθαι
τοὺς συνδέσμους τῶν σπονδύλων, οἷς πάλιν αὐτοὺς τοὺς σπονδύλους
ἀκολουθεῖν. Ἐὰν μὲν οὖν κατὰ μίαν χώραν γένηται τὸ φῦμα, ταύ- 2
της ἑλκομένης ἐντὸς ἡ λόρδωσις συμβαίνει τοῖς τῆς ῥάχεως σπονδύ-
λοις· ἐὰν δὲ κατὰ δύο, μεταξύ τινος ἀπαθοῦς περιλαμβανομένης
χώρας, ἡ κύφωσις· ἑκατέρου γὰρ τῶν φυμάτων ἕλκοντος πρὸς ἑαυτὸ
τὸν συνεχῆ σπόνδυλον, οἱ μέσοι κυρτοῦνται πρὸς τοὐπίσω. Οὐ μὴν 3
οὐδὲ αἱ σκολιώσεις ἑτέραν ἔχουσιν αἰτίαν γενέσεως, ἀλλὰ καὶ ταύ-

assez abondante d'eau chaude; car les affections des articulations ont surtout besoin d'être relâchées, attendu que les tissus enflammés sont comprimés par les os, et que les nerfs (*tissus fibreux*) et les os prédominent dans ces parties.

11. DE LA LUXATION DES VERTÈBRES DE L'ÉPINE DU DOS.

Lorsqu'une tumeur tuberculeuse se développe sur les vertèbres et 1
y adhère, les ligaments de ces os suivent inévitablement le mouvement de
la tumeur quand elle grandit et s'élève vers le côté interne, et, à leur
tour, les vertèbres elles-mêmes suivront le mouvement des ligaments.
S'il n'y a donc qu'un seul point occupé par la tumeur, et si elle est tirée 2
en dedans, les vertèbres de l'épine du dos sont prises de *lordose* (*cour-*
bure d'arrière en avant); si, au contraire, il y a des tumeurs dans deux
endroits, et s'il existe un espace intermédiaire exempt de maladie et com-
pris entre ces deux tumeurs, c'est la *cyphose* (*courbure d'avant en arrière*)
qui surviendra; en effet, si chacune des deux tumeurs tire à soi la vertèbre
qui lui est contiguë, celles qui se trouvent au milieu se courbent en ar-
rière. Les scolioses se forment pour la même cause; mais cette espèce de 3

Ch. 11, l. 8. ἡ om. R.

Cocchi 153-154.

τας γίνεσθαι συμβαίνει σκληροῦ καὶ δυσπέπτου φύματος ἔν τινι τῶν
πλαγίων μερῶν συνισταμένου· τρία γὰρ ταῦτα πάθη κατὰ τὴν ῥά-
χιν ἐν ταῖς τῶν σπονδύλων γίνεται μεταστάσεσι, κύφωσις, λόρ-
δωσις, σκολίωσις, ὀπίσω μὲν ἀποχωρούντων ἡ κύφωσις, εἰς τὰ
πρόσω δὲ ἰόντων ἡ λόρδωσις, ἐπὶ δὲ τὸ πλάγιον ἐκτρεπομένων ἡ
4 σκολίωσις. Ἔξωθεν δὲ τούτων ἡ σεῖσις καλουμένη τέταρτον πάθος
ἐστὶ τῶν ἐν τῇ ῥάχει σπονδύλων, ὅταν διακινηθῶσι μὲν αἱ ἁρμο-
5 νίαι, κατὰ χώραν δὲ μένωσιν οἱ σπόνδυλοι. Ἐπεὶ δὲ γιγγλυμοει-
δῶς οἱ σπόνδυλοι σύγκεινται, ὅταν τις ἐξ αὐτῶν κατὰ ὀντινοῦν τρό-
πον ἐκστῇ τῆς διαρθρώσεως, χαλεπώτατόν ἐστιν αὐτὸν ἐμβιβάσαι,
πολλῶν μὲν ἀποφύσεων οὐσῶν, πολλῶν δὲ κοιλοτήτων ἐν ἑκάστῳ.

154 | ιϐʹ. Ὅτι καὶ διὰ νόσον χρονίαν ἔξαρθροί τινες γίνονται, ἐκ τῶν Ἀσκληπιάδου τοῦ Βιθυνοῦ.

1 Ὅτι χωρὶς φανερᾶς αἰτίας νοσησάντων χρονίως ἐκβαίνει τὰ ἄρθρα,

courbure se produit aussi lorsqu'il surgit un tubercule dur et lent à mû-
rir sur quelqu'une des parties latérales [de l'épine du dos]; car les dé-
placements des vertèbres donnent lieu aux trois maladies suivantes: à la
cyphose, à la *lordose* et à la *scoliose;* il y a cyphose, si les os sont proémi-
nents en arrière; lordose, si c'est en avant; scoliose, si les os dévient sur
4 les côtés. Il y a encore une quatrième maladie des vertèbres du dos qui
s'appelle *succussion;* c'est quand les articulations ont été disjointes sans
5 que les vertèbres quittent leur place. Comme les vertèbres sont réu-
nies entre elles par des articulations en forme de charnière, il est très-
difficile d'en réduire une quand elle s'est luxée, de quelque manèire
que ce soit, attendu que chacun de ces os a plusieurs apophyses et
plusieurs cavités.

12. QU'IL SURVIENT AUSSI DES LUXATIONS PAR SUITE D'UNE MALADIE CHRONIQUE. — TIRÉ D'ASCLÉPIADE DE BITHYNIE.

1 Que les articulations se luxent sans cause apparente, à la suite d'une

11. *μὲν οὖν* RU.

δίδωσι μὲν καὶ Ἱπποκράτης μαρτυρίαν ἐν τοῖς περὶ ἄρθρων, περιπέπλωκα δὲ κἀγὼ δυσὶν, ἑνὶ μὲν ἐν Παρίῳ, ὃς οὔτε πληγεὶς, οὔτε πεσὼν, ἀλγήσας δὲ τὸ σκέλος ἐξ ἀρχῆς, καὶ κατακλιθεὶς ἐπὶ τρεῖς μῆνας, εἱλκύσθη καὶ ἐξέβαλε τὴν τοῦ μηροῦ κεφαλὴν εἰς τὸ ἔξω, διὰ ὑπερβολὴν τῶν ἀλγημάτων τοῦτο παθὼν, ὡς νομίζω· ἑτέρῳ δὲ νεανίσκῳ τραγῳδοποιῷ τινι· καὶ γὰρ καὶ οὗτος ἄνευ φανερᾶς αἰτίας ἐξ ἰσχιάδος ἐξέβαλε τὸν μηρὸν ἔξω, τῆς σαρκὸς διὰ τὴν φλεγμονὴν ἐπισπασαμένης τὸ ἄρθρον καὶ ἐκ τῆς οἰκείας χώρας ἐκβαλούσης.

ιγ'. Περὶ τῶν ἀφαιρεθησομένων μερῶν, ἐκ τῶν Ἀρχιγένους.

1 Ἀφαιρεῖται δέ τινα μέρη τοῦ σώματος· καλὸν γὰρ ἐπὶ ἑνὸς τόπου τὸν καθόλου παραδοῦναι λόγον· ἢ διὰ νέκρωσιν, ὡς ἐπὶ γαγγραίνης, ἢ σηπεδόνος, ἢ φαγεδαίνης, καί τινων καρκινωμάτων, καὶ ἐπὶ ὧν πλεονάζει τὸ κατὰ φύσιν, τῆς τε τάξεως τῆς προσηκούσης ἐκβέ-

maladie chronique, c'est un fait attesté par Hippocrate, dans son *Traité sur les articulations* (cf. par exemple, §§ 41, 56); j'ai, de mon côté, rencontré deux cas de ce genre; j'ai observé le premier à Parium; le malade n'avait pas été blessé et n'avait pas non plus fait de chute; mais il commença par avoir le membre inférieur douloureux; puis, étant resté couché pendant trois mois de suite, la tête du fémur fut abaissée et luxée en dehors, ce qu'on doit attribuèr, je pense, à l'excès de la douleur; l'autre malade était un jeune poëte tragique; il eut, sans cause apparente, à la suite d'une sciatique, une luxation du fémur en dehors, la chair (*les muscles*) ayant, par suite de l'inflammation, exercé une traction sur le membre, qu'elle chassa de sa place naturelle.

13. DES PARTIES QUI DOIVENT ÊTRE RETRANCHÉES. — TIRÉ D'ARCHIGÈNE.

1 On enlève certaines parties du corps (car il est convenable de placer quelque part dans un traité les généralités de son sujet), soit pour cause de mortification, par exemple, en cas de gangrène, de pourriture, d'ulcère phagédénique, ou de certains carcinomes, soit lorsqu'il y a des parties naturellement conformées mais surabondantes, ou dont les rap-

2. δέ om. U. — Ib. ὅς om. R. — 6. γὰρ οὗτος R. — Ch. 13, l. 12. τε τάξεως τῆς om. U. — 12-p. 245, l. 1. ἐκβεβηκέν (sic) U.

ϐηκε, καὶ ἐπὶ ὧν τύλους ἐκκόψαι βουλόμεθα, ἐπὶ ὧν τε γυμνῶσαι θέλομεν τὰ ὑποκείμενα, καὶ βελῶν χάριν κομιδῆς, ἢ τῶν σὺν τοῖς
3 enlevés. Mais, comme des thymes se forment souvent [simultanément] à la partie intérieure et à la partie extérieure du prépuce, et comme souvent aussi quelques-unes de ces tumeurs ont leur siége sur le même point, de façon à se correspondre, il ne faut pas opérer toutes ces tumeurs d'un seul coup : en effet, si on cautérisait le prépuce à la fois à la partie intérieure et à la partie extérieure, et surtout si on faisait ces cautérisations sur des points diamétralement opposés, on percerait le

4 prépuce sans s'en douter. Il est donc préférable de faire d'abord une ablation partielle à la face intérieure, de cautériser et de cicatriser comme il faut, et de passer ensuite au traitement des autres thymes.

3. *οὖν εὐήθεις* Paul. — 7. *αὐτῶν* ex em.; *αὐτό* R. — 9. *ἔκτοσθεν* ex em.; *ἔμπροσθεν* R. — 10. *ἀλλήλοις* R. — Ib. *ποιούμενοι* R.

θ'. Περὶ συσσαρκωθείσης οὐρήθρας. Ἐκ τῶν Ἡλιοδώρου.

Σαρκοῦται ἡ οὐρήθρα ἑλκώσεως προηγησαμένης· σαρκοῦται δὲ 1
οὐχ ὅλη, ἀλλὰ κατά τι μέρος, ἢ ἀπὸ μέρους στενοχωρουμένου τοῦ
πόρου, ἢ ὅλου τῇ σαρκὶ πληρουμένου. Ὅταν οὖν ἀπὸ μέρους γέ- 2
νηται συσσάρκωσις, δυσουρεῖ, ἢ στραγγουρεῖ ὁ πάσχων· ὅλου δὲ
τοῦ πόρου πληρωθέντος κατὰ τὸ τῆς εὐρυχωρίας διάστημα, ἰσχου-
ρία γίνεται. Δεῖ οὖν σκόλοπι τῷ στενῷ τὴν σάρκα ἐκτέμνειν· ὁ δὲ 3
τρόπος τῆς ἐγχειρήσεώς ἐστι τοιοῦτος· τοῦ πάσχοντος ὑπτίου ἐσχη-
ματισμένου, καὶ τοῦ καυλοῦ ἀπευθυσμένου, τοῖς δακτύλοις τῆς ἀρι-
στερᾶς χειρὸς παραπιέζεται τὰ ὑπὸ τὴν σάρκα τῆς οὐρήθρας μέρη,
ἵνα συμπέσῃ, καὶ μή ποτε ἐν τῇ ἐκτομῇ αἷμα εἰς τὸ βάθος κατε-
νεχθῇ. Γενομένου δὲ τούτου, τῇ δεξιᾷ χειρὶ διακρατουμένης τῆς τοῦ 4
σκόλοπος λαβῆς, ἡ ἀκμὴ καθίεται εἰς τὴν οὐρήθραν, καὶ διωθεῖται
κατὰ τὴν βάσιν τῆς ἐκπεφυκυίας σαρκώσεως, ἕως οὗ κενεμβατήσῃ.

9. DE L'URÈTRE RÉTRÉCI PAR LA CHAIR. — TIRÉ D'HÉLIODORE.

L'urètre se rétrécit par de la chair à la suite d'une ulcération; seule- 1
ment il ne se rétrécit pas dans toute sa longueur, mais sur quelque
point particulier; ou le canal éprouve un rétrécissement partiel, ou il est
complétement obstrué par de la chair. Lors donc que le canal est par- 2
tiellement rétréci, le malade urine difficilement, ou goutte à goutte; si
le canal est entièrement rempli dans tout son diamètre, il y a réten-
tion d'urine. Il faut donc exciser la chair avec un instrument pointu et 3
mince; or voici la manière de pratiquer cette opération: on place le ma-
lade sur le dos; on donne à la verge une direction rectiligne; on fait
subir, avec les doigts de la main gauche, une pression latérale aux
parties du canal placées au-dessous (*au delà?*) de la chair, pour que les
parois s'appliquent l'une sur l'autre, et pour prévenir l'afflux du sang qui
pourrait se produire en arrière au moment de l'excision. Alors on intro- 4
duit dans le canal la pointe de l'instrument dont on tient le manche avec
la main droite; on le pousse à travers la base de la chair qui obstrue l'u-

Ch. 9, l. 13. *ἕως οὗ* ex em.; *οὐ* R. — Ib. *κενεμβατήσει* R.

Mai 187-188.

5 Μετὰ δὲ τὴν κενεμβάτησιν περιάγεται κατὰ κύκλον· τῆς [δὲ] σαρκὸς περιτμηθείσης, καὶ τῆς τοῦ σκόλοπος ἀκμῆς ἀνεκκόπως περιε-
188 νεχθείσης, τοῖς δακ|τύλοις περιπιέζεται ἡ οὐρήθρα, ἵνα συμπεσούσης
6 προπέσῃ ἡ σάρξ. Ὅταν δὲ προκύψῃ καὶ μὴ ἐκπέσῃ, μυδίῳ ἐξελ-
7 κύσθω. Καὶ τῆς σαρκὸς κομισθείσης, φυλάξαι δεῖ τὸν οὐρητικὸν πόρον ἐν εὐρύτητι· μάλιστα δὲ ἀνευρύνεται ταῖς πρώταις ἡμέραις
8 ἰπωτηρίου ἐντεθέντος τοῦ ἀπὸ τῆς ἐσκελετευμένης παπύρου. Ἐχέτω δὲ ἐν ἑαυτῷ τὸ ἰπωτήριον σωληνάριον χαλκοῦν, ἢ κασσιτέρινον, ἢ
9 ἀντὶ τοῦ σωληναρίου καλαμίδα πτεροῦ ὀρνιθείου. Ἡ δὲ προπαρασκευὴ τοῦ ἰπωτηρίου γίνεται τρόπῳ τοιούτῳ· βρέχεται ἡ πάπυρος ἐπὶ δύο, ἢ τρεῖς ἡμέρας· ὅταν δὲ ἐμφυσηθῇ, ἐντίθεται εἰς αὐτὴν τὸ
10 σωληνάριον καὶ τότε περισφίγγεται. Ἐὰν δὲ πτεροῦ καλαμὶς ᾖ ἡ ἐντιθεμένη, πρὸ τῆς περισφίγξεως εἰς αὐτὴν ἐντιθέσθω μηλωτρίδος ἔλασμα, καὶ τότε σφιγγέσθω, ἵνα μὴ τῇ εἰκαίᾳ σφίγξει συμ-
11 πέσῃ. Ἐᾶται δὲ ξηρανθῆναι τὸ ἰπωτήριον ἕως οὗ μάλιστα σκελετευθῇ,

5 rètre, jusqu'à ce qu'on arrive dans un espace vide. Cela ayant eu lieu, on tourne circulairement l'instrument; puis, quand on a coupé la chair de tous les côtés, et qu'on peut mouvoir la pointe de l'instrument en tous sens sans l'engager dans la chair, on appuie de tous les côtés, avec les doigts, sur l'urètre, pour que ses parois s'appliquent l'une sur l'autre, et
6 que la chair [excisée] tombe au dehors. Si cette chair fait saillie, mais
7 ne sort pas du canal, on la retirera avec une pince. Après avoir enlevé la chair, il faut tenir le canal dans l'état de dilatation : or, les premiers jours, on l'élargit surtout au moyen d'une bougie en papier desséché.
8 Cette bougie devra contenir, dans son intérieur, un petit tuyau en bronze ou en étain; ou bien on se sert, au lieu d'un pareil tuyau, d'une plume.
9 Voici la manière dont on prépare la bougie : on trempe le papier pendant deux ou trois jours, et, quand il s'est gonflé, on y introduit le petit
10 tuyau; puis on serre le papier autour de ce tuyau. Si on se sert d'une plume, on placera dedans, avant de serrer le papier autour, le plat d'une sonde auriculaire, et c'est alors seulement qu'on serrera, de peur que la
11 plume ne s'affaisse sous une pression légère. On laisse sécher la bougie

1. περίαγε R. — Ib. [δέ] ex em.; om. R. — 4. προσπέσῃ ἡ R. — 6. οὐρήτητι R. — 7. ἐντιθέντος R. — 12. καλάμης R.

καὶ πρὸς τὴν χρείαν τότε ἡ πάπυρος περιγλύφεται ἀναλόγως τῇ οὐρήθρᾳ, εἶτα εἰς τὸν οὐρητικὸν πόρον ἐντίθεται. Ἔξωθεν δὲ τῷ 12 *καυλῷ περιτίθεται σπογγίον ψυχρῷ ὕδατι βεβρεγμένον, ἐπίδεσις δὲ δοκιμάζεται ἡ οἰκεία, καὶ πάλιν τὸ μόριον ἀναλαμβάνεται τῷ τετρασκελεῖ ἀναδέσμῳ, καὶ οὕτως ἐᾶται ὁ πάσχων ἕως τρίτης, νοτίζων μὲν δὴ διὰ τοῦ σωληναρίου. Τῇ τρίτῃ λύεται, καταντλεῖται, ἐνσΊάζεται εἰς τὴν οὐρήθραν μέλι διὰ τὴν τοῦ ἕλκους ἀνακάθαρσιν, καὶ πάλιν ἐὰν ἐπείγῃ, ἄλλο ἱπωτήριον ἐντίθεται, ἵνα προσανευρυνθῇ ὁ πόρος. Ἔξωθεν δὲ περιτίθεται τῷ καυλῷ δυνάμεως ἀφλεγμάντου* 13 *σπληνίον, ἐπίδεσίς τε καὶ ἀνάληψις ἡ συνήθης γίνεται.* 14 *Ἀπὸ δὲ τῆς* 15 *τετάρτης ἀντὶ τοῦ ἱπωτηρίου σωληνάριον ἐντίθεται εἰς τὴν οὐρήθραν κασσιτέρινον ἢ μολυβδοῦν, ἀσπιδίσκην ἔχον προκειμένην, ἵνα τῷ σωληναρίῳ διασΊελλομένη ἡ οὐρήθρα κατουλωθῇ. Τὰ δὲ λοιπὰ* 16 *τῆς ἐπιμελείας τὰ αὐτὰ παραλαμβανέσθω.*

jusqu'à ce qu'elle soit complétement durcie, et, quand il s'agit de l'employer, on modèle le papier autour du tuyau, de manière à lui donner la forme de l'urètre; ensuite on introduit la bougie dans le canal. A l'extérieur, on place, autour de la verge, une éponge trempée dans l'eau froide; 12 on a recours à une déligation convenable, et on relève de nouveau le membre avec le bandage à quatre jambes destiné à cet usage; ensuite on abandonne le malade à lui-même jusqu'au troisième jour, et il devra uriner (?) par le tuyau. Le troisième jour on défait l'appareil, on pratique 13 une affusion, on fait tomber goutte à goutte du miel dans l'urètre pour mondifier la plaie, et on introduit de nouveau, s'il est nécessaire, une autre bougie, afin d'augmenter la dilatation du canal. A l'extérieur, on 14 place autour de la verge un emplâtre antiphlogistique; puis, pour faire la déligation et pour relever le membre, on a recours aux méthodes habituelles. A compter du quatrième jour, on introduit dans l'urètre, au 15 lieu de la bougie, un petit tuyau en étain ou en plomb, muni, à sa partie antérieure, d'un petit rebord en forme de bouclier, afin que l'urètre se cicatrise pendant qu'il est dilaté par ce tuyau. Quant aux autres dé- 16 tails du traitement, on agira [comme dans le premier pansement.]

5-6. *νοτίζων μὲν δή* conj.; *νοτίζομαι δέ* R. — 7. *μέλι* conj.; *μέν* R. — 8. *προανευρυνθῇ* R. — 11. *σωληναρίου* R. — 12. *μολίβουν* R.

Mai 189.

189 | ι'. Περὶ τῶν ἐν τῷ αἰδοίῳ ῥαγάδων.

1 Ῥαγάδες γίνονται ἐν τῇ πόσθῃ, μάλιστα δὲ ἐν τῇ ἀκροποσθίᾳ,
2 ὅταν στενὴ οὖσα ἀπάγηται. Κατὰ ἀρχὰς μὲν οὖν πᾶσα ῥαγὰς νεαρὰ οὖσα αἱμάσσεται, χρονίζουσα δὲ τυλοῦται, καὶ πάλιν ὅταν βίᾳ
3 διίστηται, ἐπιῤῥηγνυμένη αἱμάσσεται. Σπουδάζειν δὲ δεῖ τὰς ῥαγάδας ταύτας φαρμακείᾳ θεραπεύειν· ὅταν δὲ χρόνιαι οὖσαι ἐντετυλωμέναι βραδύνωσι, συμφέρει τὸ δέρμα ἀπάγειν καὶ τὰ τετυλωμένα τῶν ῥαγάδων χείλη ὑπτίῳ τῷ σμιλίῳ ὡσανεὶ ἀπογλύψαι· αἱ γὰρ νεαροποιούμεναι ῥαγάδες ὑγιάζονται τάχιστα.

ια'. Περὶ κρικώσεως.

1 Ὁ κρικούμενος τῷ ἐνεργοῦντι ἀντίως παρίσταται, καὶ τότε τοῖς δακτύλοις τὸ τῆς ἀκροποσθίας δέρμα καθέλκεται, καὶ τὸ καθελκό-

10. DES FISSURES DU MEMBRE GÉNITAL.

1 Des fissures se forment au prépuce, et surtout à son sommet, lorsque
2 cette partie est étroite et qu'on la ramène en arrière. Au commencement, toute fissure, lorsqu'elle est encore récente, présente l'aspect d'une plaie saignante; mais, avec le temps, les fissures se recouvrent de calus, et, quand on les élargit par force, elles se déchirent encore une fois et
3 redeviennent saignantes. Il faut s'efforcer de guérir ces fissures à l'aide de médicaments; mais, lorsque, étant devenues chroniques et calleuses, elles tardent à se guérir, il convient de ramener la peau en arrière, et de déchiqueter, pour ainsi dire, avec le dos du scalpel, les bords calleux des fissures; car, lorsqu'on rafraîchit les fissures, elles se guérissent très-vite.

11. DE L'INFIBULATION.

1 Celui qui doit être infibulé se place vis-à-vis de l'opérateur; ensuite on abaisse, avec les doigts, la peau du sommet du prépuce, et on laisse

3. ἐκμάσσεται R text.; γρ. αἱμάσσεται R marg. — 6. τῷ δέρματι πείγην (sic) R. — Ib. τά om. R. — Ch. 11, tit. κερκώσεως R ind.

μενον ἐᾶται ἀναχωρῆσαι· τοῦτο δὲ γίνεται ἢ δὶς ἢ τρὶς, ἵνα ὅσον
ἐστὶ [τὸ] φυσικὸν τῆς ἀκροποσθίας χάλασμα φανῇ. Μετὰ δὲ ταῦτα 2
ὑπὸ ἄκραν τὴν βάλανον κατὰ τὴν ἀρχὴν τῆς ἀκροποσθίας ἡ κρίκω-
σις γίνεται. Ἐγὼ μὲν οὖν τῇ τεχνικῇ γυμνασίᾳ χρώμενος αὐτόθεν 3
εἴωθα ἐνεργεῖν· οἱ δὲ ἄλλοι πρότερον ἐσημειώσαντο ἑκατέρωθεν τὴν
τῆς ἀκροποσθίας ἀρχὴν μέλανι γραφικῷ, ἵνα κατὰ τὰ στίγματα
γένηται καὶ ἡ κρίκωσις. Πρὸς δὲ τὴν κρίκωσιν ῥάμμα δεῖ λαβεῖν 4
φοινικοῦν· τοῦτο γὰρ τετήρηται τὸ ῥάμμα συνεργοῦν τῷ τῶν τρη-
μάτων ἀνευρυσμῷ. Εἰρομένου δὲ αὐτοῦ εἰς βελόνην εὔρωστον, κατὰ 5
τὸν εἰρημένον τόπον κατὰ τὴν τῆς ἀκροποσθίας ἀρχὴν διακεντείσθω
τὸ δέρμα ἐκ τῶν πλαγίων εἰς τὰ πλάγια, | καὶ ἡ μὲν βελόνη ἐξελ- 190
κέσθω, τὸ δὲ ῥάμμα κεχαλασμένον ἀμματιζέσθω, ἵνα φανῇ ὡς κρί-
κος. Ταῖς δὲ ἑξῆς ἡμέραις παράγεται τὸ ῥάμμα, ἢ αὐτόθεν ἵνα εὐ- 6
ρυνθῇ τὰ τρήματα, ἢ ἁλὶ μετὰ ἐλαίου κεχρισμένον. Ἀλλὰ δεῖ πάλιν 7
μετὰ τὸν τῶν τρημάτων ἀνευρυσμὸν ἀντικαθιέναι κασσιτέρινον ἐλα-

remonter la partie abaissée; on répète la même chose deux ou trois fois,
pour constater quelle est la mesure de la partie naturellement relâchée
du sommet du prépuce. Après cela, on pratique l'infibulation sous l'ex- 2
trémité du gland, au commencement du sommet du prépuce. Quant à 3
moi, confiant dans l'habitude que j'ai de cette opération, je la pratique
ordinairement de suite; mais les autres chirurgiens font d'abord des
deux côtés des signes avec de l'encre à écrire, pour indiquer le commen-
cement du sommet du prépuce, afin que l'infibulation ait lieu au niveau
de ces marques. Pour l'infibulation, il faut prendre un fil fait avec des 4
fibres de palmier; car on a observé que cette espèce de fil aidait à élargir
les trous. Après avoir passé ce fil dans le chas d'une aiguille forte, on 5
traverse la peau de part en part à l'endroit susnommé, au commence-
ment du sommet du prépuce; puis on retire l'aiguille, et on noue la
partie pendante du fil, afin qu'il se forme une espèce d'anneau. Les jours 6
suivants, on promène le fil à travers les trous pour les élargir, soit tel
qu'il est, soit après l'avoir enduit de sel et d'huile. Les trous une fois 7
élargis, il faut de nouveau remplacer le fil par une petite plaque en

2. [τό] ex em.; om. R. — 8-9. συνεργούντων τῶν τρ. R. — 15. τόν om. R.

Mai 100-101.

8 σμάτιον πρὸς τὴν τῶν τρημάτων κατούλωσιν. Ἔστω δὲ τὸ ῥάμμα διπλοῦν ἐστραμμένον, οὗ τὰ ἅμματα λυέσθω, καὶ τότε τοῦ ἐλασματίου τὸ πέρας κατὰ ἐλάτησιν λελεπτοποιημένον εἰς τὴν τοῦ ῥάμματος. . . . .

. . . .

101 | μα'. Περὶ τῆς κατὰ ῥῆξιν ἐντεροκήλης.

. . . .

1 . . . . καὶ τοῦ ἐπίπλου ῥαγέντος, μόνον τὸν. . . . . κατολισθαίνει, ποτὲ δὲ οὐ ῥαγέντος. . . . . [κά]τεισι μόνον· ποτὲ δὲ σὺν τῷ ἐντέρῳ. . . . . ταῖς ἐπάνω προειρημέναις.

μβ'. Πῶς διακριτέον τὴν κατὰ ἐπέκτασιν ἐντεροκήλην τῆς κατὰ ῥῆξιν.

1 Ἐπὶ μὲν οὖν τῆς κατὰ ἐπέκτασιν ὅτε βύθ[ιος. . . . .

8 étain, afin de les cicatriser. Le fil doit être double et entortillé; puis on défait les nœuds, et alors on introduit le bout de la plaque aminci au marteau dans. . . . . du fil. . . . .

. . . .

41. DE LA HERNIE INTESTINALE PAR DÉCHIRURE DU PÉRITOINE.

. . . .

1 et quand l'épiploon est déchiré, seul. . . . . il glisse vers le bas; quand il n'est pas déchiré, quelquefois. . . . . il descend seul, d'autres fois avec l'intestin. . . . . ainsi qu'il a été dit plus haut.

42. COMMENT ON DOIT DISTINGUER LA HERNIE PAR ALLONGEMENT DU PÉRITOINE DE CELLE QUI TIENT À UNE DÉCHIRURE DE LA MÊME MEMBRANE.

1 Dans la hernie par allongement du péritoine, lorsque [la tumeur se

3. ἐλάτησιν semideletum in cod. — Ch. 41, tit. κατὰ τὴν πρόπηξιν R. — 9. [κά]τεισι conj.;... τεισι R. — Ch. 42, l. 12. βυθ. R.

..........καὶ διὰ πολλῶν σωμάτων ὁμαλός τε...........
.... πανταχόθεν. Κατανοοῦμέν τε 2
ἐν ταῖς ἀν.............................εἰ μείζων
ὁ ὄγκος εἴη καὶ ἔτι μ[ᾶλλον]......................
....ἢ διὰ οὐδέν· ἧσσον γὰρ εὐογκότερα τὰ κατὰ τὴν θέσιν τῶν
ἀγγείων ὑποπίπτει σώματα, εἴ τις αὐτὰ παραβάλοι πρὸς τὰ ἀντι-
κείμενα διὰ τὸ ἐκεῖνα..............[κατὰ] φύσιν ὑποπίπτειν
σώματα ἐνταῦθα [τὸ] περιτόναιον. Τοῦτο | ἰσχυρὸν ὂν τὸ σημεῖον 3 192
ἐπὶ τῶν δικήλων καὶ ἐπὶ τῶν νηπίων παιδίων οὐ πάνυ τι εὐδοκι-
μεῖ· ἐπί τε γὰρ τῶν δικήλων ἐξ ἀμφοτέρων τῶν μερῶν εἰ τύχοι
κατωλισθηκέναι τὸ περιτόναιον, ἀμφοτέρωθεν ἀναθλιβέντων τῶν
ἐντέρων, ὅμοιον ὄγκον ἐξ ἑκατέρου μέρους κατὰ τὴν τῶν ἀγγείων
θέσιν δείκνυσιν. Ἐπί τε τῶν παιδίων σφόδρα λεπτὸν ὂν τὸ περι- 4
τόναιον οὐκ αἰσθητὴν παραλλαγὴν τῇ συγκρίσει πρὸς τὰ κατὰ φύ-
σιν ἔχοντα σώματα παρέχεται. Ἐπὶ δὲ τῆς κατὰ ῥῆξιν ἐντεροκήλης 5

sent] dans la profondeur et à travers un grand nombre de parties,
lorsqu'elle est lisse.........................de tous les côtés. Nous 2
nous en apercevons dans les...........................si la tumeur
est plus considérable, et encore plus................. ou sans qu'il
y ait aucune partie intermédiaire; car on trouvera que les parties qui
correspondent à l'emplacement des vaisseaux apparaissent moins volumi-
neuses, si on les compare à celles du côté opposé, parce que les premières
.....................dans cette région le péritoine se sent à travers
les parties normales. Ce signe, qui est important, n'a pas beaucoup de 3
conséquence, en cas de hernie double, ou chez les petits enfants: en
effet, si, en cas de hernie double, le péritoine s'est échappé vers le bas
des deux côtés, et si on repousse également des deux côtés les intestins
en haut, on observera, au niveau des vaisseaux, une tuméfaction égale
des deux côtés. Comme, chez les petits enfants, le péritoine est très-mince, 4
il n'en résultera pas une différence appréciable, si on fait une comparaison
avec les parties [de l'autre côté] qui sont dans leur état normal. Dans la 5
hernie intestinale par déchirure du péritoine, on sent d'abord que la

4. μ[ᾶλλον conj. del. ap. R.— 7. [κατὰ] conj. delet. ap. R.— 8. [τό] delet. ap. R.

Mai 192.
πρῶτον μὲν πλησίον τοῦ κατὰ τὸν ὀσχέον δέρματος ὁ ὄγκος ὑπο-
πίπτει· αὖθις δὲ διπλοῦς ἢ πολλαπλοῦς, οὐδαμῶς δὲ ἁπλοῦς εὑρί-
σκεται· κἄν τε γὰρ μία ἕλιξ ἐντέρου κατολισθαίνειν τύχῃ, δύο
ὄγκοι φανοῦνται, καὶ μᾶλλον ἡνίκα ἢ πνεῦμα, ἢ σκύβαλα κατα-
βαίνει κάτω, γινομένου τοῦδε ἐπὶ τῶν κατὰ ἐπέκτασιν διὰ τὸ πάσαις
6 ταῖς ἕλιξιν ἐν κύκλῳ περικεῖσθαι τὸ περιτόναιον. Ἐν δὲ τοῖς ἀνα-
πιεσμοῖς τῶν ἐντέρων ἐπὶ τῆσδε τῆς [δια]φορᾶς κατὰ φύσιν ἔσΊι
7 δεῖξαι τὰ ἀγγεῖα ἔχειν σὺν κρεμασΊῆρι. Μετά γε μὴν τὸν ἀναπιε-
σμὸν ἐπὶ μὲν τῶν [κατὰ ἐπέκτασιν ἡ κατο]λίσθησις βραδυτέρα γί-
νεται τοῦ περι[τοναίου]........................[ἐπὶ δὲ
τῶν] κατὰ ῥῆξιν ταχεῖα ἡ κατάβασις.

μγ'. Πῶς σημειωτέον τὴν [τοῦ] ἐντέρου πρὸς τὸ ἐπεκταθὲν περιτόναιον πρόσφυσιν.

1 ....περιτοναίου

tumeur est rapprochée de la peau du scrotum; ensuite on trouve la tumeur double ou multiple, mais jamais simple; en effet, lors même qu'une seule anse intestinale aurait glissé vers le bas, on verrait apparaître deux tumeurs, surtout lorsque des flatuosités ou des excréments durs descendent dans la hernie, tandis que le contraire a lieu dans la hernie par allongement du péritoine, parce que cette membrane entoure
6 alors circulairement toutes les anses intestinales. Lorsqu'on repousse les intestins vers le haut, dans la dernière espèce de hernie, on peut montrer que les vaisseaux, ainsi que le crémaster, sont dans leur état
7 naturel. Enfin, après qu'on a repoussé les intestins, le glissement du péritoine vers le bas se fait assez lentement dans les hernies par allongement de cette membrane......................; au contraire, la descente est rapide dans les hernies par déchirure du péritoine.

43. COMMENT ON DOIT DIAGNOSTIQUER QUE L'INTESTIN A CONTRACTÉ DES ADHÉRENCES AVEC LE PÉRITOINE ALLONGÉ.

1 ....du péritoine s'est établi, nous

7. τῆδε R. — Ib. ...φορᾶς R. — 9. [κατὰ... κατο] e conj.; deletum apud R. — 10. περι[τοναίου] conj. del. ap. R. — 10-11. [ἐπὶ δὲ τῶν] conj.; deletum apud R. — 11. ταχεῖαν R. — Ch. 43, tit. [τοῦ] ex em.; om. R.

συντελεσθείη, σημειωσόμεθα.......................ισιν διὰ ἀναθλίψεως· ὥσπερ γὰρ πρότερον ὅ[τε............... ἐπεξετέ]τατο τὸ περιτόναιον, ἥν τις παραλλαγὴ........... ....ασμὸν τῶν ἐντέρων πρὸς τὰ ἐπὶ θάτερα...... ......[κατὰ φύ]σιν ἔχοντα, οὕτω πολὺ μᾶλλον ὀφθήσεται [νῦν] ὁ ὄγκος περὶ τὸν τῶν ἀγγείων τόπον κατὰ τὴν ἀνάθλιψιν...... ....οἷα δὴ καὶ ἐντέρου διπλώσεως ὑποπιπτούσης..............................κατὰ τῆς ἀνακρίσεως· οἷς μὲν γὰρ |..................[οὐ προσφ]υὲς 193 *[τὸ] ἔντερον, ὀλιγάκις ἐνοχλοῦνται ὑπὸ [πνευμάτων ἢ] σκυβάλων κατερχομένων εἰς τὸν ὄσχεον· τὰ γὰρ ἔντερα μὴ προσφυῆ ὡς ἐπίπαν κενὰ μὲν ὄντα κατολισθαίνει· πλήρη δὲ γενόμενα πνεύματος ἄνω μένει διὰ τὸ εὐογκότερα γίνεσθαι τοῦ πόρου δι' οὗ κατέρχεται· ὅσοις δὲ τῶν ἐντεροκηλικῶν προσφύεται τὸ ἔντερον τῷ περιτοναίῳ, τούτοις ἐκ πάσης ἀνάγκης πάροδος τῶν περιττωμάτων*

diagnostiquerons......................à l'aide du refoulement; en effet, ainsi que plus haut, lorsque le péritoine.....s'était allongé, il y avait une certaine différence....................des intestins avec les parties de l'autre côté................qui se trouvent dans leur état naturel, on verra, à bien plus forte raison, dans le cas actuel, une tumeur au niveau de la région des vaisseaux, quand on refoule [les intestins]..... attendu qu'on rencontre l'intestin plié en deux....... ......par les réponses du malade (?); en effet, ceux.............. dont l'intestin n'a pas contracté d'adhérences sont rarement incommodés par des flatuosités ou des excréments durs qui descendent dans le scrotum; car, si les intestins n'ont pas contracté d'adhérence, ils ne glissent ordinairement vers le bas que lorsqu'ils sont vides, tandis qu'ils restent en haut quand ils sont remplis de flatuosités, attendu qu'alors leur volume dépasse les dimensions du trou par lequel ils descendent; au contraire, lorsque, chez les malades affectés de hernie intestinale, l'intestin a contracté des adhérences avec le péritoine, les excréments

2. *ὅτε* conj.; *ὁ.....* R. — 3. *ἐπεξε-τέ]τατο* conj.; *.....τᾶτο* R. — Ib. *ἥν* conj.; *ἢ ἂν* R. — 7. *οἷα δή* Mai; ... *ναίου* cod. — 9. [*οὐ προσφ*]*υές* conj.; ....*υές* R. — 10. [*τό*] ex em.; om. R. — Ib. [*πνευμάτων ἤ*] conj.; deletum ap. R. — 12. *κενὰ μένοντα* R. — 13. *μέσοι* R. — Ib. *εὐογκωτέραν* R.

Mai 193.

2 τε καὶ πνευμάτων διὰ τοῦ ὄσχέου γίνεται. Ὀδυνῶνται οὖν ἰσχυρῶς ἔν τε ταῖς πνευματώσεσιν, ἐν [τε] ταῖς πληθώραις, βορβορυγμοί τε
3 αὐτοῖς κατὰ τὸν ὄσχεον γίνονται κατὰ ἑκάσΊην ἡμέραν. Καὶ μὴν ἔν τε ψύξεσι καὶ χειμῶσι τέλεον ὁ ὄγκος οὐδέποτε συσΊαλήσεται,
4 καὶ μάλισΊα εἰ μὴ Ͽλίβοι τις αὐτόν. Τοῦτο δὲ τὸ ἦθος φήθησαν δυσχώρισΊόν τινες ἀπὸ ὑδροκήλης καὶ σαρκοκήλης τυγχάνειν· οὐκ ἔσΊι δὲ χαλεπὸν διακρῖναι· ὑδροκήλη μὲν γὰρ καὶ σαρκοκήλη πάντοτε ἀνώδυνός ἐσΊι, σφήνωσις δὲ σκυβάλων οὐδεμίαν ὑπερβολὴν ὀδύνης καταλείπει, οἵ τε κίνδυνοι διὰ ταχέων ἐξακολουθοῦσιν ἐπὶ τούτων.............................. 1

....

μϛ'. Διάκρισις περιτοναίου.

....

1 ....τάσσομέν τε τὰ ἄγκισΊρα ἐκ τῶν ὄπισθεν μερῶν τοῦ

2 et les flatuosités doivent de toute nécessité passer par le scrotum. Les malades éprouvent donc des douleurs intenses quand les intestins sont pleins ou gonflés par le gaz, et, chaque jour, des borborygmes se font
3 entendre dans le scrotum. En outre, dans les temps froids et en hiver, la tumeur ne s'efface jamais complétement, surtout si on ne la comprime
4 pas. Quelques médecins ont pensé que cette espèce de hernie était difficile à distinguer de l'hydrocèle et du sarcocèle; mais il n'est pas difficile d'établir le diagnostic : car l'hydrocèle et le sarcocèle sont toujours exempts de douleur, et, dans ces affections, l'enclavement d'excréments durs n'entraîne après lui aucun surcroît de souffrances; puis, chez les malades dont nous parlons, il survient bientôt des accidents dangereux..............................

....

46. DE L'ISOLEMENT DU PÉRITOINE [DANS LA HERNIE].

....

1 nous plaçons les crochets à la partie postérieure de la tumeur à une

2. [τε] ex em.; om. R.

*ὄγκου διεσῖῶτα ἀπὸ ἀλλήλων, ὥσῖε τετράγωνον Φαίνεσθαι τὴν ὑπὸ
αὐτῶν διάσῖασιν. Καθαπῖέσθω δὲ αὐτῶν τὰ δύο πρὸς αὐτῇ τῇ διαιρέ-* 2
*σει τοῦ ἐπιγασῖρίου κάτω διασῖέλλοντα τοὺς ὑμένας· ἡ γὰρ ἔρευνα
καὶ ἡ εὕρεσις πρὸς τῇ βάσει γίνεται τοῦ περιτοναίου· αὐτό τε γὰρ
ἑαυτοῦ τῇδε εὐρωσῖότερόν ἐσῖι καὶ πλατύτερον, ὡς ἂν εἰς ὀξεῖαν
κορυφὴν κατὰ μικρὸν ἀπολῆγον· τὰ δὲ εὔρωσῖα καὶ μείζω τῶν ὡς
ἑτέρως ἐχόντων εὐκαταληπῖότερα. Ἐπὶ δὲ τῇ διασῖάσει τῇ γενομένῃ* 3
*τῶν δεδηλωμένων τόπων ὑπὸ τῶν ἀγκίσῖρων, ὁ μὲν ὑπηρέτης ἀνα-
τείνων τὸν δίδυμον ἐπὶ ποσὸν αὐτὸν πλαγιαζέτω καὶ πρὸς τὸν
ὄσχεον ἀνιέτω, ἵνα πρὸς τὴν ἐνέργειαν ἡ κατὰ κάθετον ἀνάτασις
τοῦ διδύμου μὴ ἐμποδίζῃ, αὐτοὶ δὲ τοὺς ὑμένας τοὺς διατεταμένους
ὑπὸ τῶν ἀγκίσῖρων διελοῦμεν κατὰ μῆκος καὶ μετὰ τὴν διαίρεσιν
περιελοῦμεν αὐτούς. Καὶ εἰ μὲν Φαίνοιτο γυμνὰ τὰ ἀγγεῖα, εἰσό-* 4
μεθα ὅτι οὐκέτι περιαιρέσεως ὑμένων δεῖ, ἀλλὰ τῆς ἐρεύνης τοῦ

certaine distance les uns des autres, de manière que l'espace intermé-
diaire présente une forme rectangulaire. Deux de ces crochets devront 2
avoisiner l'incision qu'on a faite dans les téguments du ventre, pour
écarter en bas les membranes les unes des autres; car la recherche et la
rencontre du péritoine ont lieu à la base [de la tumeur?] : en effet, dans
cette région, la membrane en question est plus forte et plus large que
partout ailleurs, attendu qu'elle se termine peu à peu en une pointe
aiguë; or les corps volumineux et grands sont plus faciles à découvrir
que ceux qui se trouvent dans d'autres conditions. Après qu'on a opéré, 3
avec les crochets, l'écartement des parties dans la région que nous ve-
nons d'indiquer, l'aide devra tirer le testicule en haut et un peu vers les
côtés, sans lui imprimer de tension dans la direction du scrotum, de
peur que ce testicule ne nous gênât dans nos manœuvres, s'il était tiré
perpendiculairement en haut; nous-mêmes nous diviserons longitu-
dinalement les membranes écartées à l'aide des crochets, et, après les
avoir divisées, nous les extirperons. Si les vaisseaux se présentent à 4
nu, nous saurons qu'il n'y a plus de membranes à extirper, mais qu'il

5. *εὐρωσῖοτέρων* R 2ª m. — Ib. *πλατυτέρων* R. — 6. *κορ. τὰ κατά* R. — Ib. *ἀπολήγοντα δέ* R. — 9. *ἐπὶ τὸ ποσόν* R. — 12. *μετά*] *κατά* R.

περιτοναίου· εἰ δέ τινες ὑμένες ἐπιφαίνοιντο περιειληφότες τὸν
ὄγκον σὺν τοῖς ἀγγείοις, εἰς τούτους ὁμοίως καταπείραντες ἀγκι-
σῖρα, παραπλησίως καὶ τούτους διαιροῦντες ἐκτέμνομεν, καὶ τοῦτο
ποιοῦμεν, μέχρις ἂν μηδεὶς ὑμὴν ἐμποδίσῃ περικείμενος πρὸς τὴν
5 ἔλληψιν τοῦ περιτοναίου. Ἐπεὶ δὲ τὰ ἀγγεῖα κενούμενα μιμεῖται
τὴν τῶν ὑμένων ὁμοιότητα, δεῖ κελεύειν τῷ ὑπηρέτῃ καὶ πλαγιά-
ζειν τὸν δίδυμον ἰσχυρῶς καὶ ἀνιέναι τὴν τάσιν πρὸς τὸ ἐπιῤῥυῆναι
6 πάλιν εἰς αὐτὰ τὸ αἷμα καὶ ἐμφανῆ καὶ γνώριμα κατασῆναι. Εὑ-
ρόντες δὴ τὰ ἀγγεῖα καὶ ἀπολαβόντες αὐτὰ ἰδίᾳ πρὸς τῷ βουβῶνι·
ἐν τούτῳ γὰρ τῷ μέρει καὶ ἡ θέσις αὐτῶν ἐσῖιν ἡ φυσική· πά-
λιν ἐν τῷ ἐπὶ θάτερα πρὸς τῷ κύκλῳ τὸν κρεμασῆρα ἐρευνήσο-
μεν· ῥᾳδία δὲ κἀκείνου λοιπόν ἐσῖιν ἡ εὕρεσις, κεχωρισμένων τῶν
ἀγγείων· γνωριοῦμεν δὲ αὐτὸν ἐκείνοις τοῖς σημείοις [οἷς] ἐπὶ τῶν
7 ἑτέρων ὄγκων παρεδείξαμεν. Διακεκριμένων δὴ τῶν ἀγγείων καὶ

faut en venir à la recherche du péritoine; si, au contraire, nous aperce-
vons encore des membranes qui entourent la tumeur conjointement avec
les vaisseaux, nous fixerons également des crochets dans ces membranes
et nous les diviserons et les extirperons de la même manière; nous
continuerons d'agir ainsi jusqu'à ce qu'il n'y ait plus aucune mem-
brane, entourant la tumeur, qui puisse nous empêcher de saisir le pé-
5 ritoine. Mais, comme les vaisseaux, dans leur état de vacuité, présentent
de la ressemblance avec les membranes, on ordonnera à l'aide de
pousser fortement le testicule vers les côtés, et de relâcher la tension,
afin que le sang afflue de nouveau dans les vaisseaux, et nous mette à
6 même de les apercevoir et de les reconnaître. Après avoir trouvé les
vaisseaux et les avoir liés séparément dans le voisinage de l'aine, car
c'est aussi dans cette région que se trouve leur emplacement naturel,
nous irons de nouveau, de l'autre côté, sur les pourtours [de l'incision],
à la recherche du crémaster; du reste, cet organe est facile à trouver,
quand on a isolé les vaisseaux; nous le reconnaîtrons aux signes que
7 nous avons exposés à propos des autres tumeurs. Après qu'on a isolé les

4. μηδεὶς ex em.; μήτις R. — 5. ἔλλειψιν R. — Ib. κινούμενα R. — 10. μέρει κατήθεσις αὐτ. R. — 13. [οἷς] ex em.; om. R.

τοῦ κρεμασῆρος, τὸ ἐν μέσῳ σῶμα τὸ περιτόναιόν ἐσῖιν. Ὁ μὲν 8
οὖν τῆς ἐπιϐολῆς τρόπος ἐσῖὶν οὗτος· οὐδὲν μέντοι κωλῦόν ἐσῖι
πρότερον ἐντυχόντα τῷ κρεμασῆρι κατὰ τὴν ἔρευναν αὐτοῦ, εἶτα
κατὰ συντυχίαν ἄλλως ἐξ ὑσῖέρου ἐπὶ τὴν τῶν ἀγγείων εὕρεσιν
ἀφικνεῖσθαι.

μζ'. Περὶ διαφορᾶς περιτοναίου καὶ δαρτῶν σωματοπεποιημένων.

Ῥητέον δὲ ὅπως ἄν τις χειρουργῶν μὴ διαψευσθείη· οἱ γὰρ ὑμέ- 1
νες οἱ δαρτοὶ ὡς ἐπίπαν διὰ τῆς συνεχοῦς χειραψίας σωματοπε-
ποιημένοι, πολλῷ γίνονται παχύτεροι τοῦ περιτοναίου. Ἀπατῶσι 2
δὴ πολλοὺς τῶν χειρουργῶν διὰ τὸ πάχος οἰομένους τοῦτο εἶναι τὸ
περιτόναιον. Διακρινοῦμεν δὴ τοῦ περιτοναίου τοὺς δαρτοὺς χρώ- 3
ματι, συσῖάσει, περιφερείᾳ· χρώματι μὲν, ἐπειδὴ τὸ περιτόναιον
λευκόν ἐσῖιν, ἅτε νευρῶδες ὄν, καὶ τῇ κύσῖει παραπλήσιον κατὰ
τὴν χροιὰν, οἱ δὲ δαρτοὶ σφόδρα ἐνερεύθεις διὰ τὸ εὖ μάλα κατηγ-

vaisseaux et le crémaster, le corps qui se trouve au milieu est le péri-
toine. Voilà la manière dont il faut s'y prendre ; mais rien n'empêche, 8
du reste, si, en allant à la recherche du péritoine, on tombe d'abord sur
le crémaster, de passer ensuite à l'investigation des vaisseaux à mesure
qu'on les rencontre.

47. DE LA DIFFÉRENCE ENTRE LE PÉRITOINE ET LE DARTOS ÉPAISSI.

Il faut dire comment le chirurgien évitera de se tromper ; car ordinai- 1
rement le dartos s'épaissit, parce qu'on le touche continuellement avec
les mains, et ainsi il devient beaucoup plus épais que le péritoine. Cette 2
membrane induit donc en erreur beaucoup de chirurgiens, qui croient,
à cause de son épaisseur, que c'est là le péritoine. Nous distinguerons 3
donc le dartos du péritoine par sa couleur, sa consistance et sa forme : par
la couleur, car le péritoine est blanc, vu qu'il est *nerveux*, et il ressemble
à la vessie pour la couleur, tandis que le dartos est extrêmement rouge,

3. κρεμασῆρι ex em. ; κρεμασῆρί τε R. — Ib. κατὰ τὴν ἔρευναν conj. ; κατερευνᾶν R. — 4. ἀλλ' ὡς R. — Ch. 47, tit. σωματοπεποιημένων ex em. ; σωματοποιημένων R ; it. l. 7-8. — 12. καὶ ὑπὸ τῇ R.

γιῶσθαι· συστάσει δὲ, ἐπεὶ τὸ μὲν περιτόναιον πυκνόν ἐστι καὶ ναστὸν καὶ λεῖον, οἱ δὲ ἐκ τῶν ἐναντίων χαῦνοι καὶ δασεῖς καὶ ἀνώμαλοι· περιφερείᾳ δὲ, ἐπεὶ τὸ μὲν κοῖλόν ἐστιν ὥσπερ καὶ κύστις, οἱ δὲ οὐδεμίαν ἐντὸς ἔχουσι τοιαύτην εὐρυχωρίαν, ἀλλὰ ἁπλῶς περιβέβληνται.

4 *Περιελόντες οὖν οἱῳδήποτε τρόπῳ τοὺς δαρτούς· βέλτιον γὰρ περιελεῖν ἤπερ ἁπλοτομεῖν, οὐκ ὀλίγα συντελούσης τῆς περιαιρέσεως πρός τε τὴν εὔκολον εὕρεσιν τοῦ περιτοναίου καὶ τὴν ῥᾳδίαν τῶν ἀγγείων καὶ τοῦ κρεμαστῆρος διάκρισιν καὶ τὴν εὐεργεσίαν τῆς ἀποθεραπείας, ἀνοιδούντων τῶν δαρτῶν καὶ φλεγμαινόντων, εἰ μὴ περιαιρεθεῖεν, ἐμποδιζόντων [τε] πρὸς τὸν ἔναιμον τῆς ἀποθεραπείας τρόπον· τά τε ἀγγεῖα ὁπόσα ἐν τοῖς δαρτοῖς εὔρωστα εὑρεθείη, πάντα διασφίγξαντες πρὸς τὸ μὴ αἱμοῤῥαγεῖν μετὰ τὴν χειρουργίαν, μηδὲ ἐνθρομβώσεως αἴτια γίνεσθαι, [τὰ μείζονα μὲν ἀποβροχίσαντες], τὰ δὲ μικρότερα καταπείραντες εἰς αὐτὰ ἀγ-*

à cause des vaisseaux nombreux qui le recouvrent; par la consistance, car le péritoine est dense, compacte et lisse, tandis que le dartos est spongieux, rugueux et inégal; par la forme, parce que le péritoine est creux, de la même manière que la vessie, tandis que le dartos ne présente aucune cavité dans son intérieur, mais entoure tout simplement [le testicule].

4 Après avoir extirpé le dartos, de quelque manière que ce soit (il vaut mieux, en effet, l'extirper que d'y faire une incision simple, attendu que l'extirpation contribue assez fortement à faciliter la découverte du péritoine, ainsi que l'isolement des vaisseaux et du crémaster, et à rendre le traitement secondaire plus commode; car, si on n'extirpe pas le dartos, cette tunique se gonfle, s'enflamme, et forme un obstacle à la mise en œuvre de la méthode de traitement secondaire qu'on applique aux plaies saignantes), nous en viendrons à l'isolement du péritoine, après avoir obstrué tous les vaisseaux considérables qui se rencontreront dans le dartos, pour empêcher que ces vaisseaux ne donnent lieu à un écoulement de sang après l'opération, et ne deviennent la cause d'une obstruction de la plaie par des caillots, liant les plus volumineux,

3. *ἐπὶ μὲν τῶν κοίλων ἐστὶν* R. — Ib. *κύστει* R. — 10. [*τε*] ex em.; om. R. — 13-14. [*τὰ μείζονα μὲν ἀποβροχίσαντες*] conj.; om. R. — 14. *εἴσω τά* R.

*κιστρα καὶ περιστρέψαντες πολλάκις καὶ ἀποτυφλώσαντες αὐτὰ διὰ τῆς περιστροφῆς, ἐπὶ τὴν [τοῦ] περιτοναίου διάκρισιν ἐλευσόμεθα.
Χωρίσαντες οὖν αὐτὸ τῶν τε ἀγγείων καὶ τοῦ κρεμαστῆρος καὶ τοῦ* 5
ἐλυτροειδοῦς· χωρίζεται δὲ εὐκολώτατα, εἰ τύχοιεν οἱ δαρτοὶ περιῃρημένοι μέν, ὅλος [δὲ] ὁ κρεμαστὴρ ὅ τε δίδυμος μετὰ τοῦ ἐλυτροειδοῦς ἄσκυλτοι τύχοιεν εἶναι· τὸ μὲν περιτόναιον ἀνατείναντες σφόδρα τῷ ὑπηρέτῃ παραδώσομεν κρατεῖν ἐάσαντα τὸν δίδυμον, αὐτοὶ δὲ καταταξάντες εἰς τὸν ὄσχεον τὸν δίδυμον σὺν τοῖς ἀγγείοις καὶ τῷ κρεμαστῆρι, οὕτως ἐπὶ τὴν κατανόησιν ἐλευσόμεθα τοῦ περιτοναίου. Διὰ τοῦτο δὲ κατατάσσομεν πρὸ τῆς ἀποκοπῆς τοῦ πε- 6
*ριτοναίου τὸν δίδυμον εἰς τὸν ὄσχεον, ἵνα μὴ πολλαῖς ὥραις ἔξω
μένων ἐπιψύχηται. Μετὰ δὲ τὴν κατάταξιν, εἴτε ἄρα τῷ περιτοναίῳ* 7
[ὁ] ὑμὴν δαρτὸς προσηρτημένος εἴη, [εἴτε μή], χωρίσαντές τε αὐτὸν πάντων τῶν ἄλλων σωμάτων, ψηλαφήσαντές τε ἐπιμελῶς, μή τις

fixant dans les plus petits des crochets pour les tordre à plusieurs re-
prises, et les oblitérer à l'aide de cette torsion. Donc, après avoir séparé 5
le péritoine des vaisseaux, du crémaster et de la tunique vaginale (or cette séparation se fait très-facilement, pourvu qu'on ait extirpé le dartos, et que le crémaster tout entier, ainsi que le testicule, conjointement avec la tunique vaginale, n'aient pas éprouvé de tiraillements), après avoir tiré fortement en haut le péritoine, nous donnerons cette membrane à retenir à l'aide, qui laissera là le testicule (voy. p. 482, l. 8 sqq.), tandis que nous-mêmes nous placerons cet organe dans le scrotum, conjointement avec les vaisseaux et le crémaster, pour passer en-
suite à la reconnaissance du péritoine. La raison pour laquelle nous 6
plaçons le testicule dans le scrotum, avant de faire la résection du péritoine, c'est la crainte que cet organe ne se refroidisse quand il reste
dehors pendant plusieurs heures de suite. Après avoir mis le testicule 7
en place, nous séparerons le péritoine du dartos ainsi que des autres parties, qu'il y ait des adhérences entre ces deux membranes ou non, et nous explorerons soigneusement le péritoine avec la main, de peur que

1. *περιτρέψαντες* R. — 2. [*τοῦ*] ex em.; om. R. — 3. *Χωρήσαντες* R. — 4. *ἐρυτροειδοῦς* R; it. l. 5-6. — Ib. *εὐκολότατα* R. — 5. [*δέ*] ex em.; om. R. — 13. [*ὁ*] ex em.; om. R. — Ib. [*εἴτε μή*] conj.; om. R.

ἄρα ἕλιξ ἐντέρου παρωλισθηκυῖα εἰς αὐτὸν λανθάνῃ· γνωρισόμεθα δὲ τοῦτο τῇ διαυγείᾳ· πλατυνομένου γὰρ ταῖς χερσὶ τοῦ περιτοναίου, κατὰ ἐκεῖνα οὐ δυνήσεται διαυγεῖν τὰ μέρη κατὰ ἃ ἡ ἕλιξ κεῖ-
8 ται. Γνωσόμεθα δὲ τῇ ἀφῇ· ἀνώμαλον γὰρ τῷ πάχει τὸ περιτόναιον ὑποπεσεῖται, πῇ μὲν λεπτὸν ὄν, [ᾗ] τῆς ἕλικος κεχώρισται, πῇ δὲ παχύτερον, ὡσὰν καὶ τῆς ἕλικος ὑποπιπτούσης δεδιπλωμένης.

μη'. Περὶ ἀποκοπῆς περιτοναίου.

1 Εἰ μὲν οὖν παρέκειτο τὸ ἔντερον, κενὸν δὲ εἴη τὸ περιτόναιον, ἐπὶ τὴν ἀποκοπὴν χωρήσομεν τοῦ περιτοναίου· ἀποκόπτομεν δὲ μάλιστα τῆς συμμετρίας στοχαζόμενοι· εἴτε γὰρ ὀλιγώτερον τοῦ κατωλισθηκότος παντὸς ἀποκοπείη, παλιγγενεσίας αἴτιον, κεχαλασμένων τῶν χειλῶν καὶ πάροδον εὔκολον παρεχόντων τῇ κατολισθήσει τῶν ἐντέρων· εἴτε πλείω τοῦ κατολισθαίνοντος ἀποκο-

quelque anse d'intestin qui aurait glissé [dans le scrotum] ne nous ait échappé; or nous reconnaîtrons cela à la transparence du péritoine; car, si on étend cette membrane avec les mains, on ne pourra voir les par-
8 ties à travers elle dans l'endroit où se trouve l'anse intestinale. Nous reconnaîtrons encore cette circonstance au tact: en effet, le péritoine présentera une épaisseur inégale; dans tel endroit il sera mince, c'est-à-dire dans celui où il est sans contact avec l'anse intestinale, et dans tel autre il sera plus épais, attendu que l'anse intestinale s'y présente repliée sur elle-même.

48. DE LA RÉSECTION DU PÉRITOINE.

1 Si l'intestin est placé latéralement, et si le péritoine est vide, nous reséquerons cette membrane; mais nous ferons surtout attention à l'étendue de cette résection; en effet, si on retranche une portion moins considérable que toute celle qui a glissé vers le bas, la conséquence en sera la formation d'une nouvelle hernie, vu que les bords de la plaie resteront relâchés et fourniront un passage facile aux intestins qui pourraient glisser vers le bas; si, au contraire, on retranche plus que ce qui

5. [ᾗ] ex em.; om. R. — 6. ὡσανεὶ R. — Ch. 48, l. 11. πάντως R.

*πείη, ϖροσεπισπασθέντος ἐκ μέρους καὶ τοῦ κατὰ φύσιν, γίνονται
μὲν καὶ ϖάλιν κῆλαι, ϖολλάκις μὴ δυναμένων εἰς αὐτὰ συντρέχειν
τῶν χειλῶν τοῦ ϖεριτοναίου διὰ τὸ μέγεθος τῆς ἐκτομῆς, καὶ κινδυ-
νεύουσι δὲ ϖολλάκις, ὡσὰν τῶν κατὰ φύσιν σωμάτων ϖεριῃρημέ-
νων. Ἵνα οὖν μὴ ϖλανηθῶμεν τῷ μέτρῳ, δεῖ τὸ ϖεριτόναιον ἐπισπᾶ-* 2
*σθαι ϖρὸς τὸ ἐκτὸς ἐχομένους τῆς κορυφῆς αὐτοῦ· ὅταν δὲ ἄρχηται
τὰ χείλη τῆς ἐν τῷ ἐπιγασῖρίῳ διαιρέσεως ἐκτρέπεσθαι, συνακο-
λουθοῦντος τῷ ἐπισπασμῷ τοῦ ϖεριτοναίου, ἔξω τῆς διαιρέσεώς
ἐσῖιν· εἰ δὲ σφόδρα ἐκτραπείη τὰ χείλη, γινώσκειν ὅτι ϖέρα τοῦ
δέοντος ἐπεσπασάμεθα, καὶ ἐνδιδόναι ϖροσήκει. Μετὰ δὲ τὴν ἀπό-* 3
*ληψιν τὴν αὐτάρκη ἐπισῖρέφομεν· μετὰ γὰρ τὴν ἀθρόαν ἀποκοπὴν
φρίσσον τε καὶ συντρέχον εἰς ἑαυτὸ οὕτω μύει, ὡς μηκέτι μηδὲ ϖυ-
ρῆνα μήλης ϖαραδέχεσθαι. Εἰ δὲ ἕλιξ ἐντέρου κατωλισθηκέναι τύ-* 4
*χοι, ἀπὸ τῶν κενεώνων ἀρξάμενοι τοῦ ϖεριτοναίου ϖρὸς τῇ κορυφῇ
τῶν μερῶν, ἠρέμα τὴν ἕλικα εἰς τὸ βάθος ἀπωσάμενοι, τῷ τε ὑπη-*

s'est échappé, et qu'on attire, de plus, une partie de la portion du pé-
ritoine qui est restée dans son état naturel, de nouvelles hernies survien-
dront aussi, parce que les bords de la plaie du péritoine ne pourront pas
toujours se réunir à cause de l'étendue de la résection, et les malades
courront souvent du danger, parce que des parties qui se trouvaient dans
leur état naturel ont été extirpées. Afin que nous ne nous trompions 2
donc pas par rapport à la mesure, il faut attirer le péritoine vers l'exté-
rieur, en faisant attention à son sommet, et quand les bords de la plaie
des téguments du ventre commencent à se renverser, attendu que le
péritoine obéit à la traction, [ce qui doit être retranché] est arrivé hors
de cette plaie; mais, si les bords de la plaie sont fortement renversés, il
faut reconnaître qu'on a poussé trop loin la traction, et qu'on doit la
modérer. Après avoir suffisamment serré le péritoine, nous le tordons; 3
car, si on le tranche d'un seul coup, il se crispe, se rétracte sur lui-
même, et se ferme tellement, qu'il n'admet même plus le bouton d'une
sonde. Si une anse intestinale s'est échappée, il faut commencer par la 4
partie vide du péritoine, près du sommet des parties, pour repousser
doucement cette anse vers la profondeur; puis nous ordonnerons à

2. κῆλαι ex em.; κοῖλαι R. — Ib. αὐτάς R.

ῥέτῃ τοὺς δακτύλους ἀμφοτέρων τῶν χειρῶν παρακελεύσομεν τάξαι
παρὰ τὰ χείλη τῆς διαιρέσεως, καὶ περιλαβόντα τὸ ἀπωσθὲν μέ-
ρος τοῦ ἐντέρου ἀναβιβάζειν τε καὶ κατέχειν ἔνδον ὑπὲρ τοῦ μὴ
προπεσεῖν αὖθις, οὕτω τε ἐπὶ τὸ μέτρον τῆς ἀποκοπῆς ἐλευσόμεθα.
5 Εἰ δὲ προσφυὲς κατά τι μέρος τὸ ἔντερον τῷ περιτοναίῳ· γνωρί-
σομεν δὲ ἐκ τοῦ μηδαμῶς ἐκθλίβεσθαι τοῖς δακτύλοις, μηδὲ χωρί-
ζεσθαι κατὰ ἐκεῖνο τὸ μέρος τοῦ περιτοναίου δύνασθαι· τῷ μὲν
ὑπηρέτῃ κελεύσομεν διὰ ἀμφοῖν ταῖν χεροῖν συνέχειν τε τὰ χείλη
τῆς διαιρέσεως καὶ ἄνωθεν εὖ μάλα τὰ ἔντερα, ὡς μὴ δύνασθαι προ-
πεσεῖν ἄλλην ἕλικα, αὐτοὶ δὲ ἐν τοῖς λεπ7οῖς τοῦ περιτοναίου [τοῖς]
κεχωρισμένοις [τοῦ] ἐντέρου διαίρεσιν ἐμβαλόντες ἱκανὴν παραδέ-
ξασθαι δάκτυλον, καθήσομεν τὸν λιχανὸν καὶ κατὰ ἐπικόπου τοῦ
δακτύλου διελοῦμεν τὸ περιτόναιον παρὰ τὴν πρόσφυσιν τοῦ ἐν-
τέρου, προσκαταλείποντες πᾶν τὸ προσπεφυκὸς τῷ ἐντέρῳ τοῦ
6 περιτοναίου. Μετὰ τοῦτό τε καταπείραντες εἰς τὰ χείλη τοῦ περι-

l'aide de placer les doigts de ses deux mains près des bords de l'incision, de saisir la partie refoulée de l'intestin, de la remonter et de la retenir à l'intérieur, pour qu'elle ne retombe pas, et nous en viendrons ainsi à
5 déterminer l'étendue de la résection. Si l'intestin a contracté, sur quelque point, des adhérences avec le péritoine (or nous reconnaîtrons cette circonstance à ce que l'intestin ne peut, en aucune façon, être refoulé avec les doigts, ni séparé du péritoine sur le point dont il s'agit), nous ordonnerons à l'aide de contenir avec ses deux mains les bords de l'incision, et de retenir très-fortement les intestins en haut, de manière à rendre impossible la chute d'une nouvelle anse intestinale; nous-mêmes nous ferons, dans la partie mince du péritoine éloignée de l'intestin, une incision assez grande pour qu'elle puisse admettre le doigt; nous introduirons le doigt indicateur à travers cette incision, et, nous servant de ce doigt comme d'un appui, nous diviserons le péritoine parallèlement à son adhérence avec l'intestin, en laissant réunie à l'intestin
6 toute la partie du péritoine qui a contracté des adhérences avec lui. Alors nous fixerons, dans les bords de l'incision du péritoine, deux crochets

1. παρακελεύσ. conj.; παραδώσομεν R. — 2. παραλαβ. R. — 4. προσπεσεῖν R. — 5. κατὰ τὸ μ. — 10. αὐτοῖς R. — 10-11. [τοῖς] et [τοῦ] ex em.; om. R.

τοναίου δύο τυφλάγκισΊρα καὶ ἀνατείνειν ὑπηρέταις παραδόντες, αὐτοὶ τὸ ἔντερον ἀπηλλαγμένον ἤδη τοῦ περιτοναίου, συναποφέροντες αὐτῷ τὸ καταλειφθὲν ἐκ τῆς προσφύσεως, ἀπώσομεν διὰ τοῦ λιχανοῦ, ἔτι [τε] ἐγκειμένης τῆς κορυφῆς τοῦ δακτύλου, περισΊρέφειν διὰ τῶν ἀγκίσΊρων τὸ περιτόναιον ἀρξόμεθα, ἔπειτα ὑποσπάσαντες τὸν δάκτυλον, ἐπὶ πλέον τε περισΊρέψαντες τὸν ὑμένα κατὰ τὸ εἰρημένον μέρος ἀποκόψομεν.

μθ'. Περὶ τῆς μετὰ τὴν χειρουργίαν ἐπιμελείας.

1 *Μετὰ δὲ τὴν ἀποκοπὴν τοῦ περιτοναίου τῷ μὲν ὑπηρέτῃ ἀνέχειν καὶ φυλάτΊειν κατὰ χώραν τὰ ἔντερα προσΊάξομεν, αὐτοὶ δὲ τὸν δίδυμον ἀναθλίψαντες ἀναβαλοῦμεν, καὶ τὸν ὄσχεον ἐνδιπλοῦντες διὰ τοῦ παραμέσου δακτύλου, καθάπερ τοῦτο ἐπράτΊομεν κατὰ ἀρχὰς, σπογγίσαντές τε τὸν δίδυμον καὶ τὰ ἀγγεῖα καὶ τὸν κρεμασΊῆρα, ἐκθρομβώσαντές τε τὸν ὄσχεον, εἰ ἄρα τύχοι τι τοῦ αἵματος*

mousses que nous confierons à des aides pour élever les lambeaux; nous-mêmes nous refoulerons, à l'aide du doigt indicateur, l'intestin détaché désormais du péritoine, en entraînant avec lui les restes de son adhérence avec cette membrane, et, pendant que le sommet du doigt est encore placé dans la plaie, nous commencerons à tordre le péritoine avec les crochets; ensuite nous retirerons le doigt, nous tordrons encore plus fortement le péritoine, et nous reséquerons cette membrane dans l'endroit indiqué.

49. DES SOINS QU'ON DOIT PRENDRE APRÈS L'OPÉRATION.

1 Après la résection du péritoine, nous ordonnerons à l'aide de maintenir les intestins en place et en haut, tandis que nous-mêmes nous relèverons le testicule en le refoulant; avec le doigt annulaire, nous plierons le scrotum en deux, comme nous l'avions fait au commencement; nous essuierons, avec une éponge, le testicule, les vaisseaux et le crémaster; nous enlèverons les caillots du scrotum, si par hasard il s'était rassemblé du sang dans sa cavité; si, du reste, les par-

2. *αὐτό* R. — 4. [*τε*] ex em.; om. R. — Ch. 49, l. 13. *τύχοιτο τοῦ* R.

εἰς αὐτὸν συνδεδόσθαι· εἰ δὲ ἄρα ἔτι ἐπιδακρύει τὰ σώματα, καὶ
τὴν καλουμένην εἰς ὑπόρρυσιν τομὴν παραληψόμεθα, [ἣ] τις ἐμβάλ-
λεται κατὰ ἐπικόπου τῆς κορυφῆς τοῦ παραμέσου δακτύλου, τοῦ
τὸν ὄσχεον ἐκτρέποντος διὰ τῆς ἐν τῷ ἐπιγαστρίῳ διαιρέσεως·
λημνίσκον στενὸν, ἄνωθεν ἐπικειμένου τοῦ δακτύλου, ἐμβιβάσομεν
εἰς τὴν διαίρεσιν τὴν [εἰς] ὑπόρρυσιν, καὶ τὴν ἀρχὴν αὐτοῦ διὰ τῶν
δακτύλων τῆς ἀριστερᾶς χειρὸς εἰς τὸ κάτω μέρος ἐπισπασόμεθα, τὸν
δίδυμόν τε πάλιν εἰς τὴν οἰκείαν κατατάξομεν χώραν μετὰ τῶν ἐμπε-
2 φυκότων αὐτῷ σωμάτων. Μετὰ δὲ ταῦτα μότῳ ξηρῷ ταύτην πᾶσαν
παρεκπληρώσομεν τὴν ἐν τῷ ἐπιγαστρίῳ τομὴν, ἄλλοις τε μότοις
μετὰ τοῦτο διαβρόχοις ταῖς καὶ ἐπὶ ὑδροκηλῶν εἰρημέναις ἐμβροχαῖς
τὴν διαίρεσιν ἐμπλάσομεν, καὶ ἄλλοις τὸ ἐπιγάστριον ἐπιληψόμεθα,
ἐπιδήσομέν τε καὶ ἀποθεραπεύσομεν παραπλησίως ὥσπερ ἠξιοῦ-
3 μεν τοὺς ὑδροκηλικούς. Ἐπὶ δὲ τούτων ἀκριβέστερον ἕκαστα πράτ-

ties laissent encore suinter du sang, nous aurons recours à ce qu'on ap-
pelle *incision destinée à favoriser l'afflux et l'écoulement successifs*, incision
qu'on fait en prenant pour appui le sommet du doigt annulaire qui ren-
verse le scrotum à travers l'incision des téguments du ventre; nous in-
troduirons, dans l'incision destinée à favoriser l'afflux et l'écoulement
du sang, une tente longue et étroite, en appliquant le doigt dessus; nous
attirerons vers le bas, à l'aide des doigts de la main gauche, le commen-
cement de cette tente, et nous mettrons de nouveau le testicule, avec
2 les parties qui lui sont adhérentes, dans son emplacement naturel. Puis
nous remplirons de tentes sèches toute cette incision des téguments du
ventre; ensuite nous boucherons l'incision [du scrotum?] à l'aide
d'autres tentes humectées avec les embrocations que nous avons indi-
quées en parlant des hydrocèles, nous recouvrirons les parois du ventre
d'une troisième couche de tentes, et nous aurons recours à une déliga-
tion et à un traitement consécutif, analogues à ceux que nous avons re-
3 commandés à propos des malades affectés d'hydrocèle. Mais, chez les

2. [ἢ] ex em.; om. R. — 5. στενήν R. — 6. [εἰς] ex em.; om. R. Voy. l. 2. — 8. κατάξομεν R. — 8-9. τῶν ἐμπροσθεν πεφυκότων R. — 12. ἐμπλάσομεν conj.; ἐκσπάσομεν R. — Ib. ἐπιλειψόμεθα R.

τοντες, καὶ τοῖς σκέλεσιν αὐτῶν ἠρέμα συνηγμένοις ἑκατέρῳ προσ-
κεφάλαιον ὑπεμβαλοῦμεν κατὰ τὰς ἰγνύας, ὥστε ὁμοῦ μὲν ἀναῤῥεπῆ
μένειν, ὁμοῦ δὲ ἐν διαστάσει φυλάττεσθαι τὰ σκέλη, μὴ ὑποπίπτοντα
τῇ διαιρέσει. Τένοντας δὲ καὶ ὑποχόνδρια καὶ βουβῶνας λιπανοῦ- 4
μεν ἐμβροχῇ, μελικράτῳ [τε] σφόδρα διέφθῳ ποτίσομεν, ὑποστεί-
λαντες καὶ τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ μετὰ τὴν χειρουργίαν. Τῇ δὲ 5
τρίτῃ λύσομεν, ἀτμῷ τε πυριάσομεν, ἑφθῷ τε καταπλάσομεν ἄρτῳ
καὶ τὸ ἐπιγάστριον καὶ τὸν ὄσχεον· ἐχέτω δὲ μέλι ὁ ἄρτος πρὸς
τὸ μὴ ἀποξυνθῆναι. Καὶ τῇ τετάρτῃ λύσαντες καὶ καταιονήσαντες 6
πάλιν ὕδατι καταπλάσομεν, καὶ τῇ πέμπτῃ τοῖς αὐτοῖς χρησόμεθα,
εἴ τε μηδὲν ἐνοχλοίη, οἷον ἄλγημά τι, ἢ συμπάθεια, ἢ ἔμετος χολῆς,
ἀγρυπνία, ἢ πυρετος, ἐπὶ [τὰ] κηρώματα χωρήσομεν. Μετὰ δὲ τὴν 7
ἑβδόμην λύσομεν καὶ τῶν μαλακτικῶν τινα ἐμπλάστρων ἐμβαλοῦμεν.

malades dont il s'agit maintenant, nous userons d'une plus grande rigueur pour tous les détails du traitement : nous rapprocherons légèrement les jambes l'une de l'autre, et nous placerons, au-dessous de chacune d'elles, un oreiller dans la fosse poplitée, de manière à ce que les membres soient tirés en haut, qu'ils restent en même temps écartés,
et qu'ils ne se placent pas sous la plaie. Nous assouplirons la partie 4
postérieure du cou, les hypocondres et les aines avec des embrocations, nous donnerons à boire de l'eau miellée très-fortement cuite, et nous soumettrons le malade à un régime sévère le premier et le second jour
après l'opération. Le troisième jour, nous lèverons l'appareil, nous ferons 5
des fomentations à la vapeur, et nous appliquerons un cataplasme de pain cuit sur les parois du ventre et sur le scrotum; ce pain devra con-
tenir du miel, afin qu'il ne s'aigrisse pas. Le quatrième jour, nous lève- 6
rons de nouveau l'appareil, nous ferons une nouvelle fomentation avec de l'eau, et nous appliquerons un cataplasme; le cinquième jour, nous recourrons aux mêmes moyens, et, s'il ne se présente aucun symptôme fâcheux, par exemple de la douleur, quelque accident sympathique, un vomissement bilieux, de l'insomnie ou de la fièvre, nous passerons aux
emplâtres de cire. Après le septième jour, nous lèverons l'appareil, et 7
nous appliquerons quelque emplâtre ramollissant.

2. ἀναῤῥόποις R. — 5. [τε] om. R. — 11. γε R. — 12. [τὰ] om. R.

ν'. Τίνα σημεῖα τοῦ ἀκινδύνως ἔχειν τὸν κεχειρουργημένον;

1 Ἐπακολουθεῖ μὲν τοῖς ἀσφαλῶς μέλλουσι διαζῆν κατὰ τὴν πρώτην ἡμέραν ὀδύνη περὶ τὴν τομὴν ἰσχυρὰ, ἐνίοις δὲ καὶ περὶ τὴν δευτέραν, πυρετός τε ὡς ἐπίπαν τῆς πρώτης νυκτὸς ἀρξάμενος, ἐνίοις
2 δὲ περὶ τὴν δευτέραν ἡμέραν ἢ νύκτα. Ἐνδίδωσι δὲ ταῦτα περὶ τὴν τρίτην, ἢ τὴν τετάρτην, καὶ ἱδρὼς ἐπιγίνεται λυομένῳ τῷ πυρετῷ.

να'. Τίνα σημεῖα τῶν ἐπισφαλῶς ἐχόντων μετὰ τὴν χειρουργίαν;

1 Τῶν δὲ μὴ πάνυ εὐτρόπως διακειμένων [οἱ μὲν] ἐφαιμοῤῥοοῦσι μετὰ τὴν χειρουργίαν, καὶ κινδύνους δύο κινδυνεύουσι, τὸν μὲν ἐκ τῆς ῥύσεως τοῦ αἵματος, τὸν δὲ ἐκ τῆς θρομβώσεως καὶ τῶν ἐξακολουθουσῶν συμπαθειῶν· οἱ δὲ χωρὶς αἱμοῤῥαγίας ἐν συμπαθείαις
2 γίνονται νευρικαῖς. Καὶ τοῖς μὲν διὰ τὴν ῥύσιν τοῦ αἵματος κινδυ-

50. QUELS SONT LES SIGNES QUI INDIQUENT QUE L'OPÉRÉ EST HORS DE DANGER.

1 Les malades qui doivent survivre sont pris, le premier jour, ou quelques-uns aussi le deuxième, d'une douleur intense aux environs de la plaie; il survient une fièvre qui commence ordinairement la première nuit, mais chez quelques-uns aussi le deuxième jour ou la deuxième
2 nuit. Ces symptômes s'apaisent le troisième ou le quatrième jour, et il survient de la sueur à propos de la résolution de la fièvre.

51. QUELS SONT LES SIGNES QUI INDIQUENT QUE LE MALADE EST EN DANGER APRÈS L'OPÉRATION.

1 Parmi les malades qui ne sont pas dans un état tout à fait satisfaisant, il y en a qui éprouvent un écoulement de sang après l'opération, et ceux-là courent deux dangers, dont l'un tient à la perte de sang et l'autre à l'accumulation des caillots et aux accidents sympathiques qui en sont la conséquence; d'autres malades sont frappés, sans avoir eu d'hémor-
2 ragie, d'accidents sympathiques nerveux. Les malades qui courent du danger par suite de la perte de sang présentent les symptômes suivants:

Ch. 51. l. 6. [οἱ μὲν] ex em.; om. R. — Ib. ἐφαιμογοῦσιν R.

νεύουσι παρακολουθεῖ ἰσχνότης, ἀτονία, σφυγμὸς μικρὸς, φωνὴ ἀλαμπὴς, ἄκρων περίψυξις, ἱδρὼς ὀλίγος ὑπόψυχρος· τοῖς δὲ γινομένοις ἐν συμπαθείᾳ, εἴτε διὰ θρόμβωσιν, εἴτε ἄλλως παθεῖν τι ὑποπτευομένοις, παρέπεται ταῦτα περὶ δευτέραν καὶ τρίτην, ἢ καὶ ἔτι πόῤῥω· τὰ ὑποχόνδρια ὀδυνῶνται, τὸ ἐπιγάστριον αὐτοῖς πᾶν ἐντείνεται καὶ ἐμπνευματοῦται, καὶ πυρετὸς δριμύτερος ἐπακολουθεῖ, ταῖς νυξὶν ἐπιτεινόμενος μᾶλλον, καὶ κροτάφους ὀδυνῶνται καὶ τένοντα καὶ ῥάχιν ἰσχυρῶς, καὶ βουβῶνας ἔτι μᾶλλον, παραφέρονταί τε τῇ διανοίᾳ. Εἰ δὲ χαλεπώτερον ἔχοιεν, ταῦτα [τὰ] συμπτώ- 3
ματα σφοδρύνεται κατὰ λόγον τῆς χαλεπότητος, καὶ ἐκ τῶν τενόντων εἰς τοὐπίσω κατατείνονται, δυσουριῶσί τε καὶ καρηβαροῦσιν ὥσπερ νεναρκηκότες, καὶ χολημετοῦσιν, ἀγρυπνοῦσί τε καὶ ἀνόρεκτοι διατελοῦσιν. Οἱ δὲ ὀλεθρίως ἔχοντες μύουσι μὲν τῷ στό- 4

maigreur, faiblesse, petitesse du pouls, extinction de la voix, refroidissement des extrémités, sueur légèrement froide et peu abondante; ceux, au contraire, qui sont en proie à une affection sympathique, que cette affection tienne à une accumulation de caillots, ou qu'on soupçonne les malades de souffrir d'une autre manière quelconque, sont pris, le deuxième ou le troisième jour, ou même encore plus tard, des accidents suivants : les hypocondres deviennent douloureux, les parois du ventre sont tendues et gonflées par le gaz sur toute leur étendue; il survient une fièvre plus ou moins âcre, qui présente surtout des exacerbations pendant la nuit; les malades éprouvent des douleurs intenses aux tempes, à la partie postérieure du cou et à l'épine du dos, et plus en-
core aux aines, et ils sont frappés de délire. Si les malades sont dans un 3
[1] U lit cette scholie ainsi : γρ. βλιμῶδες καὶ δηλοῖ τὸ ἄγριον καὶ ὑϐρισΊικόν· παρὰ δὲ Ἱπποκράτει τὸ λελεπισμένον δηλοῖ. Le passage d'Hippocrate cité par le scholiaste se trouve *De cap. vuln.* 19; t. III, p. 252. Il faut cependant remarquer que, dans ce passage, tous les manuscrits d'Hippocrate n'ont pas βλιχῶδες, mais γλισχρῶδες, leçon que M. Littré a cru devoir conserver. Nous croyons qu'il aurait mieux valu préférer βλιχῶδες, 1° à cause de notre scholie et de la glose d'Érotien que voici : βλιχῶδες] οἱ δὲ γλισχρῶδες. Ἐπικλῆς μέν φησι τὸ λελιπασμένον μετὰ γλοιώδους ὑγρασίας ἀκαθάρτου. Εὐφορίων δὲ τὸ ἐκπεπιεσμένον καὶ κατάξηρον. Βακχεῖος δὲ καὶ Λυσίμαχος διὰ τοῦ π. γράφουσι πλιχῶδες, σημᾶναι θέλοντες τὸ ἐξεπΊυγμένον; 2° pour les raisons que nous avons développées dans le t. III (p. 693) à propos des adjectifs en ώδης, et sur lesquelles nous reviendrons encore dans la note de la p. 505, l. 9, du volume actuel. Dans la traduction, nous avons suivi l'explication d'Épiclès : 1° parce que cette explication nous semble mieux convenir à la nature des choses que celle d'Euphorion; 2° parce que, dans un fragment du poëte comique Diphilus (ap. Athen. IV, p. 132), on trouve l'adjectif analogue βλιχανώδης, et que, dans ce fragment, cet adjectif ne saurait avoir d'autre sens que celui de *graisseux*. Nous ne croyons pas, malgré cela, qu'il faille, dans notre scholie, changer λελεπισμένον en λελιπασμένον, ainsi que Cocchi le propose, car le scholiaste suit évidemment l'explication d'Euphorion; le mot κατάξηρον en est la preuve. En outre, Suidas et Hésychius expliquent aussi βλιχῶδες par λελεπισμένον. Si on regarde λελεπισμένον comme inadmissible, il vaudrait mieux le changer en ἐκπεπιεσμένον qu'en λελιπασμένον. La leçon de Bacchius et de Lysimaque n'est peut-être pas entièrement à dédaigner; πλιχῶδες devrait sans doute être dérivé de πλίξ, *à jambes écartées*, et signifierait *fortement déhiscent*. La variante βλιμῶδες semble aussi susceptible d'être défendue, pourvu qu'on se rappelle que βλιμάζειν ne signifie pas un outrage quelconque, ainsi que notre scholie semble le dire, mais une espèce particulière d'outrage, sur laquelle on peut consulter surtout Schol. Arist. *Aves*, 530, et l'*Etym. magn.* p. 200, l. 46. (Cf. aussi le *Trésor*.) Le mot βλιμῶδες signifierait donc *qui a été trop manié, trop palpé avec les mains*. — [2] Voyez, sur la signification du verbe σκαρδαμύτΊειν et les diverses manières dont on en a fait l'étymologie, *Etym. magn.* p. 490, l. 52, et p. 716, l. 3; *Etym. Gud.* p. 299, l. 9; Suidas, ἀσκαρδαμυκτί et σκαρδαμύττειν, avec les notes de Bernhardy; Hésychius, σκαρδαμύτΊειν, avec la note; Erotianus, p. 194; Schol. Aristoph. *Eq.* 292, et Eustathius, *Ad Il.* p. 82, l. 34. Conf. aussi Lobeck, *Rhematicon*, p. 247. — [3] φησὶν εἴρηται R. On lit aussi chez Pollux (IV, 205) : κέρατα ἐν τῷ τόπῳ τῶν κεράτων περὶ τὸ μέτωπον πωρώδεις ἐκφύσεις περὶ τὸ δέρμα. Le même Pollux (II, 81), ainsi qu'Hésychius, rapportent qu'on désignait aussi par le nom de κέρατα la région des muscles temporaux. — [4] διονυσιακούς U; διονυσιακούσΊους R. — [5] ὡς..... Χειρουργουμένοις om. R. — [6] U lit le commencement de cette scholie ainsi : σχόλιον. Ὅτι οἱ πρὸ τοῦ Ἡλιοδώρου χειρουργοὶ οὕτω τὸ πάθος ὠνόμασαν.

κατὰ μεταφορὰν τὴν ἀπὸ τοῦ ζῴου· ὡς γὰρ ἡ ἀλώπηξ καρπῶν ἐσῖιν ἀφανισῖική, καὶ τὸ πάθος τῶν τριχῶν, ὡς αὐτός φησιν. Οἱ δέ φασιν· ὡς ἡ ἀλώπηξ χνοώδεις ἔχει ὑπό τι χαλκιζούσας τὰς τρίχας, οὕτω καὶ ἐπὶ τοῦ πάθους γίνεται. Ὁ μέντοι Γαληνὸς ἐν τῷ πρώτῳ τῆς Κατὰ τόπους[1] οὕτως ὠνομάσθαι φησὶν[2] διότι συνεχῶς γίνεται ταῖς[3] ἀλώπηξιν.

LIVRE XLVII.

P. 211, l. 8 : *χάσκειν*] Ἀντὶ τοῦ χαίνειν.

P. 212, l. 13 : Τάχισῖα δέ] Ὅτι εἰ μὴ θεραπευθῶσιν οἱ τοιοῦτοι, περὶ τὴν δεκάτην αὐτούς φησι τελευτᾶν ὡς ἐπὶ τὸ πολύ[4].

P. 221, l. 11 : *κλιμακτῆρι*] Καὶ ἐνταῦθά τι ἱπποκράτειον ῥητὸν καὶ τὴν ἐξήγησιν αὐτοῦ τίθησιν· κλιμακτῆρα δέ φησι τὸ πλάγιον ἐν τῇ κλίμακι ξύλον ὅπερ νῦν βαθμὸν ὀνομάζουσιν[5].

P. 225, l. 1 : Ἡ *τῶν κατ' ἀγκῶνα*] Ἀπὸ τοῦ αὐτοῦ (ἀπὸ τοῦ Περὶ ἀγμῶν καὶ ἄρθρων), ἀπὸ τμήματος γ', ῥητοῦ· καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη[6].

P. 225, l. 4 : Γ*νώρισμα*] Ἀπὸ τοῦ αὐτοῦ, πρὸ τῶν πρὸ αὐτοῦ, ῥητοῦ· ἐσῖι δὲ καὶ τούτων τὰ μὲν πλεῖσῖα σμικραὶ ἐγκλίσεις[7].

P. 226, l. 1 : Ὅ*ταν οὖν*] Ἀπὸ τοῦ αὐτοῦ, ῥητοῦ· χρὴ δὲ τῶν εἴσω ὀλισθαινόντων[8].

P. 226, l. 6-7 : *τὸ γιγγλυμοειδές*] Γίγγλυμος μὲν[9] κυρίως ὁ σῖρεφόμενος γόμφος ἐπὶ τῶν θυρῶν, καὶ ἐπὶ τοῦ θώρακος οἱ σῖροφεῖς, ὁ μέντοι Γαληνὸς ἐν τῷ τμήματι α'[10] τοῦ Περὶ ἀγμῶν καὶ ἄρθρων[11] καλεῖν φησι τὸν Ἱπποκράτη γιγγλύμους πάσας τὰς κοιλότητας αἷς ἐμβαίνουσιν ἐξοχαί τινες ὀσῖῶν, ἐπειδὴ καὶ οἱ γίγγλυμοι τὰ μέν τινα μέρη κοῖλα, τὰ δὲ ἐξέχοντα κεκτημένοι, τοῖς μὲν κοίλοις ὑποδέχονται τὰς ἐξοχὰς τῶν πλησιαζόντων, τοῖς δὲ ὑπερέχουσι τὰς[12] κοιλότητας, ὥσπερ τὸ τοῦ βραχίονος κάτω[13] ἐμβαῖνον εἰς τὴν τοῦ πήχεως[14] κοιλότητα. Ἀλλὰ καὶ αἱ[15] τῆς κεφαλῆς ῥαφαὶ οὕτως ἂν κληθείησαν, ἐπειδὴ κατὰ πριονοειδεῖς ἀντεμβάσεις[16] σύγκεινται.

P. 226, l. 16 : Τὸ *δὲ μετασῖῆναι*] Ἀπὸ τοῦ αὐτοῦ, ῥητοῦ· γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο[17].

P. 227, l. 12 : *ὅταν γάρ*] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· ἢν δὲ ὑπεραιωρηθῇ, ῥηϊδίη ἡ κατάτασις[18].

P. 228, l. 1 : Ἡ *δὲ εἰς*] Ἀπὸ τοῦ αὐτοῦ, ῥητοῦ· χρὴ δὲ ὀθόναις[19] σκληρὸν εἰλιγμένον.

P. 230, l. 4-5 : *καταρτιζόμενον*] Καταρτισμὸν ὁ Γαληνός φησιν ἐν τῷ Περὶ ὅρων

[1] Cap. 2; t. XII, p. 382. R a ἐν τῷ ια'. — [2] Zonaras (in voce) donne encore une autre explication de l'étymologie d'*ἀλωπεκία*· *ἀπὸ τῆς ἀλώπεκος ἥ τις, ἔνθα ἂν οὐρήσῃ, τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην καὶ ἑτέραν ἀναβλασῖῆσαι οὐ συγχωρήσει*. — [3] *τοῖς* R. — [4] Voy. Hippocr. *Artic.* 31; t. IV, p. 146. — [5] Conf. Pollux, VII, 112, et X, 171; Hésychius et Photius (*Lexique*). — [6] Voy. *Fract.* 39; t. III, p. 546. — [7] Voy. *Fract.* 39; t. III, p. 544. — [8] Voy. *Fract.* 40; t. III, p. 546. — [9] *δέ* R. Du reste, cette scholie, jusqu'au mot *σῖροφεῖς*, paraît avoir été copiée sur l'*Etym. magn.* (p. 231, l. 30) ou sur Hésychius. — [10] *ια'* R. Voy. du reste *Comm. in fract.* I, 10; t. XVIII[b], p. 349. — [11] *ἀγμ. ἄρθρ.* U; *ἀκμ. καὶ ἄρθρ.* R. — [12] *τάς* om. RU. — [13] *κάτω*] *πέρας* R. — [14] *πήχεως*] *ὤμου* R. — [15] *αἱ* om. RU. — [16] *ἀντεμβλήσεις* R. — [17] Voy. *Fract.* 41; t. III, p. 546. — [18] Voy. *Fract.* 41; t. III, p. 548. — [19] *ὀθόνοις* R. Voy. du reste *Fract.* 42; t. III, p. 552.

μονοβίβλῳ, εἴπερ ἄρα καὶ γνήσιόν ἐσ7ιν αὐτοῦ τὸ σύγγραμμα[1], μεταγωγὴν[2] ὀσ7οῦ[3] ἀπὸ τοῦ παρὰ Φύσιν τόπου εἰς τὸν κατὰ Φύσιν. Εἴρηται δὲ ἀπὸ τοῦ ἀρτίου, τουτέσ7ιν τοῦ ὑγιοῦς[4].

P. 230, l. 9 : Κατὰ μὲν οὖν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· ἀτὰρ καὶ ἡ εἰς τὸ ἰθὺ κατάτασις[5].

P. 231, l. 3 : Ὅταν ἡ κερκὶς] Ἀπὸ τοῦ αὐτοῦ, τμῆμα γ', ῥητοῦ· τοῦτο μὲν γὰρ τὸ παχύτερόν ἐσ7ιν[6].

P. 231, l. 11 : Φανήσεται] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· δῆλον οὖν γίνεται ψαυόμενον[7].

P. 231, l. 12 : Εἰς μὲν οὖν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· οἶσιν οὖν τὸ τοιοῦτον συμβῇ, οὐκέτι ῥηΐδιον[8].

P. 232, l. 2 : Χρὴ δὲ τὴν] Ἀπὸ τοῦ ἐφεξῆς ῥητοῦ· ὡς δὲ ἐπιδεῖν χρὴ ἐν ἄρθρῳ[9].

P. 232, l. 7 : ἀγκύλην] Ὅτι ἐν τῷ προγεγραμμένῳ Περὶ ὅρων μονοβίβλῳ[10] ἀγκύλην Φησὶ γίνεσθαι[11] πάθος περὶ τοὺς ἐν τῷ τραχήλῳ, ἢ τοὺς ἐν τοῖς ἄρθροις τένοντας, ἐμποδιζομένους τῆς ἐνεργείας.

P. 239, l. 8 : κινεῖται] Κίνημά[12] ἐσ7ι τῶν κατὰ γόμφωσιν ἢ κατὰ ἁρμονίαν συγκειμένων ὀσ7ῶν ποτὲ μὲν ἐν τῷ αὐτῷ τόπῳ παρὰ Φύσιν κίνησις, ποτὲ δὲ καὶ εἰς τὸν παρὰ Φύσιν τόπον ἔκσ7ασις, ὥσπερ ἐκτοπικοῦ[13] ταρσοῦ ὀσ7αριδίων καὶ ῥάχεως σπονδύλων εἴωθε γίνεσθαι. [*Def.* 474.]

P. 243, l. 8 : μένωσιν] Δεῖ γὰρ εἰδέναι ὅτι τετραχῶς πάσχει ἡ ῥάχις, ἢ ἐντὸς νευόντων τῶν σπονδύλων, καὶ λέγεται λόρδωσις, ἢ εἰς πλάγιον, καὶ λέγεται σκολίωσις, ἢ μένουσιν οὗτοι καὶ χαυνοῦνται οἱ σύνδεσμοι, ἢ ἔξω, καὶ λέγεται κύφωσις[14].

P. 244, l. 9 : Ἀφαιρεῖται] Ἀπὸ τοῦ αὐτοῦ βιβλίου τῆς Συνόψεως τῶν χειρουργουμένων μετὰ τὸ ἥμισυ τοῦ βιβλίου, κεφαλαίου τοῦ ὁμοίου.

P. 246, l. 10 : καιρίᾳ] Τί τῆς καιρίας τὸ σημαινόμενον, κατ' ἀρχὴν τοῦ ἐφεξῆς βιβλίου παρεγράφη[15].

P. 247, l. 12 : Ἀφαιρεῖται] Ἀπὸ τοῦ ε' τῶν Χειρουργουμένων, κεφαλαίου τοῦ ὁμοίου· ἔσ7ι δὲ τελευταῖον κεφάλαιον.

[1] ἐν τῷ..... σύγγραμμα om. R. Voy. du reste 476; t. XIX, p. 461. — [2] μετὰ γῆν R; μετάγειν U. — [3] ὀσ7έου R; ὀσ7οῦν U; ὀσ7οῦ ἢ ὀσ7ῶν Pseudo-Gal. — [4] La dernière partie de notre scholie, depuis Εἴρηται, ne se trouve pas chez le faux Galien. Conf. aussi plus bas la scholie au mot καταρτισμοῦ (p. 387, l. 12). — [5] Voy. *Fract.* 43; t. III, p. 552. — [6] Voy. *Fract.* 44; t. III, p. 554. — [7] Voy. *Fract.* 44; t. III, p. 554. — [8] Voy. *Fract.* 44; t. III, p. 554. — [9] Voy. *Fract.* 44; t. III, p. 556. — [10] Cette scholie et plusieurs autres sont tirées des *Définitions médicales* attribuées à Galien. Nous les reproduisons à cause des différences de rédaction, différences qu'il sera aisé de reconnaître en comparant le texte imprimé de Galien avec nos scholies. A la suite de chacune de ces scholies nous indiquons le n° de la définition. Voyez, pour celle-ci, 399 (t. XIX, p. 444). Conf. XLV, 16, p. 22 sqq. et les auteurs cités dans la *Table des chapitres*. — [11] Ὅτι..... γίνεσθαι] Ἀγκύλην Φησὶν ὁ Γαληνός R. — [12] R omet cette scholie, ainsi que, parmi les suivantes, toutes celles qui sont empruntées aux *Déf. méd.* du faux Galien. — [13] An ἐκτοπισμῷ? Pseudo-Gal. a seulement ἐκ. — [14] Conf., outre les auteurs cités dans la table des chapitres, Gal. *Loc. aff.* IV, 6; *Comm. in aphor.* IV, 35, et VI, 46; *Comm. in art.* III, 48 (t. VIII, p. 242; t. XVII^b, p. 709; t. XVIII, p. 74 sqq. et 553), Foës. *Œcon. Hippocr.* et Gorré, *Déf. méd.* — [15] Voy. la scholie sur καιρία au commencement du livre XLVIII.

P. 249, l. 8 : Ἐξαδάκτυλοι] Ἀπὸ τοῦ γʹ τῶν Χειρουργουμένων, κεφαλαίου τοῦ ὁμοίου.

P. 251, l. 11 : Σφίγγει] Ἀπὸ τοῦ αὐτοῦ, κεφαλαίου τοῦ ὁμοίου.

LIVRE XLVIII.

P. 253, l. 1 : καιρία] Καιρίαν οἱ μὲν τὴν λεπτὴν φασκίαν ἔλεγον παρὰ τὸ κείρεσθαι· οἱ δὲ πᾶν ὁτιοῦν ὕφασμα· καῖρον[1] γὰρ τὸν μίτον ἔνιοί φασι, καὶ καιρώματα τὰ διαχωρισλικὰ τῶν σληµόνων πλέγματα, καὶ ἁπλῶς[2] καίρωμα[3] τὴν ὑφὴν ἔλεγον. Ἐντεῦθεν τὸ καιροσέων[4] τῶν εὖ ὑφασμένων φησὶν ὁ ποιητής[5].

Καιροσέων[6] δ' ὀθονέων[7] ἀπολείβεται[8] ὑγρὸν ἔλαιον·

P. 271, l. 12 : γλουτός] Γλουτοὶ μέν εἰσι τῆς ὀσφύος, τουτέσλι τοῦ πέρατος τῶν σπονδύλων, τὰ παρ' ἑκάτερα[9], κενεῶνες δὲ τὰ μετὰ τὰς νόθας πλευρὰς παρὰ τὸ κενὰ εἶναι τῆς ὀσλώδους ὑποσλάσεως[10].

P. 281, l. 10 : Τῶν ἐπιδέσμων] ἀπὸ τοῦ αὐτοῦ[11] ἐπιγεγραμμένου μονοβίβλου μετὰ τὸ προοίμιον, καὶ τὰ ἐφεξῆς πάντα μέχρι τοῦ τέλους ἀπὸ τῶν ὁμοίως ἐπιγεγραμμένων κεφαλαίων.

[1] *καιρόν* R; *καῖραι* U; *καὶ ῥάμμα* P. Voy. *Etym. magn.* p. 498, l. 8, et p. 499, l. 13; Schol. *Od.* η, 107; Suidas et Hésychius, avec les notes des éditeurs; Eustathius, *Ad Od.* p. 1571, l. 55 sqq. Du reste, il est clair que la première étymologie se rapporte à *κειρία*, et la seconde à *καιρία*. Les éditeurs du *Trésor* regardent le premier de ces deux mots comme seul légitime, probablement parce que c'est le seul qu'on trouve chez les bons auteurs, et nos manuscrits (voy. les variantes des pages 366 et 411) nous auraient permis de nous conformer à leurs préceptes. Malgré cela, la seconde étymologie ne nous a pas paru tellement inadmissible qu'elle nous défendît de supposer que nos auteurs médicaux se soient servis du mot *καιρία*. — [2] *ἅπαν* R. — [3] *καιρώματα* U. — [4] *κέρος ἐών* R; *καῖρον ἐών* U. — [5] *Od.* η, 107. — [6] *κέρος ἐών* R; *καῖρον ἐών* U. — [7] *δ' ὅθεν* P; *δ' ὀθονέ* (sic) R. — [8] *ἀπελάμπετο* RU. — [9] L'abréviateur de Rufus (p. 52) donne la même définition du mot *γλουτός*. (Voy. Orib. XXV, 1; t. III, p. 391, l. 5.) Ensuite il ajoute : *πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη καὶ ἐφέδρανα.* Pour Rufus lui-même, au contraire (p. 32), *γλουτοί*, *πυγαί* et *ἐφέδρανα* sont synonymes et signifient la même chose que *πυγαί* pour l'abréviateur. Pour ce qui regarde le sens du mot *γλουτός*, Pollux (II, 183 et 184) et le faux Galien (*Introd.* 10; t. XIV, p. 707) sont d'accord avec le vrai Rufus. Mais le scholiaste de l'Iliade de Bekker (εʹ, 66) se rapproche plus de l'abréviateur. On y lit *γλουτὸς κατὰ τοὺς παλαιοὺς τὸ σφαίρωμα τῆς κοτύλης.* — Voy. aussi les petites scholies. — En outre, Galien dit (*De oss. ad tir.* 21; t. II, p. 773; voy. Orib. XXV, 20; p. 417, l. 5) qu'on appelle aussi *γλουτός* le grand trochanter. Enfin le scholiaste de l'Iliade (*l. c.*) dérive ce mot de *γλοιὸν διὰ τὸ ἐν αὐτῷ τρυφερὸν καὶ γλοιῶδες.* — [10] On trouve la même définition avec la même étymologie chez Galien, *Comm. in art.* III, 74; t. XVIII, p. 589; *Comm. in prognost.* II, 1, et *Comm. in offic. med.* II, 16, t. XVIII[b], p. 112 et 764; Schol. Il. ε, 284 et 857; *Etym. magn.* p. 503, l. 28; Hésychius et Suidas (conf. aussi les notes des éditeurs de ces deux lexiques), et Eustath. *Ad Il.* p. 423, l. 38, et p. 547, l. 42. Voy. aussi Érotien, p. 218; Pseudo-Gal. *Introd.* 10; t. XIV, p. 705, et Rufus, *Appel. part. corp. hum.* p. 32. Les définitions de Pollux (II, 165 et 170) sont un peu différentes. — [11] Au lieu de *αὐτοῦ*, il faut probablement lire *ὡσαύτως*.

P. 321, l. 1 : Τοότῳ τινες] Ἀπὸ τοῦ αὐτοῦ λόγου μετὰ σ' σἰίχους, κεφάλαιον τηλέφιος[1] μετὰ τὸ τρίτον τοῦ κεφαλαίου.

P. 329, l. 7 : πεδίου] Πεδίον ἐσῖὶ τὸ μέρος τὸ ἐκ πέντε ὀσῖῶν συγκείμενον πρὸ τῶν δακτύλων τοῦ ποδὸς, ὡς εἶναι αὐτὸ μεταξὺ ταρσοῦ καὶ δακτύλων· τὸ δὲ ὑποκείμενον τῷ πεδίῳ λέγεται σῖῆθος ποδός.

P. 331, l. 12 : οὔτε κατὰ βουβῶνα] Ἀπὸ τοῦ αὐτοῦ λόγου, ἐκ τοῦ τέλους τοῦ λόγου.

LIVRE XLIX.

P. 336, l. 12 : λειότερον] Ἀντὶ τοῦ εὐεικτότερον, εὐγνωμονέσῖερον.

P. 338, l. 5 : κακέτων] Τοὺς[2] τῶν ξύλων σωληνισμοὺς κακέτους προσηγόρευσεν Ἱπποκράτης[3], ὡς προϊόντες ἐν τῷ κζ' κεφ.[4] τὸν Ῥοῦφον εὑρήσομεν λέγοντα τὸ Ἱπποκράτους βάθρον ἐξηγούμενον.

P. 345, l. 10 : πρίσῖεις] Ἀντὶ τοῦ πρίονες[5].

P. 347, l. 12-13 : οἱ μέν εἰσι τετράγωνοι, οἱ δὲ φακωτοί] Τετράγωνοι μέν εἰσι κοχλίαι, οὓς οἱ χρυσοχόοι διαπλάτῖουσιν ἐν τοῖς τῶν γυναικῶν λεγομένοις ψελλίοις· φακωτοὶ δὲ οἷς οἱ κναφεῖς χρῶνται πρὸς τὴν τῶν ἱματίων πίλησιν, καὶ ὅσοι ἄλλοι τῶν τεχνιτῶν πιεσῖηρίων ὀργάνων δέονται[6] παρὰ τὸ ἐοικέναι τῷ ἐδωδίμῳ φακῷ τὰς τῶν κοχλιῶν ἕλικας[7].

P. 355, l. 9 : διανταίων] Ἀντὶ τοῦ ἐναντίων.

P. 356, l. 13 : μεταληπῖικῆς] Περὶ τῆς μεταληπῖικῆς κινήσεως ἐν τῷ ζ' τῆς Περὶ χρείας μορίων[8] πολὺν ποιεῖται λόγον ὁ Γαληνὸς, διαλεγόμενος περὶ τῶν τὴν λάρυγγα κινούντων μυῶν, καί φησι ὅτι κατακέχρηνται αὐτῇ οἱ ἀρχιτέκτονες ἐν τοῖς μηχανήμασι, καὶ πρὸ ἐκείνων ἡ φύσις[9], καὶ παραδείγματι χρῆται[10] τῇ κινήσει τοῦ παρόντος μηχανικοῦ γλωτῖοκόμου, μεταληπῖικὴν λέγων εἶναι κίνησιν τὴν ἄλλων διὰ μέσων ἄλλων κίνησιν. Ἀλλὰ καὶ ὁ Ἡλιόδωρος τὸν τρόπον τῆς κατὰ μετάληψιν καὶ ἀντιμετάληψιν κινήσεως παραδίδωσι[11] μετὰ τὸ ἑξῆς κεφάλαιον[12].

[1] Nous ne savons comment il faut corriger ce mot corrompu. Il s'agit probablement du nom d'un bandage. — [2] Ὅτι τούς U. — [3] *Artic.* 72; t. IV, p. 298. Galien (dans son commentaire sur ce passage, IV, 50; t. XVIII, p. 750); Apoll. *Lex. Homer. Schol. Il.* ο, 356; Hésychius (voy. aussi les notes des divers éditeurs), Eustathius, *Ad Il.* p. 1019, l. 62, et p. 1376, l. 29, affirment que le mot κάπετος signifie proprement un *fossé*. La plupart le dérivent de σκάπτω, *je creuse*. Conf. Lobeck, *Pathol. serm. gr. elem.* p. 125. Eustathius et le scholiaste de l'Iliade assurent, en outre, que c'était un mot propre aux Argiens. — [4] Voy. ch. 26; p. 433, l. 4. — [5] R n'a pas cette glose. U om. τοῦ. Le glossateur a cru qu'il s'agissait non de poissons-scies, mais de scies, ce qu'il était, jusqu'à un certain point, en droit de faire, parce que les anciens appelaient quelquefois aussi une scie πρίσῖης. Cela ressort de Pollux, qui énumère (II, 113) le πρίσῖης (les éditions ont, il est vrai, πρίσῖις, mais les manuscrits ont, à ce qu'il paraît, πρίσῖης) entre les outils des charpentiers (τέκτονες), et d'Hésychius : πρίσῖης· ῥίνων, πρίων. Mais il nous a semblé qu'une image d'un poisson-scie était un ornement plus approprié pour une machine de réduction que celle d'une scie. — [6] καὶ ὅσοι.... δέονται om. R. — [7] παρὰ τὸ ἐοικότως κόκκοις τοῦ ἐδωδίμου φακοῦ κατ' ἀλλήλων συντεθειμένοις R. — [8] Voy. VII, 14; t. III, p. 575. — [9] ἐκείνων φησί R. — [10] χρῆσθαι R. — [11] Ἀλλὰ καί..... παραδίδωσι om. R, qui ajoute, à la place de ces mots, après κεφάλαιον, καὶ ὁ Ἡλιόδωρος περὶ αὐτοῦ (l. αὐτῆς) διαλέγεται — [12] Voy. p. 367, l. 3, et, plus bas, dans plusieurs autres passages.

P. 362, l. 12 : *ἀμβοειδές*] *Ἀντὶ τοῦ κεκυρτωμένου καὶ ὑπερέχον, τί δ' ἐστὶν ἄμβων, ἐν τοῖς ἔμπροσθεν ὁ Γαληνὸς*[1] *διεσάφησεν.*

P. 363, l. 4 : *καταστάσεσιν*] *Κατάστασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους· ταύτης δὲ ἡ μέν τίς ἐστιν εὐθύπορος, ἡ δὲ κατὰ μετάληψιν.* [*Def.* 479.]

P. 379, l. 10-11 : *Ἐξαρθρεῖ..... παραρθρεῖ*] *Ἐξάρθρημά ἐστιν ὀστοῦ κειμένου*[2] *κατὰ φύσιν ἐκ κοιλότητος βαθείας ἔκβασις εἰς τὸν τόπον τὸν παρὰ φύσιν. Παράρθρημά ἐστι παραλλαγὴ ἡ φορὰ ὀστοῦ κατὰ φύσιν κειμένου ἐξ ἐπιπολαίου κοιλότητος εἰς τὸν παρὰ φύσιν τόπον.* [*Def.* 472 et 473.]

P. 384, l. 4 : *ἐξελκυσμόν....... σφάλμα*] *Ἐξελκυσμός ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος. Σφάλμα ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν κάτωθεν ἄνω.* [*Def.* 482, 483.]

P. 387, l. 12 : *καταρτισμοῦ*] *Καταρτισμός ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου εἰς τὸν κατὰ φύσιν*[3]. [*Def.* 476.]

P. 391, l. 11 : *περίσφαλσιν*] *Περίσφαλσίς ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν περί τι προϋποκείμενον αἴτιον*[4].

P. 401, l. 14 : *ψαλίδες*] *Ἀντὶ τοῦ καμάραι· ψαλίδας γὰρ οἱ Ἕλληνες ἐκάλουν τα τοιαῦτα σχήματα διὰ τὸ ἐοικέναι τῷ κάτω μέρει τῆς ψαλίδος, ὅπερ ἐστὶ καμαροειδές· οἱ δὲ κάμαρα ἔλεγον τὰ ἀσφαλῆ κατ' ἰδίαν διάλεκτον. Καὶ ταῦτα οὖν τὰ σχήματα ὡς ἀσφαλεῖς οὔσας οἰκοδομὰς καμάρας, οἱ δὲ καὶ κάμαρα ἔλεγον*[5].

P. 404, l. 10 : *εὐθύπορος..... κατάτασις*] *Εὐθυπορός*[6] *ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους τῶν ἀρχῶν κατ' εὐθὺ ἀποδιδομένων τοῖς τῆς τάσεως αἰτίοις*[7]*· ἡ δὲ κατὰ ἀντιμετάληψίν ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους, μεταλαμβανομένων τῶν ἀρχῶν διὰ τροχιλιῶν κάτω προσδεδεμένων, ἀντιλαμβανομένων*[8] *δὲ καὶ δι' ἄλλων τροχιλιῶν ἄνω προσδεδεμένων, εἶτα ἀποδιδομένων τοῖς τῆς τάσεως αἰτίοις.* [Cf. *Def.* 479.]

P. 406, l. 1 : *ἀνάτασιν εὐθύπορον*] *Ἀνάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω τόπους, ἀποδιδομένων κατ' εὐθὺ*[9] *τῶν τῆς καιρίας*[10] *ἀρχῶν τοῖς τῆς τάσεως αἰτίοις*[11]*· ἡ δὲ κατὰ μετάληψιν καὶ κατὰ ἀντιμετάληψιν ἀνάτασις νοεῖσθαι δύναται ἀπὸ τῶν ἐπὶ τῆς κατατάσεως*[12] *εἰρημένων*[13] [Cf. *Def.* 480.]

[1] Voy. XLVII, 4; p. 221-222, d'où il résulte qu'il faut probablement lire *ἄμβη* au lieu de *ἄμβων*. Conf. aussi plus bas la scholie sur *ἀμβοειδῆ* (p. 417, l. 5). — [2] *κινουμένου* Pseudo-Gal. *Déf. méd.* 472 (t. XIX, p. 460), d'où la première partie de cette scholie est tirée. — [3] Conf. la scholie au mot *καταρτιζόμενον* (p. 230, l. 4). — [4] Toute la forme de cette définition semble prouver que le scholiaste l'a tirée de son exemplaire des *Déf. méd.* du faux Galien, bien que, dans l'état actuel de cette collection, elle ne s'y trouve pas. Elle manque aussi dans R. Voyez ce que nous avons dit, p. 536, note 12. — [5] R omet cette scholie, probablement parce que ce n'est qu'une répétition, avec de légères modifications et abréviations, de celle que les deux manuscrits avaient déjà donnée au mot *καμάραις* (p. 178, l. 7). — [6] Il faut probablement lire *Κατάτασις εὐθύπορος*. Dans le texte actuel des *Déf. méd.* du faux Galien (479, t. XIX, p. 461), d'où cette scholie est tirée, il existe probablement une lacune, d'où il résulte que le commencement de cette définition est confondu avec la fin de celle que notre scholiaste donne plus haut au mot *καταστάσεσιν* (p. 363, l. 4). — [7] *τοῖς... αἰτίοις* ex em.; *τῶν... αἰτίων* U. — [8] Il faut probablement lire *ἀντιμεταλαμβ.* — [9] *κατ' εὐθύ* ex em.; *καὶ εὐθύς* U. — [10] *καιρίας* ex em.; *παρίας* U. — [11] *τοῖς..... αἰτίοις* ex em.; *τῶν... αἰτίων* U. — [12] *κατατάσεως* ex em.; *κατὰ τάσεως* U; *καταστάσεως* Pseudo-Gal. — [13] *νοεῖσθαι εἰρημένων* U.

P. 407, l. 2 : *διάτασιν*] *Διάτασίς ἐστιν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω καὶ κάτω τόπους.* [*Def.* 481.]

P. 413, l. 1 : *χνώδακας*] *Ἀντὶ τοῦ περὶ ἄξονας ἢ κέντρα*[1].

P. 417, l. 5 : *ἀμβοειδῆ*] *Ἀντὶ τοῦ ὑπερέχουσαν*[2] · *ἄμβωνας γὰρ τὰς τῶν ὀρῶν ἔλεγον ὑπεροχάς*[3].

P. 432, l. 3 : *Ὁ θαυμασιώτατος*] *Ἀπὸ τοῦ προοιμίου τοῦ μονοβίβλου Ἐπὶ γηρὰ ἄνθρωπος*[4] · *τινὲς δὲ αὐτὸ Περὶ ἐξαρθρημάτων ἐπιγράφουσιν.*

P. 435, l. 7 : *ἐκπαλείας*] *Ἀντὶ τοῦ προπήδησις*[5].

LIVRE L.

P. 459, l. 1 : *Ἐπὶ ὧν*] *Ἀπὸ τοῦ ιδʹ τῆς Θεραπευτικῆς. Μετὰ τὸ ἥμισυ τοῦ λόγου αὐτὰ εὑρήσεις, καὶ ἐν τῷ*[6] *βιβλίῳ τῆς Συνόψεως, ἔνθα τὸ τεσσαρεσκαιδέκατον ἐπιτέμνεται.*

P. 460, l. 10 : *Τῶν ἐκ γενετῆς*] *Ἀπὸ τοῦ βʹ τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.*

P. 463, l. 13 : *Ἐκ γενετῆς*] *Ἀπὸ τῶν Ἀντύλλου Χειρουργουμένων, βιβλίον βʹ, κεφάλαιον τοῦ τρίτου μέρος*[7]. *Ὑποσπαδιαίαν δὲ λέγεσθαί φησιν αὐτὴν*[8] *ὁ Ἡλιόδωρος ἐν τῷ δʹ τῶν Χειρουργουμένων παρὰ τὸ σπᾶσθαι τὴν βάλανον.*

P. 466, l. 1 : *Ἡ τοῦ οὔρου*] *Ἐκ τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.*

P. 466, l. 5 : *Διπλόν*] *Ἀπὸ τοῦ βιβλίου τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.*

P. 469, l. 1 : *Ἑλκώσεως*] *Ἀπὸ τοῦ αὐτοῦ, κεφ. τοῦ ὁμοίου.*

P. 469, l. 10 : *Οὐ περί*] *Ἀπὸ τοῦ αὐτοῦ βιβλίου, κεφ. τοῦ ὁμοίου, συνεχὲς τοῖς πρὸ αὐτοῦ.*

P. 472, l. 1 : *Σαρκοῦται*] *Ἀπὸ τοῦ δʹ τῶν Χειρουργουμένων, κεφ. τοῦ ὁμοίου.*

P. 475, l. 1 : *Ῥαγάδες*] *Ἀπὸ τοῦ αὐτοῦ, κεφ. τοῦ ὁμοίου.*

P. 487, l. 8 : *Εἰ μὲν οὖν*] *Συνεχὲς τοῖς πρὸ αὐτῶν.*

P. 493, l. 1 : *Ἐπακολουθεῖ*] *Συνεχὲς τοῖς πρὸ αὐτῶν.*

P. 493, l. 6 : *Τῶν δὲ μή*] *Συνεχὲς τοῖς πρὸ αὐτῶν.*

P. 495, l. 6 : *Εἰ δὲ αἱμοῤῥαγοίη*] *Συνεχὲς τοῖς πρὸ αὐτῶν.*

P. 497, l. 1 : *Εἰ δὲ φλεγμαινόντων*] *Ἀπὸ τῶν αὐτῶν, μετ' ὀλίγον τῶν πρὸ αὐτῶν.*

LIVRE LI.

P. 505, l. 8 : *Γινώσκειν δέ*] *Ἀπὸ τοῦ Ἱπποκράτους τοῦ Περὶ ἑλκῶν, ῥητοῦ· ἔλαιον καὶ ὅσα μαλθώδεα καὶ ἐλαιώδεα*[9].

[1] Voy. Hésychius et le *Lexique* latin de Forcellini, *in voce*. — [2] *ὑπερέχοντι* U. Cette scholie manque dans R. — [3] Conf. Érotien, Apollonius Citiensis, *Comm. in Hippocr. de artic.* ap. Dietz, *Scholia in Hippocratem et Galenum*, t. I, p. 10; Eustathius, *in Il.* p. 522, l. 28 sqq. et p. 716, l. 34 sqq. et Foës. *Œcon. Hippocr.* in voce. Conf. aussi plus haut la scholie au mot *ἀμβοειδές* (p. 362, l. 12). — [4] Ce titre est évidemment corrompu; mais nous ne savons pas comment il faut le corriger. — [5] R n'a pas cette glose. — [6] L'indication du numéro du livre manque. — [7] Il faut probablement corriger, d'après Mai, *βιβλίον βʹ κατὰ* (*τὸ*) *γʹ μέρος*. — [8] Il faut probablement lire *ὑποσπαδίας* (ou *ὑποσπαδιαίους*)....... *αὐτούς*. — [9] Voy. Hippocrate, *Des plaies*, 2; t. VI, p. 404. Ceux qui ont écrit l'histoire littéraire de Galien ont oublié de citer, parmi ses œuvres, le commen-

P. 509, l. 13 : Ταῖς κοΐλαις] Ἀπὸ τοῦ αὐτοῦ[1] μετὰ οὐ πολὺ τῶν πρὸ αὐτῶν[2] ἐν τῷ ιε'[3] τῶν πρὸς Ἀνδρομάχον γεγραμμένων Φαρμάκων.

P. 514, l. 3 : Τῶν δὲ κυκλοτερῶν] Ἀπὸ τοῦ Ἱπποκράτους Περὶ[4] ἑλκῶν, ῥητοῦ· τῶν ἑλκέων τὰ κυκλοτερῆ[5].

P. 515, l. 6 : δεῖ γάρ] Ἀπὸ τοῦ Περὶ τῶν κατὰ κεφαλὴν τραυμάτων, ῥητοῦ· καὶ τὰ κυκλοτερέα τῶν ἑλκῶν[6].

P. 515, l. 9 : Μεγάλων] Ἀπὸ τοῦ Περὶ[7] ἑλκῶν, ῥητοῦ· τῶν ἑλκέων τὰ κυκλοτερῆ ἢν ὑπόκοιλα ᾗ[8].

P. 517, l. 4 : Καλεῖται δέ] Ἀπὸ τοῦ Τῶν ἐκτὸς παθῶν.

P. 517, l. 8 : Τὸ δὲ λοιμῶδες] Ἀπὸ τοῦ βιβλίου τῆς Συνόψεως τῶν χειρουργουμένων μετὰ τὸ ἥμισυ τοῦ βιβλίου.

P. 518, l. 6 : κελυφάνων] Ἀντὶ τοῦ κορυφῶν ἢ κελυφῶν[9].

P. 519, l. 9 : Ἄνθρακες] Ἄνθραξ εἴρηται ἀπὸ τῆς[10] τοῦ ἄνθρακος ὁμοιότητος, ὡς αὐτός φησιν ἐν τῷ β'[11] τῆς Θεραπευτικῆς.

taire sur le livre hippocratique *Des plaies*, dont nous voyons qu'Oribase nous a conservé des extraits. (Conf. plus bas les scholies aux mots *τῶν δὲ κυκλοτερῶν*, p. 541, l. 3, et *μεγάλων*, *ibid.* l. 7). Cependant ce commentaire est déjà cité par Galien lui-même. (*Comm. in art.* IV, 22; t. XVIII, p. 695.) — [1] Les mots *ἀπὸ τοῦ αὐτοῦ* se rapportent à une scholie perdue qui indiquait la source d'où l'extrait précédent d'Oribase était tiré, car aussi bien l'extrait actuel que les deux précédents sont empruntés au livre IV, *Sec. gen.* Voy. *Indication des livres et des chapitres de Galien auxquels correspondent les extraits d'Oribase.* — [2] *αὐτοῦ* R. — [3] Lisez *ζ'*. Cependant il pourrait se faire aussi que le scholiaste eût mal compté, et par conséquent écrit *ε'* au lieu de *ζ'*. — [4] *τὴν περί* R. — [5] Voy. Hippocrate, *Des plaies*, 8; t. VI, p. 406. Conf. p. 540, note 9. — [6] Voy. *Des plaies de la tête*, 13; t. III, p. 234. — [7] *περὶ τῆς περί* R. — [8] Voy. Hippocr. *Des plaies*, 8; t. VI, p. 406. Conf. p. 540, note 9. — [9] *κορυφῶν ἢ* est évidemment une répétition vicieuse de *κελυφῶν*. Du reste, le grammairien Ammonius distingue entre *κέλυφος* et *κέλυφανον* : *κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀσΊρακοδέρμων, οἷον τῶν κογχυλίων, κελύφανον δὲ ἐπὶ τῶν τραγημάτων καὶ ὀσπρίων.* Mais, en général, les auteurs ne tiennent aucun compte de cette différence. Voy. aussi Tzetzès, *Ad Lycophr.* 89. — [10] *τῆς* om. R. — [11] *ιε'* R. Voy. *Meth. med.* II, 2; t. X, p. 82.

ἘΚ ΤΗ͂Σ ΒΊΒΛΟΥ ὈΡΕΙΒΑΣΊΟΥ ΤΗ͂Σ ΠΡῸΣ ἸΟΥΛΙΑΝῸΝ ΤῸΝ ΒΑΣΙΛΈΑ ἘΚΛΟΓΑῚ ΒΟΗΘΗΜΆΤΩΝ.

α'. Περὶ κεφαλαλγίας.

Εἰ μὲν ἐν πυρετοῖς κεφαλαλγεῖν συμϐαίνει, φλεϐοτομεῖν ἐν τῇ πρώτῃ ἀνέσει ἢ τῇ δευτέρᾳ, εἰ μήτε ἡλικία, μήτε ὥρα κωλύοι, ἤ τι ἄλλο τοιοῦτον. Καὶ μᾶλλον ἀφαιρετέον, οἷς ἀφανὲς τὸ ἄλγημα ἐγένετο αἰφνίδιον οὐκ ἐπὶ εὐλόγοις αἰτίοις, οἷον αἵματος ἱκανῇ ῥύσει ἢ κοιλίας. Εἰ δὲ ὕσΊερον μετὰ ἑϐδόμην εἰσϐάλλοι ἡ κεφαλαλγία, σικυασΊέον ἀπὸ ἰνίου ἢ αὐχένος, ἢ βδέλλας προσθετέον κατὰ μηνίγγων. Παρηγορητέον δὲ καὶ τὴν κεφαλὴν ταῖς διὰ ἐλαίου ἐμϐροχαῖς κατὰ αὐτὸ ἢ πέμπτον ὄξους μετειληφότος· παρηγορεῖ δὲ καὶ τὸ ἀνηθέλαιον καὶ τὸ πηγάνινον καὶ τὸ ἀμυγδάλινον. Καταπλάσματα δὲ ἁρμόζει μετώπῳ καὶ κροτάφοις προσαγόμενα ἄρτος διὰ ὀξυκράτου καὶ ῥοδίνου, ἔσΊιν ὅτε σὺν ἀμυγδάλοις, ἢ ῥόδοις, ἤτοι ξηροῖς, ἢ ἁπαλοῖς σὺν ἡδυόσμῳ, ἢ ἀλῶν ἢ γλήχωνος μισγομένων τῷ ἄρτῳ μετὰ περσίκου φύλλων. Ποιεῖ δὲ καὶ ὤκιμον λεῖον σὺν ὄξει καὶ ῥοδίνῳ, ἢ κισσοῦ κόρυμϐοι ἐν ὄξει καὶ ῥοδίνῳ, ἢ ἕρπυλλον διὰ ὕδατος ἑψηθὲν καὶ προσλαϐὸν πύρινον ἄλευρον, ἢ καρδάμωμον φρυγὲν καὶ λεανθὲν ὄξει καὶ ῥοδίνῳ, ἢ ζύμη μετὰ ῥοδίνου, ἢ Ἶρις ξηρὰ μετὰ ὄξους. Συνεχῶς δὲ ἀλλασσέσθω ἕκαστον τούτων· ἀπρακτεῖ γὰρ χρονίσαντα. ἘπίχρισΊα δὲ μετὰ ὄξους ἀλόη, ἢ ἀμμωνιακὸν, ἢ μασΊίχη, ἢ ἄρτος κεκαυμένος, ἢ κροκόμαγμα καὶ κηκὶς ἴσα μετὰ ὄξους. Ἐπὶ δὲ τῶν ἄνευ πυρετῶν κηκὶς καὶ κροκόμαγμα μετὰ οἴνου ἐπιχρίεται, ἢ δαφνίδων ἐξάγια β' καὶ πηγάνου φύλλων Γο 𐅵, νάπυος ∠β', ἢ σμύρνης καὶ ἀλόης καὶ λιϐάνου καὶ κασΊορίου καὶ εὐφορϐίου ἴσα μετὰ ὄξους.— Μάλαγμα πρὸς κεφαλαλγίαν.] Κηροῦ ∠ιζ', ἀμυγδαλίνου ἐλαίου Γο γ', ἰοῦ ξυσΊοῦ, κιμωλίας, χαλκίτεως ἀνὰ ∠δ', κισΊήρεως ∠γ', χαλκοῦ κεκαυμένου, λεπίδος σΊομώματος ἀνὰ ∠𐅵. Ἐὰν δὲ δοκῇ σκληρότερον εἶναι, ἀμυγδαλίνῳ ἐλαίῳ μάλασσε. Πρὸς δὲ τὴν λεγομένην ἡμικρανίαν ποίει οὕτως. Τερεϐινθίνης, χαλκοῦ κεκαυμένου, κολοφωνίας, μίσυος ὠμοῦ ἐξ ἴσου· ἐμπλάσΊρῳ χρῶ.— Ἄλλο.] Νάπυος ∠δ', κηροῦ, τερεϐινθίνης ἀνὰ ∠β', ἐλαίου παλαιοῦ ∠α'.— Κατάπλασμα εἰς ἡμικρανίαν]. Δαφνίδων λείων ∠β', πηγάνου φύλλων ∠β', νάπυος ∠α'. Ὕδατι διεὶς κατάπλασσε.— Τροχίσκος ὁ διὰ τῆς θαψίας πρὸς ἡμικρανίαν.] Χυλοῦ θαψίας ∠ις', σμύρνης ∠η', ὀποπάνακος ∠ς', εὐφορϐίου ∠ς', νίτρου ∠δ', ὀποῦ παρθικοῦ ∠δ', πεπέρεως ∠β', σαγαπηνοῦ ∠β'. Λείου διὰ ὄξους καὶ χρῶ, μετὰ δὲ ἓξ ὥρας λοῦε. Εἰ δὲ βούλῃ ὑφειμένῳ χρῆσθαι,

Ch. 1, l. 3. ἐφένετο X. — 9. ἁπαλοῖς] πᾶλη X. Cf. Paul. III, 4. — 11-12. ἑρπύλλῳ... ἑψηθέντι... προσλαϐόντι X. Conf. Paul. ibid. — 27. ὑφημένως X.

κηρωτῇ ἴσῃ ἀναλαβὼν ἔμπλασσε καὶ ἔα νυχθήμερον. — Τροχίσκος ἡμικρανικὸς ὁ διὰ κανθαρίδων.] Κηροῦ ∠α', ὀξυγγίου παλαιοῦ ∠α', κανθαρίδων ∠α', σκορόδων ∠α'. Λειώσας ὁμοῦ ἀνάλάμβανε τῇ κηρωτῇ, ἐμπλάσας τε ἐπίθες ἑσπέρας καὶ ἔα διανυκτερεῦσαι, ὄρθρου δὲ ἀφελὼν τὸ φάρμακον ῥῆξον τὴν φλύκταιναν καὶ θεράπευε παρύγρῳ φαρμάκῳ. — Ἀναγαργάρισμα πρὸς κεφαλαλγίαν φλέγμα κρατούμενον περὶ κεφαλὴν κενῶσαι.] Νάπυος ἐκλελειωμένου καὶ κεχυλισμένου Γο ιδ', σ1αφίδος ἀγρίας ∠δ', πυρέθρου ∠δ', πεπέρεως ∠δ'. Κόψας καὶ σήσας μῖξον καὶ ἐν ἡλίῳ ἀνακογχυλίζου.

β'. Πρὸς ἐπιληπ1ικούς.

Σκίλλης ὀπ1ῆς τὸ ἐντὸς λεῖον καὶ ἀνίσου ἀνὰ ὀξύβαφον καὶ σελίνου ὀξύβαφα γ'. Ἐκ τούτου δίδου καρύου μικροῦ τὸ μέγεθος μετὰ ὀξυμέλιτος. Προπεριπατείτωσαν δὲ καὶ μετὰ τὸ πιεῖν, εἰ δύναιντο, ἄνω καὶ κάτω διατρεχέτωσαν. — Ἄλλο.] Φύλλα ἁπαλὰ ἐλαίας κε' μετὰ κασ1ορίου τριωβόλου σὺν ὀξυμέλιτι. Βοηθεῖ δὲ καὶ κατὰ αὐτὸ τὸ κασ1όριον. — Ἄλλο ἐπιληπτικοῖς, καὶ τοῖς περιοδικῶς σπωμένοις, ἢ εἰλεωδεῶς ὀχλουμένοις, ἢ χρονικῶς κεφαλαλγοῦσιν.] Κασ1ορίου, ἀβροτόνου, πάνακος, πυρέθρου, κρόκου ἀνὰ ∠η', πηγάνου ἀγρίου σπέρματος, σμύρνης, πεπέρεως λευκοῦ ἀνὰ ∠δ'. Λειώσας ὄξει σκιλλίνῳ καὶ πλάσας τροχίσκους δραχμιαίους δίδου ἀπυρέτοις μὲν ἐν ὀξυμέλιτι, πυρέσσουσι δὲ ἐν ἀνέσει ἢ διαλείμματι διὰ ὑδρομέλιτος ἐπὶ τρεῖς ἡμέρας Ποιεῖ καὶ ἀρθριτικοῖς, ἄγει καὶ ἔμμηνα ἐννάκις ὡς εἴρηται ποτιζόμενον. Ἐλέγχει ἐπιληπ1ικοὺς θυμιώμενα ἄσφαλτος, ἢ γαγάτης λίθος, ἢ κέρας ἐλάφειον ἢ αἴγειον, ἐσθιόμενον δὲ ἧπαρ τράγειον.

γ'. Πρὸς πιτυριάσεις.

Κιμωλίαν βρέξας ὕδατι καὶ μαλάξας καὶ προσβαλὼν νίτρον σμῆχε σεύτλου χυλῷ καὶ χρῖε. Λιβανωτὸν καὶ σμύρναν τρίψας ἐλαίῳ μετὰ ταῦτα κατάχριε σ1αφίδι ἀγρίᾳ, ἢ φρυκτῇ μετὰ οἴνου λείᾳ.

δ'. Πρὸς ἀλωπεκίας.

Ἀλκυόνιον τὸ τραχύτερον καύσας καὶ λύχνου ἐλαίῳ λειώσας ἐπίχριε. Βασιλικὰ κάρυα καύσας ἐπίχριε σὺν μέλιτι. Ἢ μῦν ζῶντα καύσας ἐπίχριε σὺν μέλιτι. Πεπέρεως, προβατείας κόπρου ξηρᾶς, ἐρυσίμου, εὐζώμου σπέρματος ἀνὰ ∠δ', ἐλλεβόρου λευκοῦ ∠γ', μυῶν ἀφόδου ∠γ'. Ἀναλάμβανε χολῇ ταυρείᾳ ἢ τραγείᾳ ἢ ὑείᾳ. Κηκῖδας καύσας λεῖον σὺν οἴνῳ καὶ ἐπίχριε. Λεπίδος σ1ομώματος λειώσας μετὰ ὄξους καὶ ἐλαίου παλαιοῦ ἐπίχριε. Καλάμου φύλλα κεκαυμένα μετὰ ἀρκείου σ1έατος διπλασίονος. Πρὸ παντὸς δὲ φαρμάκου καὶ πρὸ πάσης ῥύσεως ἀνάτριβε συνεχῶς ἤτοι νίτρῳ, ἢ βολβῷ, ἢ ἐπὶ βραχὺ κρομμύῳ, ὡς μὴ ἑλκωθῆναι, καὶ ξύρα τὸν τόπον συνεχῶς.

2. σκόρδων X, et sic sæpius. — 6. ἐκλελειωμένης καὶ κεχυλισμένης X. — Ch. 2, l. 8. ἀνήθου Aët. — 16. τρεῖς ἡμέρας Aët.; τρισὶν ἡμέραις X. — Ch. 3, l. 21. ἐλαίῳ καὶ μετὰ ταῦτα X. — Ch. 4, l. 23. τραχύτερον Aët.; τραχύτατον Paul.

ε'. Πρὸς ῥεούσας τρίχας.

Λάδανον καὶ ἀδίαντον ὃ καλοῦσι πολύτριχον, ἐπίχριε σὺν οἴνῳ καὶ μυρσινίνῳ πρὸ βαλανείου καὶ μετὰ βαλανεῖον· ἢ ἀλόην σὺν οἴνῳ μέλανι αὐσ7ηρῷ, ἢ σμύρναν καὶ λάδανον σὺν οἴνῳ καὶ μυρσινίνῳ. Ἢ σπυράθους καύσας ἐπὶ ὀσ7ράκου λείου μετὰ ἐλαίου καὶ προξυρήσας ἐπίχριε.

ϛ'. Πρὸς φθεῖρας τὰς ἐν τῇ κεφαλῇ.

Σανδαράκην μετὰ ἐλαίου, ἢ κισσοῦ χυλὸν σὺν μέλιτι, ἢ σινωπίδα μετὰ ὄξους. Ἢ κεδρίᾳ, ἢ ὑγρᾷ πίσσῃ μετὰ σ7υπ7ηρίας, ἢ δαφνίδων πιέσματι, ἢ ἐλαίῳ ῥαφανίνῳ. Εἰς δὲ τὸ ὅλον σῶμα σ7αφὶς ἀγρία σὺν ἐλαίῳ ἐπιχριομένη.

ζ'. Πρὸς ἀχῶρας.

Οἱ ἀχῶρες ἕλκη εἰσὶν ἐν τῇ κεφαλῇ γεννῶντα ὑγρασίαν μυξώδη, συμβαίνει δὲ καὶ ἐπὶ τοῦ γενείου καὶ ἐπὶ τοῦ ἐφηβαίου κατὰ τὸν τῶν τριχῶν τόπον. Χρησ7έον οὖν τούτῳ· λιθαργύρου ∠ιϛ', πηγάνου φύλλων ∠γ', σ7αφίδος ἀγρίας ∠δ', χαλκάνθου ∠β'. Μυρσινίνῳ ἐλαίῳ ἀναλαβὼν γλοιώδη ἐπίχριε.

η'. Σμήγματα πυκνοῦντα κεφαλήν.

Νίτρου ℥ α', δαφνίδων ℥ β', σ7αφίδος ἀγρίας ℥ α', σικύου ἀγρίου ῥίζης Γο ϛ'. Σμάσθω ἐν βαλανείῳ μὴ ἀλειψάμενος, κατὰ δὲ τῶν ὀφθαλμῶν κατεχέτω ὀθόνιον πολύπ7υχον ἢ σπόγγον.

θ'. Περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν.

Ἄλειμμα τὸ λεγόμενον ὑγείδιον ὅ τινες Ἀμμωνίου ἐκάλεσαν ποιοῦν πρὸς ἀρχομένας ὀφθαλμίας καὶ ἐπικαύματα καὶ κοιλώματα καὶ πρὸς πᾶν ἕλκος καὶ ὑποπύους, συγχύσεις, χημώσεις, προπ7ώσεις καὶ πρὸς τὰ χρόνια μυοκέφαλα, σ7αφυλώματα, ὀνύχια. Ποιεῖ δὲ καὶ πρὸς τὰς ὑπὸ ὑδατίδων γινομένας φλεγμονὰς, ἀνακαθαίρει τε καὶ ἀναπληροῖ καὶ ἀπουλοῖ· τοὺς δὲ μὴ δυναμένους διά τινα αἰτίαν, ἤτοι διὰ πόνον κεφαλῆς, ἢ διὰ ὀφθαλμοῦ κοιμηθῆναι ἄγει εἰς ὕπνον γεννικῶς ὡς ὑπνωτικὸν φάρμακον· χρῶ δὲ ἢ μετὰ ᾠοῦ, ἢ γάλακτος, ἢ ὕδατος μέσῃ κράσει, ἢ παχυτέρῳ. Καδμείας ∠ιϛ', ψιμυθίου ∠ϛ', κασ7ορίου ∠ϛ', νάρδου ἰνδικῆς ∠δ', σ7ίμμεως ∠μ', ἀλόης ∠ϛ', κασίας ∠δ', λεπίδος ∠ε', χαλκοῦ κεκαυμένου ∠ιϛ', ῥόδων ἄνθους ∠η', λυκίου ἰνδικοῦ ∠γ', λίθου σχισ7οῦ ∠δ' ϛ'', κρόκου ∠ϛ', μολίβδου κεκαυμένου καὶ πεπλυμένου ∠η', ὀπίου δραχμαὶ γ', ἀκακίας ∠μ', κόμμεως ∠μη', ὕδωρ ὄμβριον· δεδοκιμασμένον ἄγαν.

CH. 5, l. 3. μυρσίνῳ X, et sic semper. — CH. 9, l. 22. κασσίας X, et sic sæpius.

ι'. Πρὸς ὤτων ἀλγήματα.

Ἀλγημάτων μὲν ὄντων ἐν πυρετοῖς καταπλαστέον ὠμαῖς λύσεσιν ἐπιτιθέντα ἄνωθεν μαρσίππους ἁλῶν πεφρυγμένων, κατὰ δὲ τοὺς τῶν ἀλγημάτων παροξυσμοὺς πυριατέον σπόγγοις διὰ ὑδρελαίου μέχρις ἀπονίας· πάντων γὰρ μᾶλλον οὗτοι παρηγοροῦσιν· καὶ πάλιν καταπλαστέον, εἴς τε τὸν πόρον ἐγχυματιστέον ἔλαιον ᾧ ἐναφήψηται γῆς ἔντερα, ἢ ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας, ἢ ἀράχναι. Ἐγχυματιστέον δὲ ὑοσκυάμου σπέρμα τετριμμένον μετὰ ῥοδίνου, ἢ δαφνίδων πίεσμα, ἢ χυλῷ κονύζης, ἢ πολίου, ἢ παρθενίου μετὰ ἴσου ῥοδίνου κεχλιασμένῳ· ἢ κενταυρίου χυλὸν, ἢ χολῇ βοείᾳ μετὰ χυλοῦ ῥοιᾶς γλυκείας ἡψημένῃ· ἢ ὀπὸς μήκωνος μετὰ γυναικείου γάλακτος· ἢ χυλῷ πυρήνων ῥοιᾶς μετὰ μέλιτος. — Πρὸς ὦτα πυοῤῥοοῦντα.] Σχιστῆς, κρόκου, κηκῖδος ἴσα σὺν οἴνῳ αὐστηρῷ ἐγχυμάτιζε χλιαρῷ· πρὸς δὲ ὀδύνας μεγίστας καὶ πύον ἀμύγδαλα πικρὰ λελεπισμένα κ', ἀφρονίτρου, λιβάνου, ὀπίου ἀνὰ ∠γ', κρόκου ∠δ', χαλβάνης ∠ϛ', σμύρνης α'. Ὄξει λείου καὶ ἔνσταζε ὀδύνης μὲν οὔσης ῥοδίνῳ διεὶς, πυοῤῥοούντων δὲ οἰνομέλιτι ἢ ὀξυμέλιτι· δυσηκοΐας δὲ οὔσης ὄξει. Πρὸς δὲ σκωληκιῶντα πόρον ἔγκλυζε ἀφέψημα ἀψινθίου, ἢ κενταυρίου, ἢ πρασίου. Ἢ καππάρεως φύλλων χυλὸς, ἢ τοῦ καρποῦ, ἢ κεδρέα, ἢ ἐλλέβορος λευκὸς, ἢ οὖρον ἀνθρώπου παλαιὸν, ἕκαστον σὺν μέλιτι. — Ὑπερσαρκήματα ἐν ὠσίν.] Ἔγκλυζε νίτρῳ διὰ ὕδατος θερμοῦ. Διάψα λεπίδι χαλκοῦ μετὰ σανδαράκης ἴσοις· ἐσχαρωθέντα μέλιτι ἀνακαθαίρειν. — Θλάσεις ὤτων.] Ἄρτου θερμοῦ τὸ ἐντὸς σὺν μέλιτι ὁλμοκοπήσας κατάπλασσε· φλεγμονῆς δὲ γενομένης χόνδρῳ σὺν ὄξει ἑφθῷ κατάπλασσε. Ὕδατος ἐναποληφθέντος εἰς τὸ οὖς ἔνσταζε χυλὸν κρομμύου, ἢ διὰ καλάμου ἐκμύζα ὡς διὰ σίφωνος. Ζῴου ἐμπεσόντος εἰς ἀκοὴν ἔνσταζε πρὸς τὸ ἀναβιβασθῆναι αὐτὸ μαλάχης χυλὸν, ἢ κενταυρίου ἀφέψημα μετὰ ὄξους· ἢ ἀψινθίου χυλὸν, ἢ ὀπὸν σκαμμωνίας σὺν νίτρῳ καὶ ὕδατι θερμοῖς, ἢ νίτρον σὺν χυλῷ ἀψινθίου καὶ ὄξει, ἢ πράσου χυλὸν μετὰ μέλιτος, ἢ θεῖον ἄπυρον σὺν οὔρῳ παιδίου. Ψηφῖδος ἐμπεσούσης, ἢ μηλωτίδι ἀνάσπα διὰ ῥητίνης, ἢ ταυροκόλλης, ἢ δρώπακος. — Θλάσεις ὤτων.] Σάνδυκος, ἐλαίου ἀνὰ ℥ α', ὕδατος Γο ϛ'. Ἕψε ἕως συστῇ καὶ ἔμπλασσε. Δυσηκοΐαις αἰγὸς οὖρον καὶ χολὴν ἐγχυμάτιζε· χρονίαις ὀδύναις καὶ ἑλκώσεσιν ὤτων ἐψιλωμένου χόνδρου κυκλαμίνου χυλοῦ ἢ λινοσπέρμου μέρη δύο, μέλιτος ἀττικοῦ μέρος ἕν. Ἕψε ἕως μέλιτος σχῇ πάχος καὶ ἔνσταζε χλιαρόν.

ια'. Πρὸς τὰ τῆς ῥινὸς ἕλκη.

Διάχριε τὰς ῥῖνας τῷ ἀνδρωνείῳ τροχίσκῳ ἢ τῷ Μούσα σὺν γλυκεῖ· κεῖνται ἐν τοῖς στοματικοῖς· ἢ ψιμυθίῳ σὺν οἴνῳ, ἢ σαμίᾳ γῇ, ἢ μολίβδου σκωρίᾳ, ἢ λιθαργύρου καὶ ψιμυθίου καὶ μολίβδου σκωρίᾳ ἴσοις μετὰ οἴνου καὶ ἐλαίου, ἢ ἀμόργῃ, ἢ σανδαράκῃ μετὰ ἐλαίου. — Πρὸς σαρκώματα, ὀζαίνας, αἰγίλωπας.] Χρῶ δὲ ἐπὶ ὀζαινῶν οὕτως. Δοὺς τῷ πάσχοντι ὕδωρ καταῤῥοφῆσαι καὶ κρατεῖν ἐν τῷ στόματι ἐμφύσα διὰ σύριγγος τὸ φάρμακον. Χαλκοῦ ἐρυθροῦ ῥινήματος μέρος ἓν, ἁλῶν ἀμμωνιακῶν μέρη β', στυπτηρίας στρογγύλης μέρη γ', ὄξους δριμυτάτου μέρη ιβ'. Λειοτριβήσας ὁμοῦ καὶ βαλὼν εἰς

σκεῦος ἐρυθροῦ χαλκοῦ ἐν ἡλίῳ ξήραινε ἐν τοῖς ὑπὸ κύνα καύμασι, κινῶν ῥάϐδῳ ἐρυθροῦ χαλκοῦ ἕως ξηρανθῇ· ἀποτίθεσο δὲ ἐν κεραμαίῳ τεύχει. Ποιεῖ δὲ καὶ πρὸς νομὰς καὶ σηπεδόνας πάσας ξηρόν· ἐμπλασσόμενον δὲ μετὰ κηρωτῆς ῥοδίνης ἕλκη ἀναπληροῖ.

ιβ΄. Πρὸς πώλυπας.

Πώλυπας ἐξεσθίει προηλκωθέντας δρακοντίου ῥίζα ἐμπαστή, ἢ χυλὸς αὐτῆς ἐπιχριόμενος, κυπαρίσσου σφαιρία λειωθέντα σύκου σαρκὶ καὶ ἐντεθέντα, ἐλελίσφακος καταπαστή, ὀπὸς σιλφίου μετὰ χαλκάνθου ἢ ἰοῦ. Κυνεία λευκὴ ὄξει λειωθεῖσα καὶ ἐγχυματιζομένη ἢ καταχριομένη ποιεῖ ἄκρως. Προσέτι δὲ τῶν καυστικῶν ἐστι καὶ τοῦτο. Ἀσϐέστου ζώσης ∠β΄, χαλκίτεως ∠α΄, τρυγὸς κεκαυμένης ∠α΄, νίτρου ∠α΄. Μετὰ στακτῆς κονίας πτερῷ διάχριε.

ιγ΄. Πρὸς αἰγίλωπας.

Αἰγίλωπας ἰᾶται ἐπὶ ὧν μὴ διὰ βάθους τὸ ὀστέον ἔφθαρται μασηθέντα καὶ ἐπιτιθέμενα ἀρνογλώσσου φύλλα, ἢ ἀνθεμῖδος, ἢ μαλάχης σὺν χολῇ ταυρείᾳ. Ποιεῖ ἄριστα σμύρνα οἴνῳ λειωθεῖσα χυλώδης ὡς κολλύριον, ἢ χυλὸς αἰγίλωπος τοῦ ἐν τῷ σίτῳ, ἐπάνω τιθεμένων ὀθονίων ξηρῶν. Ἀλλασσέσθω δὲ ἕκαστον τρὶς τῆς ἡμέρας. Ποιεῖ δὲ καὶ μαλάχης φύλλα μετὰ ἅλατος μασηθέντα. Ὅταν δὲ ἀναστομωθῇ, μόνα τὰ φύλλα ποιεῖ ἄχρις ἀπουλώσεως.

ιδ΄. Πταρμικά.

Ἐλλέϐορος λευκός, ἢ καστόριον, ἢ πέπερι, ἢ στρούθιον, ἢ ὁμοῦ πάντα· οὐ χρὴ δὲ ἐμφυσᾷν, ἀλλὰ πτερῷ διαχρίειν ὡς ἐσωτάτω τῆς ῥινός. — Πλεονάζοντας πταρμοὺς παῦσαι.] Ἐγχυμάτιζε ῥόδινον, ἢ νάρδινον, ἢ γλυκὺ ἔλαιον· ὀσφραντὰ δὲ παύει πταρμὸν ἄνισον, ἢ κύμινον.

ιε΄. Αἱμοῤῥαγίας ῥινός.

Χαλκῖτιν λεάνας ἀνάλαϐε ἐλλυχνίῳ δεδευμένῳ ὕδατι, ἢ πριαπίσκῳ, καὶ ἐντίθει τοῖς μυκτῆρσιν· ἢ ᾠοῦ ὄστρακον καύσας μίσγε αὐτῷ κηκῖδος τὸ ἥμισυ καὶ ὡσαύτως χρῶ· ἢ λυκίῳ ἰνδικῷ διάψα· ἢ ὀνίδα καύσας τὴν σποδὸν ἐμφύσα· ἢ χυλίσας τὴν ὀνίδα ἔνσταζε τὸν χυλόν· ἢ μυλίτου λίθου ἐκ πυρᾶς σϐεσθέντος ὄξει τὴν ἀτμίδα ὀσφραινέσθω· τὰ δὲ ὦτα ἐμφρασσέσθω καὶ τὸ μέτωπον ἔμϐρεχε σπόγγοις ἐξ ὕδατος ψυχροῦ· ἁρμόζει δὲ καὶ διασφίγγειν τὰ ἄκρα ἀποδεσμῷ καὶ σικύαν τῷ ἰνίῳ κολλᾷν μετὰ αἵματος ἀφαιρέσεως· ἔστιν ὅτε καὶ φλεϐοτομεῖν καὶ ὀξυπαγῆ δὲ τῷ μετώπῳ ἐπιχρίειν.—Ἄλλο ἄκρως ποιοῦν.] Ῥοδοειδοῦς σκεύασμα. [Ῥοϊδαρίου καὶ] ὤχρας τὸ ἴσον ἀνεὶς ἔνσταζε εἰς τὸ ἀντικείμενον οὖς.

Ch. 15, l. 21, αὐτῷ Paul.; αὐτό X. — 24. ἔμϐρεχε Paul.; εγχε X. — 27. [Ῥοϊδαρίου καὶ] ex Aët. lat.; ῥόδου δαρίου καί Aët. gr.; om. X.

ιϛ'. Πρὸς τὰ ἐν σ7όματι αἱμασσόμενα οὖλα.

Σχισ7ῆς ∠η', λιϐάνου καὶ μασ7ίχης ἀνὰ ∠δ', πεπέρεως ∠α'. Ἀναλαϐὼν ἔμπασσε. — Πρὸς τὰ αἱμασσόμενα καὶ ῥευματιζόμενα οὖλα.] Ὠμοτάριχον ἐν χύτρᾳ καύσας λείου τὴν σποδιὰν καὶ παράπ7ου. — Ἄλλο.] Σχισ7ῆς καὶ βαλαυσ7ίου καὶ σμύρνης ἀνὰ ∠β', κηκῖδος ∠α', πεπέρεως ϛ''. Χρῶ.

ιζ'. Πρὸς παρουλίδας.

Παρουλίς ἐσ7ι φλεγμονὴ περί τι μέρος τῶν οὔλων ἥ τις μὴ λυθεῖσα ἐκπυΐσκεται, ποτὲ δὲ φλεϐοτόμῳ διαιρεθεῖσα διασ7έλλεται μότῳ, ἢ ξύσματι ὀθόνης. Χρῶ δὲ οὕτω ξηρῷ· θείου ἀπύρου, πεπέρεως, σ7υπ7ηρίας σχισ7ῆς ἴσα.

ιη'. Πρὸς τὰς τῶν οὔλων διαϐρώσεις καὶ πλάδους.

Γάλα ὄνειον, ἢ κοινὸν, ἤτοι αἴγειον, ἐλαίας φύλλων ἀφέψημα, πλατάνου φύλλων ἐν ὄξει ἡψημένων· ξηρὰ δὲ προσαπ7όμενα ἰὸς σιδήρου, κύτινοι. — Πρὸς ἐπουλίδας.] Ἐπουλίς ἐσ7ιν ἀπὸ φλεγμονῆς ὑπερσάρκωμα κατὰ τὸν ἐσώτατον γόμφιον, ἔσ7ιν ὅτε μετὰ πυρετοῦ καὶ ὀδύνης· χρείαν οὖν ἔχει κατασ7ολῆς. Χρησ7έον τοίνυν ἰῷ ξυσ7ῷ κατὰ αὐτὸν ἢ μετὰ κηκῖδος, ἢ σώρει κεκαυμένῳ, ἢ σ7υπ7ηρίᾳ πάσῃ, ἢ λεπίδι χαλκῇ κατὰ αὐτὴν, ἢ μετὰ ὄξους λειωθείσῃ ἐπὶ ἱκανὰς ἡμέρας καὶ ξηρανθείσῃ.

ιθ'. Πρὸς παρισθμίων φλεγμονὴν ἡ διὰ μόρων.

Μόρων χυλὸς κο. ιβ'. Ἕψε ἕως παχυνθῇ· εἶτα προσλαμϐάνει οἴνου αὐσ7ηροῦ ℥ α' καὶ γλυκέος κρητικοῦ, ὃν ἡμεῖς σ7αφιδίτην καλοῦμεν ἐπιχωρίως, ℥ α', μέλιτος ℥ α', σμύρνης ∠δ', κρόκου, ὀμφακίου, σχισ7ῆς ἀνὰ ∠β'. Ἕψε ἕως συσ7άσεως.— Περὶ φλεγμονῆς ἐν παρισθμίοις καὶ κιονίδι.] Εἰ μὲν ἐν πυρετῷ φλεγμαίνοι παρίσθμια καὶ κιονὶς, ἀναγαργαρίσματα ἁρμόζει διὰ ἀφεψήματος πιτύρων, ἢ ῥόδων, ἢ φοινίκων, ἢ φακῆς· ἐνδούσης δὲ τῆς φλεγμονῆς ἢ ἀκμαζούσης μικτέον αὐτοῖς τὸ μέλι ὃ ἐν ἀρχαῖς οὐ δεῖ ποιεῖν, οὐδὲ ἐν ἐπιδόσεσιν, ὡς μὴ τῇ δριμύτητι ἐφέλκεσθαι ῥεύματα. Εἰ δὲ ἐκπυηθέντα ῥαγείη, γαργαρισ7έον μελικράτῳ μετὰ φακοῦ ἀφεψήματος, ἢ ῥόδων, ἐπιμένοντας μέχρι παντελοῦς λύσεως. Ἢ σ7οματικὴν διαλύειν καὶ διδόναι γαργαρίζειν.— Πρὸς τὰ ἐν παρισθμίοις λοιμικὰ ἕλκη.] Χρησ7έον τοῖς προγεγραμμένοις, ἰδίως δὲ τῇ τε διὰ μόρων μετὰ ὕδατος θερμοῦ. Ἢ ὑδρόμελι ἔχον ἄνθος ῥόδων, ἢ κόσ7ον, ἢ ῥοῦν, ἢ ῥᾶ

Ch. 16, l. 2. Ὠμοτάριχον Paul.; Ὠμὸν τάριχον X. — 4. πέπερ X, et sic sæpius. — Ch. 18, l. 8. Post ὄνειον, supple ex Aët. et Paul. θερμὸν διακλυζόμενον. — 12. καθαυτῷ X. — 13. λειωθείσης..... ξηρανθείσης X. — Ch. 19, l. 19. παρακμαζούσης Aët. — 22. διαλύειν] διάκλυσιν Paul. — 23. τῇ ex me.; τὴν X.

ξηρὸν ἐμπασσόμενον. Πειρᾶσθαι δὲ μηδὲ ὅλως χειραπτεῖν ἢ εὐαφῶς πάνυ παράπτεσθαι. Ὤνησε δὲ καὶ ὁ ἀνδρώνειος τροχίσκος, μετὰ δὲ τοὺς ἐρεθισμοὺς τούτῳ γαργαρίζειν· γλυκείᾳ ῥίζῃ διειμένη.

κ'. Πρὸς ἄφθας.

Κηκίδων ἀφέψημα καὶ μέλιτος τὸ ἴσον ἕψε ἕως μελιτώδους συστάσεως καὶ μετὰ πάσης πρᾳότητος διάτριβε. — Ἄλλο. Ποιεῖ καὶ πρὸς τὸν λεγόμενον βάτραχον.] Ἰοῦ ξυστοῦ, κηκῖδος, λεπίδος χαλκοῦ, χαλκίτεως ἴσα. Παράπτου. Ἔστι δὲ σὺν γλυκεῖ καὶ διάκλυσμα.

κα'. Πρὸς ἀντιάδας.

Κηκῖδος ∠η', μίσυος ∠β', ἀλῶν ὀπτῶν ∠β'· ξηρῷ χρῶ. — Ἄλλο.] Ὀμφακίῳ ξηρῷ λείῳ παράπτου. — Τὸ Μούσα ἰατρεῖον πρὸς τὰ ἐν στόματι.] Σχιστῆς, ἀλόης, σμύρνης, χαλκάνθου ἀνὰ ∠ϛ', κυτίνων ∠δ', κρόκου ∠γ'. Ἔνιοι καὶ κροκόμαγμα ∠β'. Εἰ δὲ μὴ παρείη κροκόμαγμα, κρόκου ἄλλας ∠β', καὶ σμύρνης ἄλλην ∠α'. Λείου σὺν οἰνομέλιτι καὶ χρῶ οὕτως.

κβ'. Πρὸς βάτραχον ὑπογλώσσιον.

Μίσυος, ἰοῦ ξυστοῦ ἴσα ξηρά· διάτριβε τοὺς ὑπὸ τὴν γλῶσσαν τόπους. Τῶν δὲ τελείων προδιαίρει τὰς ὑπὸ τῆς γλώσσης φλέβας, κατὰ δὲ τοῦ ἀνθερεῶνος χρηστέον τῇ ἀνθηρᾷ, ἢ τῷ σφαιρίῳ, ἢ τῷ διὰ ᾠῶν παρύγρῳ.

κγ'. Στοματικὴ διάχριστος.

Ὄμφακος ἤδη διαυγάζοντος λευκῆς σταφυλῆς χυλοῦ κο. α', μέλιτος κο. α'. Ἑψήσας πρᾴως κάταγε εἰς πόσον πάχος, εἶτα μίξας σμύρνης, κασίας, ὀμφακίου, κρόκου ἀνὰ ∠β', πάλιν ἕψε ὡς σύστασιν διαχρίστου λαβεῖν.

κδ'. Στοματικὴ ἀνθηρὰ πρὸς πάντα.

Κυπέρου ∠η', σμύρνης, κροκομάγματος, σχιστῆς, ἴρεως ἀνὰ ∠β', σανδαράκης ∠γ', κρόκου ∠α'. Πάντα λεῖα μίξας χρῶ. — Τροχίσκος ὁ ἀνδρώνειος πρὸς κιονίδα.] Κυτίνων ῥοᾶς, ἀριστολοχίας ἀνὰ ∠θ', κηκίδων ∠δ' ἢ η', ἀλόης ∠δ', λιβάνου, σχιστῆς, χαλκάνθου ἀνὰ ∠δ', σμύρνης ∠β'. Λείου διὰ γλυκέος καὶ χρῶ διὰ γλυκέος. — Ὀδόν-

2. Ὤνησε Paul.; ὠνήσει X. — Ib. τοὺς ἐρεθισμούς Aët., Paul.; τοῦ ἐρεθισμοῦ X. — Ch. 22, l. 14. προδίαιρε X; προδιαιρεῖν Paul.; δίελε Aëtius. — Ib. τῆς γλώσσης Paul.; τὴν γλῶσσαν X. — 15. ἀνθηρᾷ Paul.; ἀθηρᾷ X.

των σμήγματα.] Ἀρισ7ολοχίας ῥίζης, ἐλαφείου κέρατος κεκαυμένου, μασ7ίχης ὀλίγου. Ἐνώσας χρῶ. — Πρὸς βρώματα ὀδόντων.] Βρώματι ὀδόντων ἐντίθει σ7ύρακα ἀναλαβὼν εὐφορβίῳ, ἢ πέπερι μετὰ χαλβάνης, ἢ τὸ ἐντὸς τῆς κηκῖδος μετὰ μέλιτος, ἢ ὀποπάνακα, ἢ ὀπὸν σιλφίου, ἢ τὴν διὰ δύο πεπέρεων, ἢ τὴν Φιλώνειον, ἢ θεῖον ἄπυρον μετὰ ἴσου πεπέρεως· ἐγὼ δὲ μᾶλλον πύρεθρον, ἢ σ7αφίδα ἀγρίαν ἐνθεῖναι προέκρινα μετὰ κατοχῆς. — Πρὸς ὀζοσ7όμους.] Ἅλὸς ἀμμωνιακοῦ, ἴρεως, κυπέρου ἴσα· διατρίψας ἐπὶ ἱκανὸν τὰ οὖλα διακλυζέσθω οἴνῳ εὐώδει.

κε΄. Πρὸς χείλη ἐῤῥωγότα.

Ἀμόργῃ ἑφθῇ διάχριε· ποιεῖ γὰρ τὸ δέον τάχισ7α. Ἤδη δὲ καὶ τοῦτο ὠφελεῖ· σ7έατος χηνείου, μέλιτος, τερεβινθίνης ἴσα, ῥόδων ἄνθους, ὑσσώπου, ῥοδίνου ἀνὰ βραχύ.

κϛ΄. Διάχρισμα ἀποφλεγματίζον.

Ὀριγάνου, σινάπεως, ὑσσώπου, πεπέρεως, θύμου, πυρέθρου ἴσα. Κόψας καὶ σήσας μέλιτι φυρῶν διάχριε τὴν ὑπερῴαν· ὕσ7ερον δὲ καὶ τὰ παρίσθμια νάπυος διπλοῦν.

κζ΄. Πρὸς [κό]ρυζαν, κατασ7αγμὸν καὶ κατάῤῥους.

Ἴρινον μύρον ἔνσ7αζε ταῖς ῥισίν. Ἀφλέγμαντον ἐπιτιθέναι κατὰ τοῦ μετώπου, οἷον τὴν Ἱκεσίου, ἢ τὴν ὀξηράν, ἢ τὴν Ἀθηνᾶν, ἢ τὴν βάρβαρον· ἐπιχρίειν δὲ ἔνδοθεν τοὺς μυκτῆρας λιβανωτῷ καὶ σμύρνῃ συλλελειασμένοις μετὰ οἴνου καὶ ἐλαίου ὡς ἔχειν πάχος μέλιτος. Ἢ μελάνθιον κεκομμένον ἐν ὀθονίῳ ἀποδεθὲν ὀσφραινέσθωσαν, ἢ πέπερι, ἢ κύμινον· γαργαριζέσθωσαν δὲ σκυβελίτην θερμόν, ἢ πρότροπον. Τὸ διὰ ὑσσώπου καὶ σύκων καὶ σ7ροβίλων ἀφέψημα μετὰ ἴρεως ῥοφείτωσαν. — Ἄλλο πρὸς κατάῤῥουν.] Στύρακος ∠δ΄, σμύρνης, ὀπίου, χαλβάνης ἀνὰ ∠α΄. Γλυκεῖ ἀναλαβὼν ποίει ὀροβιαῖα καταπότια καὶ δίδου εἰς κοίτην β΄ ἢ γ΄ ἢ δ΄, καὶ ἐπιῤῥοφείτω γλυκέος κεκραμένου κο. β΄. — Ἄλλο.] Ὀρμίνου σπέρματος, μήκωνος μελαίνης σπέρματος, λινοσπέρμου πεφωγμένου ἴσα μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου νήσ7ει διαμασᾶσθαι.

κη΄. Ἀρτηριακή.

Πρὸς τραχύτητα βρόγχου καὶ βῆχα διαίμους τε π7ύσεις. Ἀμύγδαλα πικρὰ λελεπισμένα κε΄, λινοσπέρμου πεφωγμένου ∠δ΄, τραγακάνθης ∠β΄, σ7ροβίλων κόκκοι λ΄, ᾠοῦ ὠπ7ημένου τὴν λέκιθον. Ἡ τραγάκανθα ὕδατι βρέχεται, τὸ δὲ ὅλον γλυκεῖ ἀναλαμβάνεται. Εἰ δὲ ἡ φωνὴ ἐγκέκοπ7αι, μέλιτι μῖξον ἀντὶ γλυκέος, μάλισ7α ἐπὶ ὧν

1. ὀλίγου ex em; ὀλίγης X. — Cн. 26, l. 15. Ἀθηνᾶν Aët., Paul.; ἀθηρᾶν X.

ἀναχθῆναί τι δεῖ. — Ἡ διὰ κωδυῶν ποικίλη.] Κωδύας μήκωνος χρονίας ρκ' βάλε εἰς ὕδατος ξεσΊια γ', καὶ ἔασον βραχῆναι ἡμέρας γ' καὶ ἕψησας ὡς λειφθῆναι τὸ τρίτον, τὰς μὲν κωδύας ῥίψον, τῷ δὲ ὕδατι μῖξον μέλιτος ξ α', καὶ ἕψησας ἕως μελιτώδους συσΊάσεως πρὸς τῷ ἐπαίρειν ἔμπασον κρόκου, σμύρνης, ἀκακίας, ὑποκισΊίδος χυλοῦ ἀνὰ ∠α'. Δίδου εἰς ὕπνον ἐκλειγμα. — Ἄλλο.] Στέατος ὀρνιθείου προσφάτου ∠γ'ς", μέλιτος κο. α'. Ἕψε κινῶν πηγάνου κλωνίοις ἕως συσΊῇ. Δίδου δὲ νήσΊεσι, καὶ μετὰ τροφὴν, καὶ εἰς νύκτα.

κθ'. Περὶ βηχός.

Ἡ βὴξ ῥευματισμός ἐσΊιν ἀρτηρίας τραχείας καὶ θώρακος· ἐὰν δὲ χρονίσῃ, καὶ πνεύμονος. Ἁρμόζει δὲ καταῤῥοφεῖν ἐπὶ αὐτῇ τὸ διὰ ὑσσώπου καὶ ἴρεως καὶ σΊροβίλων ἀφέψημα συνεχῶς. — Ἄλλο τὸ διὰ σΊύρακος.] Ἀμώμου, κασίας ἀνὰ Γο β', σΊύρακος Γο α'ς", ναρδοσΊάχυος Γο α'ς", κρόκου Γο α', πεπέρεως λευκοῦ ∠α', μέλιτος ξ α'. Δίδου κοχλιάριον. — Ἄλλο βηχικὸν πραότερον.] Μέλιτος Γο γ', βουτύρου προσφάτου Γο γ', κυμίνου ∠γ', λινοσπέρμου ∠β'. Προαπαφρίσας τὸ μέλι μίγνυε τὸ βούτυρον μετὰ τῶν λοιπῶν καὶ πάλιν ἕψε ὁμοῦ. — Βῆχα ξηρόν.] Βῆχα ξηρὸν ἰᾶται ὕδατος ζέοντος καταῤῥόφησις· διὰ παχύτητα γὰρ φλέγματος μὴ ἀνάγοντες τοῖς ὑγραίνουσι ποσῶς βοηθοῦνται. — Πρὸς βῆχας καὶ φθίσεις ἰσόσΊαθμος.] Φύλλου, πετροσελίνου, ὑσσώπου, ῥόδων ξηρῶν, ἀνίσου, ὀπίου, κρόκου, κόσΊου, ὑοσκυάμου σπέρματος, σμύρνης τρωγλοδύτιδος, ναρδοσΊάχυος, ἴρεως ἀνὰ ∠α', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις κυάμου μέγεθος εἰς νύκτα.

λ'. Δυσπνοϊκοῖς, ἀσθματικοῖς, ὀρθοπνοϊκοῖς.

Κατάπλασμα διὰ σύκων καὶ αἰρίνου ἀλεύρου καὶ κριθίνου ἔχον καὶ ῥητίνην καὶ κηρὸν καὶ μέλι· ἐμπασσέσθω δὲ αὐτῷ καὶ ἶρις καὶ μάννα. Οὐκ ἄχρησΊος δὲ καὶ ὠμήλυσις μετὰ ῥητίνης καὶ κηροῦ καὶ ἴρεως καὶ μάννης. Ἀσθματικοῖς πόμα δίδοται πολίου, ἀβροτόνου, κασΊορίου, χαμαιπίτυος, ἀμμωνιακοῦ θυμιάματος ἴσα. Μέλιτι ἀναλαβὼν δίδου κυάμῳ ἴσον. Ἔδοσάν τινες ἀφρονίτρου κοχλιάριον α' ἐν τρισὶ κυάθοις μελικράτου. ΚασΊορίου, πεπέρεως, ἀμμωνιακοῦ θυμιάματος, ἀφρονίτρου ἴσα. Δίδου ἐν μελικράτῳ ∠α'. — Ἄλλο.] ΚασΊορίου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ∠η', πεπέρεως κόκκους μ'. Γλυκεῖ ἀναλαβὼν δίδου κυάμῳ ἴσον σὺν μελικράτῳ κυάθοις γ'. — Ἄλλο.] Σκίλλης ὀπΊῆς Γο ϛ', σΊρουθίου Γο β', μέλιτος ℥ α'. Δίδου μύσΊρου πλῆθος νήσΊει ἐκλείχειν. — Ἄλλο δυσπνοϊκοῖς.] Σινάπεως ∠α', νίτρου ἀφροῦ ∠γ', ἐλατηρίου ἡμιωβόλιον. Λεάνας ὕδατι πλάσσε τὸ πᾶν εἰς καταπότια, δίδου δὲ β' ἐπὶ ἡμέρας β' πρωῒ καὶ δείλης· καθαίρονται γὰρ ἀλύπως. Καὶ ἐν παροξυσμῷ μὲν δοθὲν δυσπνοοῦσιν αὕτη καταπαύει τὴν

4. τό X. — Ib. ἔμπλασον X. — 5. ἐκλειγμα Aët.; ἔλιγμα X, et sic fere semper. — Ch. 30, l. 20. αἰρίνου ex em.; ἐρίνου Aët.; ἰρίνου X, Paul. — 21. ἐμπασσέσθω Aët., Paul.; ἐμπλ. X. — Ib. μάννη X 2ᵉ m. — 24 et 27. κυάμου X. — 31. αὐτή X.

διάθεσιν, ἐξ ἐπιμονῆς δὲ καὶ λύει διδόμενον παρὰ δυσὶν ἡμέραις τοῖς ἰσχυροτέροις. Ἐπὶ δὲ τῶν πνιγομένων δίδου ἀφρονίτρου ∠γ' μετὰ ὑδρομέλιτος κυ. γ'. Καὶ μετὰ καρδάμου ἐνίοτε ἡ καρδαμώμου παραχρῆμα βοηθεῖ. Ποιεῖ ἡ δύναμις καὶ ἐπὶ ἰσχιαδικῶν. Ἀψινθίου, θείου ἀπύρου ἴσα. Κόψας καὶ ἐκλεάνας δίδου μετὰ μέλιτος.

λα'. Περὶ αἱμοπτοϊκῶν.

Αἱμοπτοϊκοῖς δίδοται χυλὸς πρόσφατος πολυγόνου, ἢ ἀρνογλώσσου, ἢ βάτου, ἢ χηλίδων, ἢ ὠκίμου, ἢ ἡδυόσμου κατὰ ἰδίαν μετὰ ὄξους βραχέος. Ἢ ῥᾶ ποντικὸν λεῖον ἐμπάσσειν τῷ ποτῷ, ἢ σάμιον ἀστέρα, ἢ λημνίαν σφραγῖδα μετὰ τοῦ σαμίου, ἢ κοράλλιον, ἢ ἐλαίας ἡψημένης χυλὸν, ἢ ἀκακίαν, ἢ ὑποκιστίδα, ἢ βαλαύστιον, ἢ πράσιον, ἢ ῥοῦν, ἢ κηκῖδα λείαν, ἢ ἐρυθρόδανον, ἢ κόμμι, ἢ τραγάκανθαν μετὰ μήκωνος μελαίνης , ἢ πυτίαν λαγωοῦ, ἢ ἐλαφείαν, ἢ μοσχείαν, ἢ πράσου σπέρμα ὅσον τοῖς τρισὶ δακτύλοις κατασχεῖν μετὰ ἴσου μήκωνος σπέρματος, ἢ ὄμφακος ξηροῦ κοχλιάριον.— Τροχίσκος ὁ διὰ κοραλλίου.] Λιβάνου ἄῤῥενος ∠η', γῆς σαμίας, βαλαυστίων, κοραλλίου ἀνὰ ∠δ', ἀμύλου, λημνίας σφραγῖδος ἀνὰ ∠β', ὀπίου, ὑοσκυάμου σπέρματος ἀνὰ ∠α'. Ἀναλάμβανε χυλῷ ἀρνογλώσσου. — Αἱμοπτοϊκοῖς.] Κοραλλίου, σαμίου ἀστέρος ἴσα. Δίδου κοχλιάρια γ' μετὰ ὀξυκράτου κυάθους γ' κατὰ μέρος. — Ἡ διὰ ἰτεῶν.] Κηροῦ, πιτυίνης, πίσσης, ἀσφάλτου ἀνὰ χ α', μελαντηρίας, χαλκίτεως, χαλκάνθου, μίσυος, ψιμυθίου, κηκίδων, ἰοῦ ξυστοῦ, κυτίνων, ῥοὸς, σχιστῆς στυπτηρίας καὶ στρογγύλης ἀνὰ Γο γ', λεπίδος Γο γ', ὄξους κο. ϛ', ἐλαίου τὸ ἀρκοῦν, ἰτέας φύλλων ἁπαλῶν χ α'. Ἑψήσας ἐν ὄξει τὰ φύλλα καὶ ἐκθλίψας ῥίψον καὶ λείου τὰ ξηρὰ ἐν αὐτῷ ἕως ὅλον ἀναλωθῇ, εἶτα ἐπίβαλλε τὰ τηκτὰ ἐν τῇ θυίᾳ· ἐπιτίθει δὲ τοῖς αἱμοπτοϊκοῖς κατὰ τοῦ θώρακος καὶ τῶν μεταφρένων· ἔτι δὲ καὶ ἐνάρθροις καὶ πρὸς παλαιὰ ἕλκη καὶ καταγματικὰ, πρός τε κεφαλαλγίας, ὀφθαλμῶν ῥευματισμόν. Ἔστι δὲ καὶ ἔμμοτος ἀγαθὴ, τὸ δὲ ὅλον ξηραντικὴ καθέστηκεν. — Ἡ διὰ αἰρῶν ἀναξηραντικὴ ποιοῦσα καὶ πρὸς σπλῆνα καὶ χοιράδας μαλάσσουσα.] Πίσσης χ β', κηροῦ Γο η', τερεβινθίνης ἢ πιτυίνης Γο θ', ἀσφάλτου Γο β', αἰρίνου ἀλεύρου ξ α' ὅ ἐστιν Γο ιδ', ἐλαίου παλαιοῦ Γο ε', οἴνου ὀλίγον.

λβ'. Πρὸς φθισικούς.

Φθισικοῖς ἔκλειγμα.] Μέλιτος ἀττικοῦ χ α', φοινίκων Γο δ', σταφίδων λιπαρῶν Γο β', στύρακος Γο α', κρόκου, ἴρεως, ὑοσκυάμου σπέρματος, τραγακάνθης ἀνὰ ∠δ', στροβίλων ∠ϛ', ἀμύλου Γο α' s''. — Ἄλλο.] Μέλιτος ξ α', οἴνου σκυβελίτου ξ α'. Ἕψεται ὁμοῦ μέχρι συστάσεως κινούμενον γλυκυῤῥίζης κλάδῳ, εἶτα μίγνυται σμύρνης ὀβολὸς, κρόκου ὀβολοὶ δύο. Δίδοται νήστει κοχλιάρια β'. — Ἄλλο κάλλιστον.] Σκίλλαν ὀπτήσας ἕως ἀνθρακώσεως τῶν ἔξω λεπισμάτων, εἶτα τὸ ἐγκάρδιον αὐτῆς λείου μιγνὺς τῷ ἐγκαρδίῳ αὐτῆς μέλιτος μέρη ϛ'. Δίδου νήστει. — Ἄλλο κάλλιον.] Ὀρόβινον

Ch. 32, l. 29. ἕψηται X. — 32-33. λειοῦν μιγνύντα τὸ ἐγκάρδιον αὐτῆς X.

ἄλευρον χυλῷ σκίλλης ἀναλαβὼν ξήραινε, ἐν δὲ τῇ χρήσει κόψας τοὺς ἀρτίσκους μέλιτι μιγνὺς πρόσφερε νήσΊει. — Ἄλλο.] Βουτύρου προσφάτου, τερεβινθίνης, μέλιτος ἴσα. Δίδου νήσΊει. — Ἄλλο.] Ὀρόβου, ἴρεως, γλυκυῤῥίζης, ἀμυγδάλων πικρῶν ἴσα. Μέλιτι ἀναλαβὼν δίδου. Ἡ διὰ κωδυῶν μετὰ τροφὴν δίδοσθαι ἁρμόζει, ἀναγέγραπΊαι δὲ ἐν τοῖς πρὸς κατάῤῥουν. — Ἡ διὰ πρασίου.] Πρασίου κόμης ⅄ α′ ἕψεται ἐν ὕδατος κυάθοις ϛ′, καὶ ὅταν δὴ τὸ τρίτον λειφθῇ τοῦ ὕδατος, μίγνυε αὐτῷ μέλιτος ℥ α′, καὶ ἕψε ἕως μελιτώδους συσΊάσεως. Ἡ δόσις κοχλιάρια β′ ἢ γ′. Ποιεῖ δὲ ἐπὶ τῶν φθισικῶν καλῶς πολλὰ τῶν ἐν τοῖς βηχικοῖς καὶ πρὸς κατάῤῥους ἀναγεγραμμένα.

λγ′. Περὶ ἐμπυϊκῶν.

Ἐμπυϊκοὶ καλοῦνται οἷς ἂν ἀπόσΊημα γενόμενον ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ὑμένι συῤῥαγῇ· κοινότερον δὲ καὶ οἷς ἀπὸ ἄλλου τινὸς μέρους τοῦ θώρακος ἀναφορὰ ὑγροῦ γίνοιτο ἐκ συῤῥήξεως ἀποσΊήματος. Τοῖς οὖν ἀνάγουσι πύον ἁρμόζει ἃ καὶ τοῖς φθισικοῖς, καὶ μάλισΊα τὸ διὰ ὀρόβων. Ἔκλειγμα ἀνακαθαῖρον ἐμπυϊκούς. Καρδαμώμου ∠η′, σαγαπηνοῦ ∠δ′, σμύρνης ∠α′, κασΊορίου ∠β′, ὀπίου ∠β′, πεπέρεως λευκοῦ ∠α′. Ἐν ὕδατι πλάσσε τροχίσκους ἄγοντας ∠γ′, καὶ δίδου ἕνα μετὰ ὕδατος. — Τὸ διὰ ὀρόβου.] Ὀρόβου πεφωγμένου καὶ ἐρηριγμένου ∠η′, κωναρίων ∠η′, ἀμύλου ∠η′, πεπέρεως ∠δ′, πηγάνου χυλοῦ ∠α′, μέλιτος ἀπέφθου. Κοινότερον δὲ ἁρμόζει τὰ ἐπὶ τῶν φθισικῶν. — Τὸ μέγα διὰ πρασίου.] ΝαρδοσΊάχυος Γο α′, πεπέρεως λευκοῦ Γο α′, πρασίου χυλοῦ Γο α′, μέλιτος ℥ α′, οἴνου ἀμιναίου ℥ α′. Τὸν χυλὸν σὺν τῷ οἴνῳ καὶ τῷ μέλιτι ἕψε καὶ σύσΊασιν ἔχοντι ἐπίπασσε τὰ ξηρὰ λεῖα.

λδ′. Πρὸς περιπλευμονικούς.

ΠροποτισΊέον τοὺς περιπλευμονικοὺς σύκων ἀφεψήματι μετὰ ὑσσώπου, ἢ ἴρεως ἀφεψήματι, ἢ μελικράτῳ ἴριδος λείας ἐμπασσομένης· ἔσΊω δὲ τῆς ἴρεως κοχλιάρια β′. Ἐπιτιθέσθω δὲ κατὰ ὅλου τοῦ θώρακος καὶ τῶν πλευρῶν κυπρίνην κηρωτὴν ἔχουσαν ἴρεως ἐμπεπασμένην, ἢ κηρωτὴν διὰ πηγανίνου ἐλαίου καὶ ἴρεως ξηρᾶς, ἢ τὸ διὰ κηροῦ καὶ ῥητίνης, μυελοῦ τε καὶ βουτύρου καὶ ὑσσώπου καὶ ἴρεως ξηρᾶς καὶ ναρδίνου μύρου ἴσων.

λε′ Περὶ πλευρίτιδος.

Πλευρῖτίς ἐσΊι πυρετὸς ὀξὺς καὶ συνεχὴς ἐπὶ φλεγμονῇ τοῦ ὑπεζωκότος τὰς πλευρὰς ὑμένος. Ἔξωθεν οὖν ἐπιτίθεται αὐτοῖς ἐν ἀρχαῖς ἔριον ἐλαίῳ πηγανίνῳ βραχὲν, ἢ ἔριον τεθειωμένον ἐμβραχὲν, ἢ ἔριον ἐκ πισσελαίου ἐμπεπασμένου βραχέος θείου·

6. ὕδατι κυάθων X. — Ib. δέ X. — Ch. 33, l. 15. ἠριγμένου X. — Ch. 34, l. 21. μελικράτου ἢ ἴριδι λεία ἐμπασσομένη X. Cf. Aët., Paul. — Ch. 35, l. 28. ἔρειον τὸ ἐσθιόμενον ἐνβραχέν X. — Ib. ἐμπεπλασμένου X.

μετὰ δὲ διατρίτον κατάπλασμα γῦρις μετὰ λινοσπέρμου καὶ μέλιτος καὶ πηγανίνου ἐλαίου· ἔστω δὲ πάνυ κοῦφον καὶ λαγαρόν· ἢ τὸ [διὰ] αἰρίνου ἀλεύρου μετὰ κηροῦ καὶ ἀσφάλτου καὶ μέλιτος καὶ ἐλαίου. Δεῖ δὲ μιγνύειν τοῖς καταπλάσμασι πυρέθρου, ἢ νάπυος, ἢ κάχρυος, ἢ καρδαμώμου. — Ἔνεμα πλευριτικοῖς.] Ἔλαιον πηγάνινον ἔχον τερεβινθίνης καὶ βουτύρου. — Διὰ στόματος.] Διὰ στόματος δὲ ψηφία μέλιτος καθέφθου καταπινέτωσαν. — Ἔκλειγμα.] Ἀμυγδάλων πικρῶν, λινοσπέρμου, στροβιλίων, ἀμύλου ἴσον μετὰ μέλιτος ἀπέφθου. Εἰ δὲ ἀνὰ κύαθον μίξαις, πρόσβαλε πεπέρεως κόκκους λʹ, σμύρνης ∠βʹ, κρόκου ∠αʹ. Λείου καὶ ἀναλάμβανε μέλιτι ἀπέφθῳ ℥ αʹ. Προσθείη δὲ ἄν τις καὶ πεπέρεως κόκκους ιεʹ. — Ἀντίδοτος πλευριτικὴ ἐπὶ χρονισάντων]. Δαφνίδων ∠ηʹ, πηγάνου ἀγρίου σπέρματος ∠ηʹ, ἀριστολοχίας μακρᾶς ∠δʹ, σμύρνης ∠δʹ, γεντιανῆς ∠δʹ, μέλιτος ἀπέφθου ℥ αʹ. Ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος. — Ἄλλη]. Ἑλενίου ∠ιςʹ, πηγάνου σπέρματος ∠δʹ, σμύρνης ∠αʹ, μέλιτος ℥ αʹ. — Ἐπίθεμα πλευριτικὸν τὸ δυσῶδες]. Πιτυίνης ℥ αʹ, κηροῦ Γο ςʹ, πηγάνου χλωροῦ Γο ςʹ, κυπρίνου Γο ςʹ, θείου ἀπύρου, ὀποπάνακος, σαγαπηνοῦ ἀνὰ ∠δʹ. Ἐγὼ δὲ καὶ χαλβάνης ∠δʹ. — Ἄλλο ἐπίθεμα χρονίων ἀλγημάτων πλευρᾶς]. Κηροῦ, πιτυίνης, πίσσης ἀνὰ ℥ αʹ, δαφνίδων λελεπισμένων ℥ αʹ, ἀμμωνιακοῦ θυμιάματος Γο ςʹ, χαλβάνης Γο δʹ, πυρέθρου Γο βʹ, νίτρου Γο βʹ, ἰοῦ ξυστοῦ Γο αʹ, εὐφορβίου Γο αʹ, ἐλαίου δαφνίνου Γο αʹ, ἢ κοινοῦ παλαιοτάτου Γο δʹ. — Ἀντίδοτος ἀθανασία ἀνώδυνος, πλευριτική]. Κασίας ∠ηʹ, νάρδου στάχυος, ἀμώμου, κρόκου, ὀπίου, στύρακος, κόστου, σμύρνης ἀνὰ ∠δʹ, μέλιτος κόκκον αʹ.

λςʹ. Περὶ συνάγχης.

Συνάγχης εἴδη δύο· τὸ μὲν γὰρ ἄνευ φλεγμονῆς ὑποκρύφα συμβαίνει, τὸ δὲ σὺν φλεγμονῇ. Ἐπὶ μὲν οὖν τῶν μετὰ φλεγμονῆς παραλαμβάνειν τὰ πράως στύφοντα γαργαρίσματα, οἷον ἀφέψημα ῥόδων, ἢ φακῆς, ῥοὸς, ἑλίκων ἀμπέλου, μύξων, ὑδρομέλιτι ῥόδων ἄνθος ἐμπάσσοντα, μόρων χυλὸν σὺν ὑδρομέλιτι, ἀκρέμονας ἀμπέλου ἢ βάτου· εἰ δέ τις ἀναδορὰ γένοιτο, ἄρτου ἀπόβρεγμα θερμὸν, ἢ πυρῶν ἀφέψημα, ἢ ἄμυλον ἀνέντα ὕδατι θερμῷ· εἰ δὲ προσάγοι ἀπόστασις, πιτύρων ἀφέψημά τι μετὰ σύκων καὶ ὑσσώπου ἢ ἀβροτόνου. Εἰ δέ πως ἑλκοῖτο, κροκίον μιγνύειν τῷ μελικράτῳ, ἢ κόστου, ἢ γλυκυῤῥίζης ἀφέψημα· ἐν δὲ παρακμαῖς χυλὸς πτισάνης λεπτός. Διάχριστος δὲ ἡ διὰ μόρων, ἢ ῥοὸς ἀπόβρεγμα κατακόρως κεχρωσμένον τῇ γεύσει ἐμφαῖνον τὴν στύψιν· μετὰ ὑδρομέλιτος δὲ ἀφέψεται ἕως συστάσεως. Ἡ ῥοὸς χυλὸς μέλιτι μίγνυται τριπλασίονι καὶ ἑψηθεὶς ἕως συστάσεως διαχρίεται ἁρμοδίως ἐν παρακμῇ, μάλιστα εἰ καὶ ὑσσώπου ἔχοι· ἐπὶ δὲ τῶν ἄνευ φλεγμονῆς τὰ δριμύτερα, οἷον ὑδρόμελι ἔχον ὑσσώπου ἀφέψημα, ἢ ὀριγάνου, ἢ νᾶπυ χυλωθὲν συνήθως καὶ μιγὲν μελικράτῳ, ἢ ἀφέψημα κασίας, ἢ ἀγαρικοῦ, ἢ γεντιανῆς ἐν μελικράτῳ, σύκων μετὰ ὑσσώπου ἀφέψημα· ἐπανίσταται γὰρ ἡ σὰρξ καὶ καταλαμβάνει τὴν βυθιωτέραν θλῖψιν. — Διά-

2. [διὰ] ex em.; om. X. — Ch. 36, l. μυξῶν X. — 29. κεχρωσμένον ex em; 21. ὑποκρύφα conj.; ὑπὸ νύκτα X. — 23. χρώμενοι X. Voy. Aët.

χρισμα συνάγχης]. *Πίσσα ὑγρὰ μετὰ νίτρου καὶ παλαιοῦ ἐλαίου, ἢ ἀψίνθιον μετὰ νίτρου καὶ μέλιτος, ἢ ἀμμωνιακὸν διειμένον μέλιτι.* — *Ἀναγαργάρισμα*]. *Πηγάνου χυλὸς μετὰ γάλακτος, ἢ ὀμφάκιον μετὰ ὑδρομέλιτος, γλυκυῤῥίζης καὶ λευκοίου σπέρμα ἑψηθέντα σὺν ὑδρομέλιτι, ἢ μετὰ γάρου καὶ μέλιτος τὸ νᾶπυ, ἢ κυκλαμίνου εἰς πολλὰ τμηθείσης ἐν γλυκεῖ τὸ ἀφέψημα διαχρίειν, ἢ ὀπῷ κυρηναϊκῷ διειμένῳ μετὰ ἐλαίου, ἢ τῇ διὰ μόρων σ7οματικῇ διειμένῃ μετὰ ἐλατηρίου.*

λζ'. Περὶ ἐπιληψίας.

Τοὺς ἐμπεσόντας εἰς ἐπιληψίαν διαβρέχειν λιπαρῶς τὰ σπώμενα καὶ διασ7ρεφόμενα μέρη, διακρατεῖν τε καὶ ἀπευθύνειν, εἶτα διασ7ήσαντας τὸ σ7όμα ἐπικαθεῖναι δάκτυλον ἢ π7ερὸν κεχρισμένον ἐλαίῳ πρὸς τὸ κομίσασθαι φλέγμα· τούτου γὰρ ἡ πλησμονὴ, ἅτε γλίσχρα καὶ κολλώδης ὑπάρχουσα, χρόνῳ περὶ τὴν κεφαλὴν ἀθροισθεῖσα τὰ νεῦρα ἀποθλίψασα καὶ μὴ διατρέχειν ἐν αὐτοῖς τὸ ψυχικὸν πνεῦμα ἐναφιεῖσα, τὴν κατάπτωσιν εἰργάσατο. Χρὴ οὖν τοῖς ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν. Δεῖ οὖν πευκεδάνῳ, κυρηναϊκῷ ὀπῷ, ἀσφάλτῳ, κεδρίᾳ, πίσσῃ προσάγειν· μετὰ δὲ τοὺς παροξυσμοὺς, εἰ μηδὲν κωλύοι, φλεβοτομεῖν ἀπὸ ἀγκῶνος. Μηδὲν δὲ ὑπείκοντος τοῦ παροξυσμοῦ, τὰ μὲν ἄκρα σιναπισμῷ καταληπ7έον, σικύαν τε κολλητέον τοῖς ὑποχονδρίοις. Μὴ γενομένης δὲ μηδὲ πρὸς ταῦτα ἀνοχῆς, ὀλιγίσ7η μὲν ἐλπὶς, ὅμως δὲ θαρσαλέως ὁ ἰατρὸς κασ7όριον βιαζόμενος ἐγχείτω, καὶ ὀπὸν κυρηναϊκὸν μετὰ μέλιτος καὶ ὄξους, καὶ διὰ ἕδρας ἐνιέτω κενταυρίου ἀφέψημα ἢ κολοκυνθίδος. Τοὺς δὲ διαναστάντας ἐκ τῆς ἐπιληψίας μετὰ τὴν ἀνάληψιν τῇ διὰ τῆς ἱερᾶς καθάρσει χρησ7έον. Αὕτη μὲν οὖν τίς ἐσ7ιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία· ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. Χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν, ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ καὶ φλεβοτομεῖν, εἰ μηδὲν κωλύοι, καὶ διαλιπόντας τέσσαρας ἢ ε' ἡμέρας ἀναλαβεῖν τὸ σωμάτιον καὶ εἶτα οὕτω καθαρτικῷ ὑποκενοῦν, μάλισ7α διὰ ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος, εἴτε οὖν καὶ διὰ σκαμμωνίας. Δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς ἐντεριώνης κεκομμένου καὶ σεσησμένου ἐμπάσσεσθαι μελικράτου κυάθοις ε' ἢ ἕξ, ἢ μέλιτι ἀπέφθῳ ἀναλαμβάνειν μετὰ ὀλίγου πεπέρεως. Τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐκβαλόντας πληροῦν αὐτὴν ἔχουσαν τὴν ἐντεριώνην δεῖ γλυκέος, καὶ ἐᾶν ὅλην τὴν νύκτα, ἕωθεν δὲ κεράσαντα τὸ γλυκὺ διδόναι πιεῖν· μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν μὲν αὐτοὺς, τῇ δὲ τρίτῃ σικυασ7έον ὑποχόνδριά τε καὶ μετάφρενα μετὰ ἀμυχῶν, εἶτα διασ7ήσαντας ἱκανὰς ἡμέρας καὶ ἀναλαβόντας τὸ σωμάτιον τῇ διὰ κολοκυνθίδος ἱερᾷ προσάγειν· εἶτα μετὰ τοῦτο σικυασ7έον κεφαλὴν καὶ ἰνίον, τῇ δὲ ἑξῆς καταπλάττειν αὐτὴν ἄρτῳ διειμένῳ μὲν μελικράτῳ, συλλελειωμένῳ δὲ πικροῖς ἀμυγδάλοις, ἢ ἑρπύλλῳ, ἢ ἡδυόσμῳ, ἢ καλαμίνθῃ, ἢ πηγάνῳ, καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας, μετὰ δὲ ταῦτα ξυράμενον

Ch. 37, l. 9. *π7ερὸν κεχρισμένον Syn.*, Paul.; *π7ερῷ κεχρισμένῳ* X. — 10. *ἅτε* ex em.; *ὅσα τε* X. — 24. *εἴτ' οὖν* X. — 27. *ἐκβαλόντας Syn.*, Paul.; *ἐκβάλλοντας* X. — 33. *συλλελειωμένῳ* Paul.; *συλλελειωμένοις* X.

τὴν κεφαλὴν καταχρίειν πευκεδάνου ὀπὸν ἐν ὄξει διειμένον· ἢ σπονδύλιον ἐνέψειν· διασ7ήσαντα δὲ πάλιν καὶ ἀναλαβόντα τὸ σωμάτιον διδόναι τῆς διὰ κολοκυνθίδος ἀντιδότου ὀβολοὺς θ' ἐν μελικράτῳ, καὶ διασ7ήσαντα ἡμέρας πάλιν διδόναι τῆς ἀντιδότου ∠γ', εἶτα πΊαρμικοῖς χρῆσθαι, καὶ μετὰ πέντε ἢ ι' ἡμέρας κασΊόριον διδόναι ἐν μελικράτῳ καὶ διασΊήσαντα πάλιν κλύζειν τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδος, εἶτα τὴν ἱερὰν αὖθις διδόναι καὶ ἑφεξῆς ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐῤῥίνοις, εἶτα τῷ σιναπισμῷ χρῆσθαι κατὰ τῆς κεφαλῆς. Δεῖ δὲ καὶ δριμυφαγίαις ἐν καιρῷ χρῆσθαι.

λη'. Περὶ καρδιακῶν.

Πῶς σημειώσῃ καρδιακόν; ὅταν ἐν ὀξεῖ πυρετῷ καὶ καυσώδει σφυγμὸν εὕρω πυκνὸν καὶ ἀμυδρὸν καὶ τῶν ἄκρων κατάψυξιν, καὶ ἱδρῶτας περὶ τὸ πρόσωπον καὶ μέχρι σΊήθους ψυχροὺς καὶ κολλώδεις, καὶ τὴν ἀποφορὰν τοῦ χρωτὸς γεώδη προσβάλλουσαν, καὶ τοῦ περὶ τὴν καρδίαν σφυγμοῦ σφοδρότητα καὶ μέγεθος καὶ πρὸς τούτοις ἀπορίαν καὶ ἄλυσμόν, τὸν τοιοῦτον καρδιακὸν εἶναι λέγω. Ἀέρος οὖν ψυχροῦ ἐπεισόδῳ καὶ ῥιπισμῷ βοηθητέον, ἀποσπογγισΊέον τε τὸ πρόσωπον ὀξυκράτῳ ψυχρῷ, καὶ καταβρογχιζέτωσαν, καὶ ὀσφραντὰ ποικίλα προσφερέσθωσαν, τὰ δὲ ἐπιβόλαια ἀφαιρείσθω, καὶ τὸ ἐπιβεβλημένον δὲ ἔσΊω κοῦφον καὶ τριβακόν. Ταῦτα καὶ τὰ λοιπὰ τῆς τοιαύτης θεραπείας Γαληνὸς ἐδίδαξεν ἐν τοῖς Περὶ λιποθυμίας θαυμασΊῶς Πρὸς Γλαύκωνα· τοῖς δὲ ἐξιδροῦσι μέρεσιν ἐμπασΊέον μυρσίνῃ λείᾳ, ἢ κιμωλίᾳ, ἢ οἰνάνθῃ, ἢ ἠλέκτρῳ, μάλισΊα θώρακι καὶ τραχήλῳ καὶ μασχάλαις καὶ ὑποχονδρίοις καὶ βουβῶσιν. Ὁμοίως δὲ βοηθεῖ ἐμπασσόμενα σίδια μετὰ μάννης, ἢ κηκὶς κατὰ αὐτήν τε καὶ σὺν ἀσβέστῳ, ἢ σαμία γῆ μετὰ κόμμεως, ἢ τρὺξ οἴνου κεκαυμένη· τὰ δὲ ἄκρα ἤτοι μέχρι γονάτων καὶ ἀγκώνων, ἢ μέχρι μασχαλῶν καὶ βουβώνων καταπασΊέον τρυγὶ κεκαυμένῃ, ἢ καὶ ἀσβέσΊῳ, ἢ πυρέθρῳ, ἢ πεπέρει· ἢ βολβοῖς λείοις καταχριέσθωσαν μετὰ πεπέρεως ἀπὸ βραχιόνων μέχρι δακτύλων, καὶ ἀπὸ μηρῶν ὁμοίως, περιτιθεμένων αὐτοῖς λεπτῶν ταινιδίων. Ἁρμόζει δὲ καὶ νᾶπυ καὶ πύρεθρον, καὶ ἀδάρκη. Τροφαὶ δὲ ἄρτος ἐξ ὕδατος ψυχροῦ ἢ ἐξ οἴνου καὶ ὕδατος κεκραμένου, πόδες ὕειοι, ἀγκύλαι, ῥύγχη, πτηνά, ψυχρὰ δὲ καὶ ταῦτα προσφερέσθω. Τῇ δὲ κεφαλῇ καὶ μετώπῳ μηδὲν ἐμπάσσειν, ἀλλὰ ἐπιχρίειν ἀκακίαν μετὰ κόμμεως διὰ ἀφεψήματος ῥόδων χυλοῦ ἐπιχριομένην. Κατάπλασμα τοῖς ὑποχονδρίοις διὰ φοινίκων, μήλων καὶ ῥόδων καὶ οἰνάνθης, ἀκακίας, ὑποκισΊίδος καὶ σΊυπΊηρίας. Εἰ δέοι ποτὲ κλυσΊῆρος, ἀφέψημα λινοσπέρμου καὶ πτισάνης καὶ ἀλὸς συμμέτρου καὶ μέλιτος, ἢ ὕδωρ κατὰ αὐτό, ἢ ὑδρόμελι, ἢ ὑδρέλαιον.

λθ'. Πρὸς ἀτονίαν καὶ ἀνορεξίαν σΊομάχου.

Ἀνορεξίας οὔσης καὶ ἀτονίας ἐν σΊομάχῳ, ὀσφραντὰ δεῖ προσάγειν ἤλεκτρον, ἡδύοσμον, γλήχωνα, ὕσσωπον, καταπλάσσειν δὲ τὸ διὰ φοινίκων καὶ μήλων καὶ ἄλ-

3. ἡμέραν *Syn*. — Ch. 38, l. 10. προσβάλλ. Aët.; ἀποβ. X. — 27-28. ἐπιχριόμενον X.

φίτων· πρὸς δὲ τὴν ἀτονίαν σὺν τούτοις καὶ μαστίχης καὶ οἰνάνθης καὶ ἀψινθίου ἐπιμιγνύναι. Μετὰ δὲ τὸ ῥωσθῆναι ποσῶς ποτίζειν ἀψινθίου ἀπόβρεγμα κυάθους β′, ἢ ἀλόης ∠α′, ἢ τὴν πικράν· ἔσῖι δὲ ἡ πικρὰ ἥδε· ἀλόης ∠ρ′, ἀσάρου, κρόκου, νάρδου σῖάχυος, κινναμώμου, ξυλοβαλσάμου, μασῖίχης ἀνὰ ∠ς′· δίδου κοχλιάριον μεσῖὸν μετὰ ὕδατος κυάθοις γ′, ἢ ὑδρομέλιτι. — Πρὸς δηγμὸν σῖομάχου, σῖόματος καὶ κοιλίας.] Ἀνδράχνην καθεψήσας ὕδατι ὡς λειφθῆναι τὸ τρίτον, κοτύλην πρόσφερε πιεῖν ψυχράν, ἢ γαλακτώδη· ἢ ἀδίαντον, ὃ καὶ πολύτριχον καλεῖται, ὁμοίως εἰς ἀποτρίτωσιν ἐψήσας, μίξας ῥοιᾶς ὀξείας χυλὸν καὶ βραχὺ ἐμπάσας ἡδυόσμου πότιζε. Ἢ ῥόδων ἄνθος λεῖον ἐμπάσας ὕδατι πότιζε. — Πρὸς ῥευματισμὸν σῖομάχου.] Κατάπλασμα διὰ μέλιτος καὶ ἀλφίτου πάλης καὶ φοινίκων καὶ ὀμφακίου καὶ μήλων, καὶ μάλισῖα κυδωνίων, ἀκακίας τε καὶ οἰνάνθης καὶ ἀλόης καὶ σιδίων καὶ ὑγρᾶς σῖυπῖηρίας· ἢ ὑφαιρεῖν τὸ μέλι τε καὶ τὸ ἄλφιτον μιγνύειν τε κηρωτῇ ῥοδίνῃ. — Πρὸς λυγμόν.] Πρὸς δὲ λυγμὸν σῖομάχου ἀπὸ ψύξεως ἐπιτιθέναι ἔλαιον διὰ πηγάνου καὶ κυμίνου καὶ ἀψινθίου ἐν ἐρίῳ. Λυγμὸν διὰ ἔνδειαν γεγονότα τροφὴ ἀποικονομεῖ. Λυγμὸν διὰ ὑπερπλήρωσιν ἔμετος ἀπαλλάσσει καὶ τῶν ἄκρων διάδεσις καὶ κατοχὴ πνεύματος ἔντασίς τε καὶ ἀναφώνησις μετὰ πλείονος κραυγῆς, καὶ σύντονος καὶ μακρὸς περίπατος, καὶ ταχεῖα αἰώρησις, καὶ ἔτι μᾶλλον ἱππασία, σικύαι τε μετὰ πλείονος φλογὸς τῷ τε σῖήθει καὶ τῷ μεταφρένῳ κολλώμεναι. Λυγμὸν τὸν ἐπὶ πυρετοῖς τὰ αὐτά πως βοηθήματα παύει. Λυγμὸς ἐπὶ καταφοραῖς, ἢ τετάνοις, ἢ συγκοπαῖς γινόμενος ἐγγὺς τὸν θάνατον σημαίνει. Προποτίζειν οὖν συνεχῶς μελικράτῳ, ἢ ὕδατι ψιλῷ μετρίως θερμῷ· ἢ κασῖόριον σὺν μελικράτῳ κυάθοις β′ πλῆθος τριωβόλου.

μ′. Χολῇ ὀχλουμένοις τὸν σῖόμαχον.

Οἱ ὑπὸ μελαίνης χολῆς ὀχλούμενοι ἐν πυρετοῖς τὸν σῖόμαχον δηγμὸν ἰσχυρὸν ὑπομένουσι μετὰ ἰλίγγου τῆς κεφαλῆς καὶ ἱδρώτων ψυχρῶν, ἔτι δὲ ἐκλύσεως καὶ μικρότητος καὶ ἀμυδρότητος σφυγμῶν. Καταπλάσσειν μὲν οὖν τοῖς προειρημένοις διὰ φοινίκων καὶ κενοῦν διὰ κλυσῖῆρος, ποτίζειν τε σέρεως χυλὸν, τῷ δὲ ποτῷ ἡδύοσμον ἐμπάσσειν.

μα′. Πρὸς τὰς κυνώδεις ὀρέξεις.

Κυνώδεις καὶ ἐπιτεταμένας ὀρέξεις τροφῆς ἔχοντας καταπλάτῖειν ὠμηλύσει, κἂν μὴ ἀπαιτῇ τὰ σπλάγχνα· ποτὸν δὲ ἀθρόον διδόναι, ῥόφημα πόλτοι διὰ μέλιτος πολλοῦ καὶ διὰ ἐλαίου πλείονος ἢ σῖέατος χηνείου ἢ ὀρνιθείου· λαχάνων δὲ σεῦτλον, μαλάχην, κολοκύνθην μετὰ ἐλαίου καὶ γάρου, καὶ καταπίμελα πῖηνὰ, ἰχθύας λιπαροὺς, ἄρτους ἐζυμωμένους, παρεμπλέκειν τε συνεχῶς τῷ ποτῷ τὴν τροφήν. Εἰ δὲ καὶ ὀπώρας

7. ψυχρῷ X. — 10. ἀλ. καὶ πάλης X. — 14. τροφὴν ἀποικονομεῖν X. — 15. ἔτασις (sic) X. — 17. αἰώρησις Aët.; μετεώρισις X. — 18. κολλώμεναι Aët.; βαλόμ. X. 1re m.; βαλλόμ. 2e m. — Ch. 40, l. 22. Οἱ Aët.; om. X. — Ib. ὀχλουμένοις X. — Ch. 41, l. 28. πόλτοι Aët.; om. X. — 28-29. πολλοῦ καί Aët.; πόλτος X 1re m.; πόλτους 2e m.

ἐνδέχοιτο διδόναι, ἁρμόζει πέπειρα περσικὰ, ἄπιοι, χωρὶς ἐμβάμματος πέπονες. Εἰ δὲ ῥευματίζοιτο τὴν κοιλίαν, τὰ διὰ γάλακτος ῥοφήματα ἄριστα.

μβ'. Πρὸς θλίψιν στομάχου.

Αἱ μετὰ τροφὴν θλίψεις στομάχου γίνονται περὶ τὰς πέψεις καὶ ἀναδόσεις τῆς τροφῆς, ἐπὶ ὧν χρηστέον διαδέσεσι, ψηλαφίαις, αἰώραις, ἐπὶ ἐνίων δὲ καὶ ἐγκαθίσμασι καὶ ποδῶν καταιονήσεσι καὶ ἐμβροχαῖς. Εἰ δὲ ἐπὶ σπλάγχνου τινὸς φλεγμονῇ συμβαίνοι, ἐκείνην πρότερον ἀποικονομητέον διά τε ἐμβροχῶν καὶ καταπλασμάτων· συνηθέστερον δὲ τοῖς τὸ ἧπαρ παρὰ φύσιν διακειμένοις ἐπιγίνεται μετὰ πυρώσεως παντὸς τοῦ σώματος, μάλιστα δὲ χειρῶν καὶ ποδῶν, καὶ ἐρεύθους προσώπου.

μγ'. Πρὸς σιαλισμὸν στομάχου.

Ὄξος σκίλλινον, ἢ ἁλμάδων ἐλαιῶν ζωμὸς, ἢ θαλλίων ἀφέψημα, ἢ κηκίδων ὀμφάκων, ἢ ὀμφάκιον ὕδατι διειμένον, ἢ στυπτηρία σχιστὴ ὡσαύτως· πάντων δὲ μᾶλλον ποιεῖ ἀλόη διειμένη ὕδατι, καὶ τὰ ἁπαλὰ δὲ φύλλα τῆς ἐλαίας διαμασηθέντα πάνυ ἁρμόζει.

μδ'. Πρὸς τοὺς μὴ κατέχοντας τὴν τροφὴν οὓς οἱ παλαιοὶ ἰδίως στομαχικοὺς προσηγόρευον, κατάπλασμα.

Μέλιτι μιγνύσθω τήλινον ἄλευρον καὶ μαλάχης σπέρμα λεῖον ξηρόν· εἰ δὲ κοπῆναι μὴ δύναιτο ἠψημένον, καὶ βραχὺ ἔλαιον ποιεῖ ἴσα μαλάγματι. — Ἄλλο.] Αἴρινον ἄλευρον καὶ ἐρύσιμον μετὰ μέλιτος. Ἐχέτω δὲ ἀντὶ τοῦ ἐλαίου πίσσαν ὑγράν.

με'. Πρὸς τὰς καθημερινὰς ναυτίας καὶ τοὺς ἐμέτους καὶ τοὺς ἀποξυσμοὺς τῆς τροφῆς.

Κοριάνδρου σπέρματος ∠α' ὡς ἄλφιτον ἐμπάσας ὕδατι πότιζε, ἢ θριδακίνης λευκῆς σπέρμα κοχλιάρια δύο, ἢ μαστίχης χίας τετριμμένης κοχλιάριον α', καὶ μασᾶσθαι δὲ αὐτὴν καὶ ἀποκλύειν πρὸ τῆς πόσεως συμφέρει. Ἕλκους ἐν στομάχῳ ἢ κοιλίᾳ ὄντος, ἀπέχεσθαι μὲν δριμυφαγίας πάσης, ἐπίθεμά τε διὰ φοινίκων καὶ κυδωνίων μήλων καὶ ἀλφίτων, κηρωτήν τε ἐπιτιθέναι διά τε μηλίνου ἢ ῥοδίνου ἔχουσαν ἀμμωνιακὸν καὶ λίβανον, ἔμπλαστροι ἥ τε Ἰκεσίου καὶ ἡ διὰ ἰτεῶν, τό τε Νειλέως ἐπίθεμα· ἔστι δὲ τὸ Νειλέως τοῦτο· Κηροῦ ℥α', ἀμμωνιακοῦ θυμιάματος ℥α', κρόκου ∠δ', ῥοδίνου ἢ ναρδίνου ℥β'. Ὄξει λείου κρόκον καὶ ἀμμωνιακόν.

μϛ'. Περὶ ἐμπνευματώσεως στομάχου.

Πνευματοῦται ὁ στόμαχος ἤτοι τῇ κοιλίᾳ συνδιατιθέμενος, ἢ τῷ κόλῳ, καὶ σοφίζεται τοὺς πολλοὺς διὰ τὸ τὰς ἐκ τῆς πνευματώσεως ὀδύνας εἰς αὐτὸν ἐρείδειν ὡς αὐτὸς

Ch. 42. l. 5. κατεωνισεις ἐνβροχοι X. — Ch. 44, l. 14. Ἐχέτω δέ Aët.; ἔχοντος X.

προηγουμένην ἀναδεδεγμένος πεῖσιν. Εἰ μὲν οὖν μετὰ τροφὴν συμβαίνοι, προχειρότατόν ἐστι βοήθημα ἔμετος τῆς τροφῆς. Ἐπιθετέον δὲ ἔξωθεν ἔριον ἐλαίῳ δεδευμένον ἐν ᾧ ἡψήθη κύμινον καὶ πήγανον καὶ ἀψίνθιον. Προσεμπεπάσθω δὲ σελίνου σπέρμα ἢ σίνωνος· ποτίζειν δὲ ἀλόης ∠α', ἢ καστορίου ∠α', παρὰ ὅλον τε τὸν χρόνον τῆς θεραπείας ὑδροποσία ὀνίνησιν, ἔστιν ὅτε αὐτοτελὲς βοήθημα ὑπάρχον. — Κηρωτή.] Κηρωτὴ στομαχική. Κηροῦ Γο ι', ἀμμωνιακοῦ θυμιάματος Γο ι', κολοφωνίας Γο δ', κρόκου, κυπέρου, ἴρεως, καρδαμώμου, λιβάνου, ἀλόης ἀνὰ ∠δ', ναρδίνου ἢ μηλίνου ἢ ῥοδίνου Γο ϛ'. Ὄξει λείου τὸ ἀμμωνιακὸν ἢ οἴνῳ. — Πρὸς ἀτονίαν στομάχου.] Ῥοιὰς ὠρίμους ε' ἢ ϛ' ὅλας κόψας ἐπίχεε ὕδατος ℥ γ', καὶ ἕψει εἰς ἀποτρίτωσιν, εἶτα ἐκθλίψας καὶ ῥίψας ἕψει πάλιν τὸ ὕδωρ ἕως συστάσεως, καὶ δίδου ἐξ αὐτοῦ τῷ ἀσθενοῦντι κοχλιάριον α' ἢ β' ἢ γ', ἀπυρέτοις μετὰ οἴνου, πυρέσσοντι δὲ μετὰ ὕδατος. — Ἄλλο πρὸς ἀτονίαν στομάχου.] Ῥοιὰς ὀξείας καὶ γλυκείας καὶ σέρεως χυλοῦ ἴσα μίξας προσέμπασον βραχὺ ἡδυόσμου καὶ πότιζε, καταῤῥοφεῖν δὲ ἐκ διαλειμμάτων βραχέων· ἢ οἰνάνθην λείαν ἔμπασσε τῷ ποτῷ μετὰ στάχυος νάρδου. Ἁρμόζει δὲ καὶ σέριν ἐσθίειν καὶ καυλὸν θριδακίνης. — Τὸ διὰ καλαμίνθης ὀξύπορον.] Πεπέρεως ƛ α', λιγυστικοῦ Γο δ', γλήχωνος, καλαμίνθης ἀνὰ Γο γ', ζιγγιβέρεως Γο β', πετροσελίνου Γο α'ς", θύμου Γο α', μέλιτος ℥ γ'. — Τὸ διὰ τριῶν πεπέρεων· ποιεῖ καὶ πρὸς τριταίους, τεταρταίους καὶ ἀμφημερινούς]. Πεπέρεως μέλανος Γο δ', πεπέρεως λευκοῦ Γο β', πεπέρεως μακροῦ Γο α', ναρδοστάχυος, κινναμώμου, ἄμμεως, καρώου, ὑσσώπου, σεσέλεως, δαύκου, πετροσελίνου ἀνὰ Γο α', ζιγγιβέρεως ∠δ'· τινὲς δὲ καὶ ἑλενίου Γο α'· μέλιτος ἀπέφθου ƛ γ'. Χρῶ. — Τὸ διοσπολιτικὸν πεπτικόν.] Ζιγγιβέρεως Γο γ', πεπέρεως λευκοῦ, κυμίνου, νίτρου, πηγάνου χλωροῦ ἀνὰ Γο α', ὄξους καὶ μέλιτος τὸ ἀρκοῦν. Τῷ ὄξει λειοῦται κύμινον, ζιγγίβερι, νίτρον· ἔνιοι δὲ νίτρον οὐ βάλλουσιν. — Ἄλλο πεπτικόν.] Ἁλῶν ℥ α'ς", σιλφίου Γο β', πεπέρεως Γο β', πετροσελίνου Γο α'ς", σεσέλεως, καρώου, γλήχωνος, ἄμμεως, ζιγγιβέρεως, σταφυλίνου σπέρματος, σίνωνος ἀνὰ Γο α', λιγυστικοῦ ∠ϛ', σελίνου ῥίζης ∠α'. — Πεπτικὸν κάλλιον τοῦ διοσπολίτου.] Κυμίνου θηβαϊκοῦ Γο β', καρδαμώμου, πεπέρεως, ἀσάρου, ζιγγιβέρεως, πετροσελίνου ἀνὰ Γο α', πηγάνου σπέρματος ∠δ', ὄξους κο. α', μέλιτος κο. β'. — Ἄλλο ὀξύπορον.] Πηγάνου φύλλων χλωρῶν ∠λβ', κυμίνου ∠ιγ', λιγυστικοῦ, καρώου, σελίνου σπέρματος, πεπέρεως, ζιγγιβέρεως, ἑλενίου,* νίτρου ἀνὰ ∠η'. — Κηρωτὴ στομαχική.] Ἀψινθίου, ἀλόης, μαστίχης, στύρακος, κηροῦ, νάρδου μύρου ἢ ῥοδίνου. — Καυσουμένοις στόμαχον χρονίως.] Γλυκυῤῥίζης ἀφέψημα ἢ τὴν ῥίζαν ἐμπάσσοντα δοτέον ποτῷ, ἢ ἑλίκων ἀμπέλου ἀφέψημα ἢ ἀπόβρεγμα, ἢ ἀνδράχνης χυλόν· μετὰ ὕδατος δὲ χυλίζεται. Οἱ δὲ χολὴν μέλαιναν γεννῶντες πινέτωσαν γλήχωνος ἀφέψημα, ἢ ὕδωρ ἐν ᾧ σίδηρος ἐσβέσθη. — Πρὸς δηγμὸν στομάχου.] Γάλα γυναικεῖον θηλαζόμενον, σόγχου χυλὸς μετὰ μήκωνος, ἢ ἀμύγδαλα πικρὰ, ἢ σικύου σπέρμα προσενεκτέον. — Τὸ διὰ κυδωνίων πεπτικόν.] Ὀξυμέλιτος, χυλοῦ κυδωνίων ἀνὰ ℥ β', πεπέρεως, ζιγγιβέρεως ἀνὰ Γο ϛ'· ἔνιοι καὶ πετροσελίνου Γο β'. Βέλτιον δὲ γίνεται σκιλλίνου ὄξους λαβόν. Τινὲς δὲ τὰ κυδώνια τῷ ὄξει καθεψήσαντες οὕτω σκευάζουσιν. — Τὸ διὰ κιτρίου πρὸς βραδυπεψίας.] Ὄξους κο. γ', κιτρίου σαρκὸς ƛ α', ὑσσώπου, πηγάνου, ὀριγάνου ἀνὰ δεσμίδιον. Νυχθήμερα ε' βραχέντα ἐν τῷ ὄξει ἕψεται ἕως μελιτώδους συστάσεως καὶ ἐκπια-

σθέντα ῥίπτεται, τῷ δὲ ὄξει μίγνυται μέλιτος ℥ α', καὶ πάλιν ἕψεται ἕως μελιτώδους συστάσεως· ὅταν δὲ εὖ ἔχῃ, ἐμπάσσεται ἀσάρου, μήου, πεπέρεως λευκοῦ ἀνὰ Γο β'ς″. Ἡ δόσις πρωῒ καὶ εἰς κοίτην. — Διὰ μαστίχης ἐπίθεμα.] Τερεβινθίνης, μαστίχης ἀνὰ Γο δ'ς″, ταυρείου στέατος καὶ κηροῦ ἀνὰ Γο θ', μέλιτος, νάρδου μύρου ἀνὰ λ α'. — Ἐπίθεμα τὸ διὰ μελιλώτου.] Μελιλώτων Γο η', ἀμμωνιακοῦ Γο γ', βδελλίου Γο γ', μυροβαλάνου, οἰνάνθης ἀνὰ Γο β', κρόκου, σμύρνης, λιβάνου, κυπέρου, ἴρεως, καρδαμώμου, κασίας, νάρδου κελτικῆς, ἀλόης ἀνὰ Γο α', κηροῦ λ α', τερεβινθίνης Γο ιϛ', νάρδου μύρου λ α'. Εἰ δὲ δέοι ποτὲ, καὶ ὀποβαλσάμου Γο β'· ὄξει ἢ οἴνῳ. — Ἡ πανθεία.] Τηλίνου ἀλεύρου ℥ α', ἀλθαίας σπέρματος ℥ α', ψυλλίου ℥ α', στέατος χηνείου προσφάτου λ α', κρόκου, φύλλου, ἀλόης, χαμαιμήλου ἀνὰ Γο γ', μελιλώτου, βερενικαρίου νίτρου, ῥόδων ξηρῶν, ἀμώμου, στύρακος, σμύρνης, κυπέρου ἀνὰ Γο β', λίθου ἀσσίου ἄνθους, καρδαμώμου, ναρδοστάχυος ἀνὰ Γο α'ς″, λιβάνου, ἀφρονίτρου λείου, κόστου ἀνὰ Γο α'. Κόψας σήσας λεῖου, εἶτα μίσγε τὸ χήνειον. Ἐπὶ δὲ τῆς χρήσεως τοῦ φαρμάκου Γο δ', κηροῦ Γο η', ῥοδίνου λ γ', λινοσπέρμου χυλοῦ Γο η'. — Ἀνηθίνη κηρωτή.] Ἐλαίου ℥ α', ὕδατος ℥ ς″, στέατος Γο ϛ', κηροῦ Γο δ', ἀνήθου Γο δ', χαμαιμήλου Γο γ', σκίλλης Γο γ', ἀγχούσης Γο α'ς″. — Ἡ γλυκεῖα ἀντίδοτος.] Ἀλόης Γο ζ', ἴρεως Γο β', μαστίχης Γο α'ς″, νάρδου κελτικῆς Γο α'ς″, πεπέρεως ∠δ', ζιγγιβέρεως ∠δ', ὄξους Γο ζ', ῥιζῶν μαράθου φλοιοῦ λ γ', μέλιτος ℥ α'.—Ὀξύπορον Ἀρχιγένους.] Πεπέρεως λευκοῦ ∠γ', ἄμμεως, λιγυστικοῦ, σελίνου σπέρματος, ἀμυγδάλων πικρῶν πεφωγμένων ἀνὰ τριώβολον, καρδαμώμου, ἀνίσου, ζιγγιβέρεως, καρύου ἀνὰ ∠δ', σιλφίου ∠δ', νεκταρέας ∠α'. Μέλιτι ἀναλαβὼν μετὰ δεῖπνον δίδου καρύου ποντικοῦ τὸ μέγεθος διὰ ὕδατος κυ. β'. Ποθείσης δὲ αὐτῆς οὔτε ὀξυρεγμία, οὔτε ἄλλη τις διαφθορὰ ἢ στρόφος ἀπαντᾷ. Νεκταρέα ἐστὶν ἑλένιον.

μζ'. Περὶ πταρμῶν.

Ἐνοχλοῦσι πταρμοὶ πλεονάκις ἐμπίπτοντες ἐν πυρετοῖς· καὶ γὰρ πληροῦσι τὴν κεφαλὴν καὶ ἐλέγχουσιν ἐνίοις τὴν δύναμιν καὶ αἷμα ἐκ ῥινῶν ἄγουσιν. Ἀντιβαίνειν οὖν αὐτοῖς δεῖ· κατέχει δὲ ἐπιφερόμενον πταρμὸν διάτριψις τῆς ῥινὸς καὶ τοῦ μετώπου καὶ ὀμμάτων, χάσμη τε καὶ τῆς ὑπερῴας τρῖψις, σπουδαία ἐρυγὴ, ἔντασις εἰς λαγόνα, μετεωρισμὸς τῆς κεφαλῆς, ἐπιστροφὴ ἐπὶ πλευρὰν, ψηλαφία τῶν ἄκρων, μαστηρίων μυῶν λιπασμὸς καὶ θερμοῦ ἐλαίου εἰς ὦτα ἔγχυσις, πλήματος θερμοῦ ὑπόθεσις τῷ ἰνίῳ, ὀσφραντὰ μῆλον, ἄλφιτον, οἵ τε ἐκ θαλάσσης σπόγγοι καινοί. Γινομένης δὲ ὀσμῆς καὶ μὴ διεξιόντος τοῦ πταρμοῦ, ἀνάπαυσις τοῦ τραχήλου ἐπιτηδευέσθω καὶ συνεχὴς τῶν δριμειῶν ὀσμῶν πεῖρα καὶ ἄνεσις τῆς διανοίας· τὸ γὰρ φιλότιμον περί τι δυσοδεῖ περὶ αὐτό. Ἐρεθίζει πταρμὸν αἰφνίδιός πως ἐξ ὕπνου ἔγερσις, καπνὸς, κονιορτὸς, ὀσμὴ δριμυτέρα, οἷον πέπερι, νᾶπυ, καστόριον, στρουθίου ῥίζα, χαμελαία, ἰὸς ξυστὸς, ἀριστολοχία στρογγύλη.

Ch. 47, l. 33. δυσοδεῖ e conj.; δυσώδι X.

μη'. Περὶ λιποθυμίας.

Ἡ μὲν ἐν πυρετοῖς διὰ πρόδηλον αἰτίαν συμβαίνουσα λιποθυμία ὥσπερ εἰπεῖν ἔκκρισιν ἢ ἐπανάσλασιν, κίνησιν, φόβον, ὀδύνην, βοήθειαν ἔχει τὴν περιγραφὴν τῶν αἰτίων τούτων· οὔτε γὰρ ἐξανίστασθαι αὐτοῖς ἐπιτρεπλέον, οὔτε ἐνδοτέον ταῖς ἀθρόαις ἐκκρίσεσιν, τά τε ἀλγήματα παρηγορητέον, ἀλλὰ καὶ τῶν φόβων τὰς ποιητικὰς αἰτίας λυτέον διὰ παραινέσεων, διασφίγγειν τε τὰ ἄκρα καὶ σικύας προσβάλλειν τοῖς ἐμπροσθίοις μέρεσι καὶ ὀπισθίοις τοῦ σλομάχου, ἐπὶ πλευράν τε κατακλιτέον, δινουμένην τε τὴν κεφαλὴν ἐπιθέσει χειρὸς εὐαφοῦς μετὰ θλίψεως πιεσλέον, ὀσφραντά τε προσφέρειν καὶ διανοίγειν ἐπὶ μέγα τὸ σλόμα· προκαταληφθέντες γὰρ ἀναλαμβάνονται, μηδὲ εἰς πεῖραν τῆς λιποθυμίας ἐλθόντες. Τοὺς δὲ ἐν βαλανείῳ λιποθυμεῖν ἀρχομένους ταχέως ἐμβιβάζειν, μήτε καταδύσει, μήτε πολλῇ καταχύσει χρωμένους· λιποθυμοῦντας δὲ ἐξακτέον ταχέως, καὶ τὸ μὲν σῶμα κούφῳ τινὶ καλύπλειν, τὸ δὲ πρόσωπον σπόγγῳ ἐκ ψυχροῦ ἀποσπογγίζειν, ἢ καταῤῥαίνειν ψυχρῷ, τρίβειν τε τὸ πρόσωπον, ἀνατρίβειν τε εὐτόνως τοὺς πόδας· δοτέον δὲ καὶ ψυχρὸν διάκλυσμα, ἔσλιν ὅτε καὶ καταῤῥοφῆσαι. Αντικὸν δὲ λιποθυμίας καὶ τὸ ἐπὶ πλεῖσλον ὅσον διανοίγειν τὸ σλόμα, ἤ, εἰ μὴ δύναιντο, ἡμῶν καθέντων τοὺς δακτύλους ἐνδοτέρω τῶν ὀδόντων πρὸς τοῖς χαλινοῖς. Ἀνοικτικὸν καὶ τὸ παραπιέζειν καὶ τοὺς ἀκουσλικοὺς πόρους καὶ τὰ λεγόμενα λιθοειδῆ ὀσλᾶ. Τοὺς δὲ εὐτελεσλέρους καὶ ῥαπισλέον καὶ ἐκτιλτέον τὰς τρίχας. Ἐμβόησις δὲ ἑνὸς μὲν ὠφελεῖ, πολλῶν δὲ κατὰ τὸ αὐτὸ βλάπλει. Τὰς μέντοι μετὰ σφοδρὰν λιποθυμίαν ἢ εἰς θερμὸν ἢ εἰς ψυχρὸν καθέσεις ὡς αἰτίας θανάτου φοβεῖσθαι· ἢ γὰρ χαλασμῷ τῶν σωμάτων ἐκκρινόμενον τὸ ὑποκείμενον θερμὸν ἀπόλλυται, ἢ πηγνύμενον ὑπὸ ψύξεως ἀποσβέννυται.

μθ'. Περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν.

Ὅσοις πόνος ἐν τοῖς δεξιοῖς μέρεσιν ὑπὸ τὸ δεξιὸν ὑποχόνδριον παρέπεται καὶ ὄγκος καὶ βάρος ὥσπερ τινὸς ἐξηρτημένου καὶ κατατείνοντος καὶ συναίσθησις μέχρι κλειδὸς τῆς καταλλήλου καὶ ὠμοπλάτης, οὖρά τε ὕφαιμα καὶ ὑπόχλωρα καὶ ἀνορεξία καὶ ἀχροια ποσὴ καὶ ἀμεταληψία τῆς τροφῆς, ἐπισλήσῃ ταῦτα συμβαίνειν φλεγμαίνουσι τὸ ἧπαρ. Ὅσοις μέντοι καὶ πυρετοὶ καὶ φρῖκαι παρακολουθοῦσιν, ὄγκος τε εἴκων μετὰ τῶν ἄλλων τῶν προειρημένων, οὗτοι ἀπόσλημα ἐν ἥπατι ἔχουσιν. Εἰ μέντοι τὰ οὖρα ἐπιφάνειαν ἔχοι ὑγροῦ ἢ καὶ τὰ διαχωρήματα, ἢ μετὰ τῆς τροφῆς ἀνεμηθείη, ἢ ὑγρὸν ὑπὸ τὸ ὑπογάσλριον ἐν ταῖς ἀνακλίσεσιν, ἢ ἦχος ἢ κλυδὼν ἐπιφαίνοιτο, εἰδέναι χρὴ ἐῤῥῆχθαι τὸ ἀπόσλημα. Εἰ δὲ σκληρία πολυχρόνιος καὶ ὄγκος ὑποπίπλοι καὶ δοκοίη αὐτοῖς ὥσπερ τι βάρος ἐξηρτῆσθαι τοῦ διαφράγματος, καὶ δύσπνοια καὶ κακόχροια καὶ ἀνορεξία παρακολουθοῖ, ἐσκιῤῥωμένου ἥπατος σημεῖα. Φλεγμονῆς οὖν

Ch. 48, l. 16. ἀνυτικόν Aët. — 19. καθέσεις Aëtius; διαθέσεις X. — Ch. 49, l. 25. τροφῆς ἐπίσλασις εἰς ταῦτα συμβαίνει X.

ὑποκειμένης ἢ ἀλγημάτων, κοινὸν κατάπλασμα διὰ λινοσπέρμου καὶ τήλεως καὶ κριθίνου ἀλεύρου ἢ πυρίνου, ἤτοι πάντων, ἤ τινων, ἢ ἑνὸς, καὶ ἀψινθίου, καὶ μασ7ίχης. Τὸ δὲ ὑγρὸν μελίκρατον ἔσ7ω μετὰ ἐλαίου. Ἰδίως δὲ ποιεῖ ἐπὶ ἥπατος ἀγρίας μαλάχης ῥίζα μελικράτῳ ἑψηθεῖσα καὶ λειοτριβηθεῖσα μιγεῖσά τε τοῖς προειρημένοις. Εἰ δὲ μείζων εἴη ἡ φλεγμονὴ τοῦ ἥπατος, μικτέον τῷ καταπλάσματι χαμελαίαν, ἢ χαμαίπιτυν, ἢ πόλιον, ἢ ἄσαρον, ἢ μῆον, ἢ ἠρυγγίου ῥίζαν ἢ σπέρμα, ἢ δαῦκον. Ποιεῖ δὲ καὶ τὰ σῦκα ἑψόμενα καὶ συλλεαινόμενα. Θερμότερον δὲ γίνεται κατάπλασμα εἰ προσλάβοι πιτυίνης ῥητίνης Γο γ' ἢ πίσσης ξηρᾶς τὸ αὐτό. — Ἡπατικαὶ ἀντίδοτοι. Ἡ πικρὰ ἡπατική.] Ἀλόης ∠ρ', ξυλοβαλσάμου, ἀμώμου, ἀσάρου, ναρδοσ7άχυος, κρόκου, μασ7ίχης ἀνὰ ∠ς'. Δίδου ∠α' ἢ κοχλιάριον μετὰ ὕδατος θερμοῦ Γο γ'. — Ἡ διὰ ὀξυμέλιτος πικρὰ ποιοῦσα σ7ομαχικοῖς, χολικοῖς, ὑσ7ερικαῖς, ὑδρωπικοῖς.] Μαράθου ῥίζης φλοιοῦ ⅹ γ', ὄξους, εἰ παρείη, αἰγυπ7ίου· εἰ δὲ μή γε, κοινοῦ κο. ζ'. Ἕψε τὰς ῥίζας εἰς ἀποτρίτωσιν καὶ ῥίψας αὐτὰς μῖξον τῷ ὄξει μέλιτος ℔ α' ἢ ⅹ β' s'', καὶ πάλιν ἕψε ἕως συσ7άσεως μελιτώδους· ἐπάρας δὲ καὶ ψύξας ἔμπασον ἴρεως ἰλλυρικῆς Γο β', ἀλόης Γο η', μασ7ίχης χίας Γο α', ζιγγιβέρεως, κασίας, νάρδου κελτικῆς ῥιζῶν ἢ τῆς κόμης, ἐλενίου ἀνὰ Γο α', πεπέρεως ∠δ'. Ἐν ἄλλοις οὐχ εὗρον πέπερι. Εἰ δὲ παρείη, μήου Γο α'· εἰ δὲ μὴ παρείη, οὐκ ἐμποδίζει. Τινὲς καὶ ὀποῦ παρθικοῦ· ἐγὼ δὲ οὐδέπω τὸν ὀπὸν ἔμιξα. Ἡ δόσις κοχλιάριον ἐν ὕδατι, ἢ ὑδρομέλιτι κυ. δ', καὶ ἐπιρροφείτω ὕδατος κύ. α'. — Ἡπατικὸν ξηρίον χρονίαις διαθέσεσιν.] Κασ7ορίου, πετροσελίνου, κυπέρου, πεπέρεως λευκοῦ. Ἡ δόσις κοχλιάριον ἓν ἐν μελικράτου κυ. γ'. — Ἡπατικὸν ξηρίον.] Ἀνίσου, γεντιανῆς, ἀμυγδάλων πικρῶν, ἀψινθίου ἴσα. Κοχλιάριον ὕδατι θερμῷ δίδου. Κόσ7ου, τήλεως, ἄμμεως ἴσα. Κοχλιάριον ἕν. — Τοῖς ἐψυγμένοις ἧπαρ.] Ὀριγάνου κοχλιάριον ἐν μελικράτῳ· ἢ πρασίου κοχλιάριον ἕν, ἢ ἀφέψημα αὐτοῦ, ἢ πελεκίνου κοχλιάριον ἕν. — Τὸ διὰ λυκείου ἥπατος κάλλισ7ον· ἐξόχως γὰρ ποιεῖ.] Γεντιανῆς, χαμαιπίτυος, πρασίου, σελίνου, πετροσελίνου, χολῆς ἀρκείας, νάπυος, σκολοπενδρίου, μίλτου, πάνακος ῥίζης, ἐρυθροδάνου, κράμβης σπέρματος, ἀρισ7ολοχίας μακρᾶς, πεπέρεως λευκοῦ, νάρδου σ7άχυος, κόσ7ου, εὐζώμου σπέρματος, ἠρυγγίου ῥίζης, πολίου, ἐχίου, εὐπατορίου, ἀρκευθίδων ἴσα ἀναλάμβανε μέλιτι ἀπέφθῳ. Δίδου ποντικοῦ καρύου τὸ μέγεθος. Ἔνιοι καὶ λυκείου ἥπατος καὶ ἐλενίου ἴσα, καὶ ἡμεῖς οὕτως. — Ἀντίδοτος ἡπατικοῖς, σπληνικοῖς, ἰκτερικοῖς, πρὸς θώρακος πόνους, ὑποχόνδρια διῳδηκότα καὶ μετέωρα, καὶ πρὸς τοὺς μολιβδώδεις τὴν χροιάν.] Κρόκου ∠ι', σχοίνου ἄνθους ∠δ', κασίας, ναρδοσ7άχυος ἀνὰ ∠β', σμύρνης, κινναμώμου, κόσ7ου ἀνὰ ∠α', μέλιτος ἀπέφθου τὸ ἀρκοῦν. Ἀποτίθεσο ἐν ἀργυρῷ σκεύει, δίδου δὲ αἰγυπ7ίου κυάμου τὸ μέγεθος διεὶς ὕδατι καὶ μέλιτι, ἢ οἰνομέλιτος κυάθοις γ' καὶ ὕδατος κυ. θ'. — Πρὸς ἧπαρ σκιρρωθέν.] Σκιρρωθέντος ἥπατος πότημα ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης· πότιζε μελικράτῳ· εἰ δὲ ἐνδεδωκότα ἐσ7ὶ τὰ πυρεκτικά, ὀξυμέλιτι. Ἡ σκίλλης ὀπ7ῆς ὁμοίως τριώβολον· ὀπ7ᾶται δὲ ἡ σκίλλα ἐν καμίνῳ ἕως ἀνθρακώδη αὐτῆς τὰ ἐξώτερα, καὶ δίδοται τοῦ ἐγκαρδίου. — Περὶ ἀποσ7άσεως ἐν ἥπατι θεραπείας.] Ἀποσ7άσεως δὲ οὔσης ἐν ἥπατι συνεργεῖ τῇ συῤῥήξει καταπλάσματα διὰ

36. ἐσ7ὶ conj.; ἐπὶ X. Conf. Aët.

λινοσπέρμου, τήλεως, κριθίνου, παραμιγνυμένης αὐτοῖς ῥητίνης, μάννης, πίσσης, ἀλθαίας ῥιζῶν, περισΊερᾶς κόπρου, σπυράθων, πολίου· σπύραθοι δέ εἰσιν αἰγεία κόπρος. — Ἡπατικὸν κάλλισΊον.] Καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς φυομένου ἀφέψημα ἀποτριτωθέν. Κιχορίου καὶ χαμαίδρυος ἀφέψημα ὁμοίως τῆς ῥίζης πότιζε. — Περὶ συῤῥήξεως ἥπατος.] Συῤῥήξεως δὲ γενομένης ἐν ἥπατι ἔμπλασΊροι ἀναξηραντικαί, ἥ τε Ἱκεσίου, ἡ διὰ ἰτεῶν, προπαραληφθεισῶν τῶν μαλακτικῶν ἐμπλάσΊρων ὡς τῆς Μνασέου. — Ἐπίθεμα ἡπατικόν.] Κηροῦ, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ℥ α', τερεβινθίνης Γο δ', μελιλώτου Γο β', κρόκου Γο α', νάρδου μύρου Γο ε'. Τὸ ἀμμωνιακὸν ὄξει ἢ οἴνῳ λεάνας μίσγε τὰ λοιπὰ τοῖς τηκτοῖς. Ἀναληφθέντι χρῶ. — Ἄλλο ἐπίθεμα κάλλισΊον.] Κηροῦ, τερεβινθίνης ἀνὰ Γο ι', νίτρου, τήλεως, δαφνίδων, σαμψύχου ἀνὰ Γο ϛ', πεπέρεως Γο α', ἰρίνου μύρου τὸ ἀρκοῦν, οἴνου κόκκον α'. Τὰ ξηρὰ φυρᾶται τῷ οἴνῳ, τῇ δὲ ἐπιούσῃ μίγνυνται τοῖς τηκτοῖς. Ἡ δὲ χρῆσις μετὰ διπλασίονος κηρωτῆς ναρδίνης. Ἐν ἄλλῳ ἀντιγράφῳ νίτρου Γο β'. — Ἁπλᾶ καὶ σύνθετα πινόμενα πρὸς ἡπατικούς.] Ἡπατικοὺς πότιζε ἀναγαλλίδος χυλόν, ἀγαρικοῦ ἀφέψημα, ἢ χαμαιπίτυος, ἢ ἀδιάντου, ἢ ἀκόρου, ἢ σφονδυλίου ῥίζαν σὺν οἴνῳ· ἢ ἄμωμον, ἢ κασίαν, ἢ ἐλελίσφακον σὺν πικροῖς ἀμυγδάλοις ἐν μελικράτῳ, ἢ ἄσαρον σὺν ὕδατι, ἢ γεντιανῆς ∠α', ἢ γλυκυῤῥίζης χυλοῦ ∠α' μετὰ ὕδατος, ἢ τῆς ῥίζης ἀφέψημα, ἢ ἀρισΊολοχίας ὁμοίως, ἢ δάφνης ῥίζης τριώβολον ἐν μελικράτῳ, ἢ ἠρυγγίου ∠α' μετὰ φυλλίνου σπέρματος, ἢ ἑρπύλλου ἀφέψημα, ἢ ῥᾶ ποντικοῦ ἀπυρέτοις, ἢ ἠριγέροντος ἀπόζεμα, ἢ πολίου ὁμοίως, ἢ σινωπίδος ∠α'. — Ἡπατικὸν χρονίαις περιωδυνίαις καὶ σκληρίαις.] ΚόσΊου, τήλεως, πεπέρεως, ξηροῦ πηγάνου κόμης, πίσσης ξηρᾶς ἴσα. Πότιζε κοχλιάριον α' ὕδατι, ἢ ὑδρομέλιτι, ἢ οἴνῳ. — Ἄλλο ἡπατικόν.] Κρόκου ∠δ', ἀμμωνιακοῦ θυμιάματος ∠λβ'. Τὸν κρόκον ὕδατι βρέξας καὶ λεάνας καὶ ἐπιβαλὼν τὸ ἀμμωνιακὸν ἀνάλαβε καὶ πλάσσε τροχίσκους. Δίδου ὕδατι ∠α' ἢ τριώβολον. — Ἡπατικόν.] Ἀλόης ∠β', γλαυκίου ∠δ'. Δίδου ξηρὸν ἀπυρέτοις οἴνῳ κεκραμένῳ εὐθυλοότροις μύσΊρον α', πυρέσσουσι μελικράτῳ.

ν'. Περὶ σπληνός.

Ὅσοις ὑπὸ τὸ ἀρισΊερὸν ὑποχόνδριον ἄλγημα καὶ διάτασις καὶ κάρος καὶ ἀνορεξία καὶ τῆς γλώσσης ξηρότης μετὰ φρικιῶν καὶ πυρετῶν παρακολουθεῖ καὶ ἐν ταῖς ἐπισΊροφαῖς βάρος ὥσπερ ἀποσκωμένου τινός, σπληνικοὶ καλοῦνται. Καὶ σκιῤῥοῦται δέ ποτε σπλὴν ὥσΊε ὄγκον ὑποπίπΊειν μείζονα μετὰ σκληρότητος καὶ ἀντιτυπίας, ὥσΊε δοκεῖν λίθον αὐτοῖς ἐκκρέμασθαι· δραμόντες δὲ ἢ κοπιάσαντες ἄλλως πως ὀδυνῶνται, ἕλκη τε δυσαλθῆ ἴσχουσι, καὶ μάλισΊα περὶ τὰ σκέλη, καὶ κακόχροια τοῦ σώματος ἐπὶ τὸ μελάντερον· χρονίζοντες δὲ καὶ ὑδρωπιῶσιν. Ἐμβροχαὶ οὖν προσαγέσθωσαν φλεγμαίνοντος σπληνὸς ὀξέλαιον ἐν οἰσυπηροῖς ἐρίοις, καταπλάσματα δὲ διὰ ὀξυμέλιτος καὶ ἀλεύρου κριθίνου μετὰ ἀψινθίου καὶ μυροβαλάνου, ἢ διὰ καππάρεως ῥίζης λείας· ἔσΊω δὲ τοῦ καταπλάσματος τέταρτον· ἢ καππάρεως ὁμοίως, ἢ μυροβαλάνου τὸ ἴσον· ἢ κυκλαμίνου ὁμοίως· ἢ ἀλθαίας ῥίζης ἐν ὀξυμέλιτι λειανθείσης καὶ ἑψη-

Ch. 50, l. 27. κάρος] βάρος Aët.

θείσης. Κηρωτὴ δὲ διαδεχομένη τὸ κατάπλασμα μυροβάλανον ἐχέτω. — Ποτήματα σπληνικά.] Ποτήματα διδόσθω ἀμμωνιακοῦ μέρη δύο μετὰ ἑνὸς μέρους καστορίου· μίξας πότιζε σὺν ὀξυκράτῳ ∠α'· ἢ μυρίκης καρποῦ, ἢ φύλλων, ἢ ἀνθῶν, ἢ κισσοῦ κόκκοι ιε' μετὰ ὀξυκράτου, ἢ πολίου σπέρματος, ἢ ὀρμίνου σπέρματος μετὰ ὀξυμέλιτος, ἢ ἑρπύλλου ὀξύβαφον· ἢ ὕδωρ χαλκέως ἐν ᾧ τὸν σίδηρον βάπτουσιν, ἢ λιβάνου ὀβολοὺς δύο μετὰ μαράθου σπέρματος κοχλιάριον μετὰ οἴνου· ἢ ἀμμωνιακοῦ θυμιάματος ∠α' μετὰ ὀξυμέλιτος κυ. γ'. — Πότημα σπληνικόν.] Μυρίκης καρποῦ ∠δ', πεπέρεως ∠δ', ναρδοστάχυος ∠β', ἀμμωνιακοῦ θυμιάματος ∠β'. Ἡ δόσις ∠α'· ὀξυμέλιτι λειοῦται [ἢ] ὄξει σκιλλιτικῷ. — Ἄλλο.] Πάνακος ῥίζης, ἀμμωνιακοῦ θυμιάματος, καππάρεως ῥίζης φλοιοῦ, στρουθίου, σκίλλης ὀπτῆς τὸ ἐντός· δίδου ἴσα ὀβολοὺς δ' ἢ ε' ἢ δραχμὴν α'. Ποιεῖ δὲ καὶ ἀσθματικοῖς καὶ ὑδρωπικοῖς. — Ἄλλο.] Κυπέρου ∠ιβ', ἄγνου σπέρματος ∠η'· κόψας καὶ σήσας πότιζε διὰ ὕδατος ἐν ᾧ σίδηρος πολλάκις ἐσβέσθη. — Ἄλλο πότημα.] Στρουθίου καὶ καππάρεως ῥίζης, δικτάμνου, σταφυλίνου, πάνακος ῥίζης, σταφυλίνου σπέρματος ἴσα· δίδου μετὰ ὀξυμέλιτος ἢ ὕδατος. — Τροχίσκος σπληνικός.] Κυκλαμίνου ∠κ', βρυωνίας ∠η', δικτάμνου ∠β', σκίλλης ὀπτῆς ∠η', καππάρεως ῥίζης φλοιοῦ ∠ϛ', στρουθίου ῥίζης ∠ϛ'. Ποίει τροχίσκους τριωβολιαίους ἐν ὀξυμέλιτι κυάθους γ' καὶ δίδου καταπότια εἰς ἄπεφθον ἐμβάψας μέλι. — Ἐπίθεμα τὸ διὰ σπυράθων σπληνικοῖς, ὑδρωπικοῖς καὶ ἧπαρ ἐσκιῤῥωμένοις.] Κυπρίνου ἢ παλαιοτάτου ἐλαίου λ̸ γ', κηροῦ λ̸ β's″, σπυράθων αἰγὸς, δαφνίδων λελεπισμένων, ἴρεως ἰλλυρικῆς ἀνὰ ἡμίνα, τερεβινθίνης λ̸ α', νάπυος, νίτρου, κυπέρου, πυρέθρου, ῥαφάνου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ ἀνὰ Γο γ', κολοκυνθίδος ἐντεριώνης Γο α', τήλεως Γο α'. Ἔστιν ὅτε τὰ ξηρὰ ἀναλαμβάνεται τοῖς τηκτοῖς ὄξει φυραθέντα· ἐγὼ κολοκυνθίδος Γο β' ἔβαλον· εἰ δὲ ἡ κοιλία ῥέοι, μηδὲ ὅλως βάλλειν. Ἡ δὲ αἰγεία κόπρος ξηρὰ μὲν οὖσα κόπτεται καὶ σήθεται· ἁπαλὴ δὲ καὶ πρόσφατος ὄξει συλλεαίνεται. — Διὰ δαφνίδων.] Κηροῦ, πίσσης, πιτυΐνης, ταυρείου στέατος, ἀμμωνιακοῦ θυμιάματος, νίτρου, δαφνίδων ἀνὰ λ̸ β', κάχρυος Γο γ'. Τὰ τηκτὰ ἐπίβαλε τοῖς ἄλλοις λείοις. Διαφορεῖ, ἐπισπᾶται, ποιεῖ τε καὶ πρὸς ἰσχιάδας καὶ ἡμικρανίαν. Κάχρυος μὴ παρόντος, βάλε πύρεθρον. — Ἄλλο ἡμέτερον.] Κηροῦ, πιτυΐνης, πίσσης ξηρᾶς, δαφνίδων λελεπισμένων λ̸ ἀνὰ α', νίτρου, χαλβάνης ἀνὰ Γο ϛ', ἰοῦ ξυστοῦ Γο α', εὐφορβίου Γο α', δαφνίνου ἐλαίου Γο δ'. Ποιεῖ καὶ πρὸς κύστιν ἀλγοῦντας, ἧπαρ ἐσκιῤῥωμένον καὶ σπλῆνα, ἄρθρων ἐπὶ ἀλγήμασι, καὶ ἔμμηνα ἄγει ῥᾷον. — Τὸ διὰ μελιλώτου.] Τερεβινθίνης λ̸ β', κηροῦ λ̸ α's″, μελιλώτου Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο θ', βδελλίου Γο δ's″, μυροβαλάνου, οἰνάνθης ἀνὰ Γο γ', κρόκου, κυπέρου, καρδαμώμου, ἴρεως, ἀμώμου, κασίας, κελτικῆς ἀνὰ Γο α's″, νάρδου μύρου λ̸ β'. Ἐνίοτε καὶ ὀποβαλσάμου βάλλω Γο β'.

να'. Περὶ ἰκτέρου.

Συνίσταται ἴκτερος τῆς διακριτικῆς τοῦ πνεύματος δυνάμεως ἡττονηκυίας καὶ χωρίζειν καὶ διαπέμπειν εἰς ἃ προσήκει οὐ δυναμένης, κατάρχειν δὲ τῆς τοιαύτης κατα-

9. [ἢ] ex em.; om. X. Conf. Paul. — 21. ῥεφάνου X, et sic passim. — 31. ἄρθρα X.

σκευῆς δύναται καὶ τῆς ἀπὸ ἄκρων διατεινούσης ἐπὶ τὰ ὅλα καὶ τῆς ἐν μέρει Θέσεως. Πεπλανῆσθαι δὲ ὑποληπτέον τοὺς οἰομένους ἥπατος διάθεσιν εἶναι, ἐπεὶ πολλοὺς τῶν ἰκτερικῶν ἰδεῖν ἔστι μηδὲ ὅλως τὸ ἧπαρ ἐν αἰσθήσει τινὶ ἔχοντας, ἐνίους δὲ ὑπὸ σπληνὸς καί τινας ὑπὸ στόματος κοιλίας ἐνοχλουμένους. Εἰσὶ δὲ τοῦ πάθους διαφοραὶ δύο· οἱ μὲν γὰρ λεκιθώδεις εἰσὶ τὴν χροιὰν καὶ ἔκλευκοι· οἱ δὲ μελαντέραν καὶ χαλεπωτέραν ἔχουσιν. — Θεραπεία.] Αἷμα οὖν, ὅπως δὲ ἂν ἔχωσιν, ἀφαιρετέον ἀπὸ ἀγκῶνος σύμμετρον εἰ μὴ φθάσειεν ἰσχνωθῆναι καὶ ἐγγὺς καχεξίας γενέσθαι, τῆς ἡλικίας ἀπαιτούσης μετὰ ἐπαφαιρέσεως. Ἐπιτήδειος δὲ καὶ ὁ κλυστήρ· ἐπιτομὴ δὲ γένοιτο πάντων ἤδη τῆς ἱερᾶς κάθαρσις· εἰ δέ τι ὑποπίπτοι φλεγμαῖνον, καὶ σικύαι καὶ ἐμβροχαὶ καὶ καταπλάσματα καὶ μαλάγματα.—Ποτὰ ἁπλᾶ.] Σελίνου ἀπόζεμα πότιζε τοὺς ἰκτερικούς, ἢ ἀδιάντου· εἰς ἀποτρίτωσιν δὲ ἑψέσθω· ἢ ἀψινθίου ἀφέψημα· ἢ ἀψίνθιον ἔμπασσε τῷ ποτῷ· ἢ ἐρυθρόδανον ἔμπασσε ᾠοῖς ῥυτοῖς. Ἄκρως δὲ ποιεῖ ῥαφάνων χυλὸς ποτιζόμενος μετὰ οἴνου ἀκράτου· ἔστω δὲ τοῦ τε χυλοῦ καὶ τοῦ οἴνου ἴσον· ἡ δόσις κυάθου α' ἢ β' τὸ πλῆθος· ἢ ἀφρόνιτρον μετὰ οἰνομέλιτος. Κυνὸς δὲ αἷμα ἔδοσάν τινες ἰκτερικοῖς καὶ πάνυ ηὐδοκίμησαν, λαπάθου τε ἀπόζεμα εἰς ἀποτρίτωσιν ποθὲν καλῶς ποιεῖ. Φυλάσσεσθαι δὲ χρὴ τὴν συνέχειαν τῶν ποτῶν. Ποτίζεται δὲ καὶ χυλὸς κιχωρίου κύ. α' ἢ δύο ἢ γ' μετὰ οἴνου, ἢ ἑρπύλλου ἀφέψημα ἀποτριτωθέν. Τοὺς δὲ ἐπὶ ἥπατος φλεγμονῇ ἰκτερικοὺς ποτίζειν διὰ προσφάτου οἰνομέλιτος, ἀφεψήματος ἀριστολοχίας λεπτῆς, ἢ ὑπερικοῦ, ἢ ἀδιάντου, ἢ ἐρεβίνθων λευκῶν. Ἢ ἐρυθροδάνου τριώβολον, ἢ στρουθίου βραχὺ μετὰ σύκου ξηροῦ ἐσθιέτωσαν, ἢ φοίνικος. Ἢ Θείου ἀπύρου ∠α' ἐν ᾠοῖς ῥοφείτωσαν, ἢ σταφυλῖνον αὐτὸν, τουτέστι τὴν ῥίζαν ἐν οἴνῳ ἕψειν εἰς ἀποτρίτωσιν καὶ κιρνῶντα τοῦ οἴνου κύαθον α' πρὸς ε' ὕδατος· ἢ κέρατος ἐλαφείου ῥινήματος ∠α' μετὰ οἴνου κύ. α' καὶ ὕδατος κυάθους β', ἢ καλαμίνθης χυλὸν, ἢ ὀρόβων ἄλευρον μετὰ ὕδατος. — Ἀντίδοτοι.] Ἥ τε πικρὰ καὶ ἡ διὰ ὀξυμέλιτος πικρὰ καὶ ὁ διὰ ἀμυγδάλων πικρῶν καὶ ἀσάρου καὶ ἀνίσου σπέρματος καὶ σελίνου καὶ ἀψινθίου ἴσων τροχίσκος. Πρὸς ἰκτερικοὺς χρῶ τοῖς ἡπατικοῖς· δίδου δὲ καὶ κιννάμωμον ὅσον τρισὶ δακτύλοις κατέχειν ἐν οἰνομέλιτος κύ. α' ὕδατι κεκραμένου. — Ἄλλο.] Ἀγρώστεως ∠γ' μετὰ ἀψινθίου ∠α'. — Ἄλλο.] Ὀροβίνου ἀλεύρου ∠α', κρόκου, κελτικῆς ἀνὰ ἥμισυ ὀβολοῦ. — Ἄλλο.] Σμύρνης κυαμιαῖον μέγεθος, πεπέρεως κόκκους κε', ἴσον τε κινναμώμου. — Ἄλλο.] Ἐρεβίνθων ὀξύβαφον, μαράθου δεσμίδιον ἑψήσας ὡς τακῆναι δίδου τὸν χυλὸν μετὰ οἰνομέλιτος. — Ἰκτερικὸν ποτόν.] Ὀρόβου, κελτικῆς νάρδου, κέρατος ἐλαφείου ῥινήματος ἀνὰ ∠ϛ', πεπέρεως λευκοῦ ∠α's", λιβάνου ∠α'. Μέλιτι ἀναλαβὼν πότιζε οἰνομέλιτι ἢ ὑδρομέλιτι καρύου ποντικοῦ τὸ μέγεθος. — Πότημα.] Στρουθίου κόκκ. β', ἐρυθροδάνου κόκκ. α', ὕδατος κυ. γ'. Δίδου νήστει καὶ περιπατείτω ταχέως. — Ἄλλο.] Σκορόδου ἀγλῖθας γ' λείας μετὰ οἴνου Ἰταλικοῦ ἡμίνης πότιζε ἐν βαλανείῳ, ἀρξάμενον δὲ ἱδροῦν κάθιε εἰς τὴν ἔμβασιν· τοῦτο κάλλιστον. Ἐναπειλημμένης δὲ χολῆς περὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν κεφαλὴν ἐλατήριον ἡλίκον ὀρόβου γάλακτι γυναικείῳ διεὶς, ὕπτιον δὲ κατακλίνας ἐν τῷ χείλει τῆς ἐμβάσεως τοῦ βαλανείου ἔνσταζε ταῖς ῥισὶ καὶ

4. τινος X. — 18. ἀφέψημα X. — 27. ὕδ. κεκραμένῳ X. — 29. ἴσον Paul.; ἴσου X.

εὐθέως κάθιε εἰς τὴν ἔμβασιν τὸν θεραπευόμενον, καὶ καταδύειν μὲν τὴν κεφαλὴν μὴ ἐπίτρεπε, καταχύσει δὲ χρῆσθαι. Μετὰ δὲ τὸ λουτρὸν ἀναληπτικῶς διαιτᾷν ἐγχεῖν τε ταῖς ῥισὶν ὡσαύτως τὸ ἐλατήριον, καὶ ἐν ἡλίῳ καθεζομένου, ἢ κυκλαμίνου χυλὸν, ἢ πρασίου χυλὸν, ἢ μελανθίου χυλὸν ὡσαύτως.

νβ΄. Περὶ ὑδρωπικῶν.

Ἐπὶ τοῦ ὕδρωπος πρὸ πάντων πυρετοῦ ὄντος ἐπιμέλειαν ποιήσομαι καιροῦ τοῦ δέοντος τροφῆς καὶ τῶν ἄλλων βοηθημάτων ἐκλεγόμενος. Διουρητικὰ οὖν πόματα ἁρμόζει ὑδρωπικοῖς ἅ τινα μὴ συνεχῶς, μηδὲ ἐφεξῆς, ἀλλὰ ἐκ διαλειμμάτων δοτέον, ἀφέψημα σελίνου ῥιζῶν, ἢ νάρδου, ἢ ἀσάρου. Ἔσῖι δὲ καὶ πολυμίγματον τοῦτο· βαλσάμου, νάρδου, κασίας, κυμίνου, γλυκυῤῥίζης, ὑπερικοῦ, ἀμώμου, σμυρνίου, πετροσελίνου, καλάμου ἀρωματικοῦ, πεπέρεως, σεσέλεως, σπονδυλίου ἴσα. Ποιεῖ δὲ καὶ ἕκασῖον κατὰ αὐτό. Δίχα δὲ βάρους τὴν οὔρησιν κινεῖ σκίλλα ὀπῖή· ὀπῖᾶται δὲ καὶ μετὰ μέλιτος λεαινομένη ὡς ἔκλειγμα δίδοται. Ἐναφεψηθείη δὲ ἂν καὶ τοῖς πινομένοις ὕδασιν. Ὑδραγωγὰ δὲ προσφέρειν μετὰ τῆς λοιπῆς ἀγωγῆς ἐκ διαλειμμάτων, ἀφέψημα σῖρουθίου, ἢ τιθυμάλλου, ἢ κόκκον κνίδιον λεπῖὸν, ἢ πολυπόδιον, ἢ τὴν λεγομένην ἄποιον, ἥν τινες χαμαιρέφανον καλοῦσιν, ἢ μύουρον. Τὴν μέντοι συνεχῆ χρῆσιν τῶν τε ὑδραγωγῶν καὶ τῶν διουρητικῶν ὡς ἀναιρετικωτάτην παραιτητέον. — Πότημα ὑδραγωγόν.] Φοινίκων πατητῶν Γο δ΄, κόκκου κνιδίου ∠β΄, ἀλόης, νίτρου βερενικαρίου ἀνὰ ∠α΄. Ἡ δόσις ∠α΄ς″ σὺν οἰνομέλιτι. Εὐφορβίου, νίτρου ἀνὰ ∠δ΄, τηλίνου ἀλεύρου ∠η΄. Ἡ τελεία δόσις ∠δ΄ σὺν οἰνομέλιτι. Ἡ διὰ ὀξυμέλιτος πικρὰ κατὰ βραχὺ κενοῖ μηδὲν τῶν δυνάμεων ἀποκόπῖουσα· κεῖται ἐν τοῖς ἡπατικοῖς. — Πότημα ἁπλοῦν.] Σκίλλης τοῦ ἐντὸς ℔ β΄, οἴνου αὐσῖηροῦ ξεσῖία γ΄. Ἑψήσας εἰς ἀποτρίτωσιν δίδου ἐκ τοῦ οἴνου κατὰ ἡμέραν ἀπὸ μύσῖρου ἀρξάμενος κατὰ πρόσθεσιν ἑκάσῖης ἡμέρας ἕως Γο α΄. Πλέον δὲ μὴ προχωρείτω ὁ σῖαθμός. Τινὲς δὲ καὶ τῆς σκίλλης βραχὺ διδόασιν. — Καταπότια Διοκλέους.] Μαράθου σπέρματος, καππάρεως ῥίζης φλοιοῦ, σικύου σπέρματος, καρδαμώμου, ἠρυγγίου ῥίζης ἀνὰ ὀξύβαφον, περισῖερᾶς κόπρου ὀξύβαφα δύο. Λειάνας πλάσσε καταπότια κυαμιαῖα καὶ δίδου τρία κατὰ ἡμέραν. — Πεσσὸς γυναιξὶν ὑδρωπικαῖς.] Ἀνίσου, κυμίνου, καρδαμώμου, νίτρου, ἀρισῖολοχίας, γλήχωνος, τήλεως, σύκων τοῦ ἐντὸς ἴσα σὺν οἴνῳ ἀναληφθέντα προσῖίθεται. — Καταπλάσματα.] Αἴρινον ἄλευρον μετὰ ἀψινθίου καὶ σύκων καὶ ὑσσώπου καὶ ὀριγάνου ἐν ὀξυμέλιτι, ἢ βόλβιτα ξηρὰ μετὰ ὀξυμέλιτος, ἢ βολβὸν μετὰ μέλιτος, ἢ βόλβιτα ξηρὰ μετὰ ὀξυκράτου ἢ ὀξυμέλιτος· ἐχέτω δὲ καὶ τέταρτον θείου ἀπύρου· ἢ σπυράθους αἰγὸς ἐν οὔρῳ παιδὸς ἀφθόρου· ἢ κυάμινον ἄλευρον καὶ ὀρόβινον μετὰ ὀξυμέλιτος, ἢ ἅλμης. Τὰς δὲ τῶν σκελῶν οἰδήσεις ἄρτον βρέξας καὶ λειώσας σὺν αὐτῷ ἁλὸς λειοτάτου καὶ ἐμπλάσας ἐπίχριε ἐῶν ἕως ὡρῶν δ΄, ἀποῤῥεύσαντος δὲ ὑδατώδους ἀποσπογγίσας καὶ ἀπομάξας ἐπάλειφε μηλίνῳ, ἢ μυρσινίνῳ, ἢ σχινίνῳ ἐλαίῳ. — Ἄλλο

Cʜ. 52, l. 17. ἀλωήν X, et sic semper. — 20. ὑποκόπῖουσα X. — 21. τὸ ἐντός X. — 23. ἕως Paul.; ὡς X. — 28. τοῦ Paul.; τό X. — Ib. σὺν οἴνῳ] σουσίνῳ X. — 32. σπυράθους (sc. κατάπλασσε) Syn., ad Eun., Aët., Paul.; σπυράθων X.

κατὰ τὰ μέσα καταπλασσόμενον· ποιεῖ καὶ σπληνικοῖς καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς.] *Ῥοῦ βυρσοδεψικῆς, γύρεως σιτίνης ἢ αἰρίνης, ἢ κυαμίνου ἀλεύρου* ℥ *α', λιβάνου, σχιστῆς ἀνὰ* Γο *γ'· σὺν ὀξυμέλιτι κατάπλασσε.* — *Τὸ πολυάρχειον.*] *Κηροῦ ποντικοῦ* λ *α', μύρου νάρδου* λ *α', τερεβινθίνης, ἀμώμου ἀνὰ* Γο *β', μαστίχης χίας, φολιάτου ἀνὰ* Γο *δ', ναρδοστάχυος, πεπέρεως, κόστου, κασίας, λιβανωτοῦ, σμύρνης, βδελλίου, ἀλόης, φύλλου, κυπέρου, μελιλώτου, κινναμώμου, ξυλοκασίας ἀνὰ* Γο *δ', ὀποβαλσάμου* Γο *β'· Οἴνῳ Φαλερίνῳ τὰ ξηρὰ φυραθέντα πάλιν ξηραίνεται καὶ τότε λειωθέντα ξηρὰ ἀναλαμβάνεται τοῖς τηκτοῖς καὶ ὁλμοκοπεῖται· ἐπὶ τέλει δὲ ἄβροχον ἐμπάσσεται τὸ φύλλον, εἶτα τὸ φολιάτον, καὶ ὕστατον τὸ ὀποβάλσαμον. Ἐπὶ μὲν οὖν ὑδρωπικῶν καὶ σπληνικῶν ἀκράτῳ χρηστέον, ἐπὶ δὲ στομαχικῶν καὶ κοιλιακῶν καὶ ἡπατικῶν καὶ δυσεντερικῶν μικτέον αὐτῷ διπλασίονα κηρωτήν. Τινὲς καὶ ἡδυχρόου μάγματος* Γο *α' s'' βάλλουσιν. Τὸ διὰ σπυράθων κεῖται ἐν τοῖς σπληνικοῖς.* — *Ἱπωτήριον ὑδρωπικοῖς, σπληνικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς.*] *Κολοφωνίας, κηροῦ, πίσσης βρυτίας, νίτρου, θείου ἀπύρου ἀνὰ* ∠ *ιβ', στυπτηρίας φορίμης, λιβάνου, ἐλαίου παλαιοῦ ἀνὰ* Γο *ϛ'. Ἐμοὶ δοκεῖ ἐπὶ μὲν ὑδρωπικῶν ὑφαιρεῖν τοῦ νίτρου τὸ s'' διὰ τὸ μὴ ταχέως φοινίσσειν· ἐπὶ δὲ τῶν ἄλλων παθῶν ὡς ἔχει.* — *Ὑδρωπικῶν ἐμπνευματουμένων.*] *Ἄρτου* ℥ *α', κυμίνου* ℥ *τὸ δ', σαμψύχου* Γο *γ', πυρέθρου* Γο *β', εὐφορβίου* Γο *α'. Σὺν οἰνομέλιτι κατάπλασσε τήν τε ῥάχιν πᾶσαν ἕως τῶν συνωμίδων καὶ ἰσχίων καὶ τὸ ἐπιγάστριον ἕως μασθῶν· ἐπίλυε δὲ παρὰ μίαν καὶ πάλιν κατάπλασσε. Ποίει ἐντὸς ε' ἢ ϛ' καταπλασμάτων· ἐγὼ στρούθιον ἀντὶ εὐφορβίου ἔβαλον.* — *Ἄλλο κάλλιστον.*] *Στέατος χοιρείου παλαιοῦ, δαφνίδων, ἁλῶν κοινῶν. Κατάπλασσε συχνῶς.*

νγ'. Περὶ χολέρας.

Χολέρα ἐστὶν ὅταν ἐξ ἀπεψίας ἔμετος χολωδῶν καὶ ὀξωδῶν καὶ κνισωδῶν πλειόνων γένηται καὶ ἡ κάτω κοιλία ὅμοια διαχωρῇ, δίψος τε παρακολουθῇ καὶ ἐφίδρωσις καὶ τῶν σφυγμῶν ἐκκοπὴ καὶ μυῶν τῶν ἐν ἀγκῶσι καὶ μηροῖς καὶ γαστροκνήμαις συνολκή τε καὶ τάσις. Ἀπερατέον οὖν εὐθέως τὸ διεφθορὸς ὕδατος χλιαροῦ ποθέντος· τό τε γὰρ ὑδρόμελι πνευματοῦν ἐπιτείνει τοὺς στρόφους, τὸ δὲ ὑδρέλαιον ἐρεθίζει τοὺς ῥευματισμούς. Συνεργητέον δὲ καὶ τῇ διὰ κοιλίας ἐκκρίσει. Ὅταν δὲ ἡ μὲν ἔκκρισις παύσηται, συντήξεως δὲ ᾖ τὰ ἐκκρινόμενα, οἷον ξυσματώδη, γλοιώδη, μυξώδη, ἰσχνότης τε τῆς τοῦ σώματος περιοχῆς γίνηται, μάλιστα τῆς γαστρὸς συμπιπτούσης, τοῦ τε σφυγμοῦ μειουμένου καὶ πυκνουμένου ἀμετρότερον, σκέπειν τε καὶ θάλπειν τὴν κοιλίαν, λιπαίνειν τε τὰ κῶλα καὶ τοὺς μυώδεις τόπους, καταπλάσσειν τε τὸ διὰ φοινίκων μετὰ οἰνάνθης καὶ ἀκακίας καὶ ὑποκιστίδος καὶ ῥοῦ καὶ σιδίων, διδόναι τε καταῤῥοφεῖν ὕδατος ψυχροῦ κατὰ κύαθον· ἐπιεικῶς δὲ ἔστω ψυχρόν· τό τε γὰρ ἀθρόον ἀπεμεῖται, καὶ τὸ πάνυ ψυχρὸν ἔστιν ὅτε πλῆξαν ἀποστρέφει τὸ ἔμφυτον θερμὸν ἢ φλεγμονὴν ἀπεργάζεται. Ἐμπεπάσθω τε τῷ ῥοφουμένῳ ὕδατι οἰνάνθης, ἢ ἐμβρεχέσθω, ἢ ἕλικες ἀμπέλου, ἢ ῥόδα ἁπαλά. Ἢ χυλὸν δοτέον ῥοᾶς βραχὺ ἡδυόσμου ἐμπάσσοντα.

19. *Ποίει..... καταπλασμάτων*] *atque id quinquies aut sexies facito* Aët. lat. — Ch. 53, l. 31-32. *Φοινίκων* Aët., Paul.; *Φοινίκων μήλων* X. — 36. *ἡδυόσμου* Aët.; *ἢ ἡδυόσμου* X.

Βέλτιον δὲ ὁ τῆς ὀξυγλύκεος ῥοιᾶς χυλός. Δριμυτέρων δὲ ὄντων τῶν ἐκκρινομένων σικύου σπέρμα βραχὺ καὶ λεπισθὲν καὶ τριφθὲν διδόσθω μετὰ ὕδατος κυ. γ', ἔστιν ὅτε καὶ μετὰ ἀμύλου. Ἀκατασχέτου δὲ τῆς φορᾶς οὔσης καὶ τοῦ σφυγμοῦ θρυπτομένου καὶ περιψύξεως καταλαμβανούσης καὶ περιιδρώσεως, ἐνίοτε καὶ λυγμῶν, ἐπὶ οἶνον ἐλθετέον στύφοντα μετρίως ἄνοσμον σὺν χόνδρῳ ἢ μετὰ ψιχῶν, καὶ ἐκ διαλειμμάτων καταῤῥοφεῖν διδόναι, ἢ ἄλφιτον τῷ κράματι ἐμπάσσοντα διδόναι ὁμοίως κατὰ ῥόφημα. Εἰ δὲ ἀποστρέφοιτο τὰ σιτώδη, τῶν ὡραίων τι ἀποχυλίζοντες τὸ σαρκῶδες ἀποπτυέτωσαν· ἁρμόζει δὲ ἀποχυλίζειν ὠμὸν μέσπιλον, κυδώνιον, ὀπτὸν κρουστούμενον, σταφυλὴν, μάλιστα μὲν τὴν ἀπὸ τῶν στεμφύλων, ἤδη δὲ καὶ κρεμαστὴν σὺν τοῖς γιγάρτοις· ὀσφραντὰ δὲ κυδώνιον μῆλον, ῥόδα, οἶνος, μήκων. Πρὸς δὲ τὰς συνολκὰς ῥάκη θερμὰ ἁπαλὰ ἐλαιοβραχῆ τοῖς μυσὶ περιτιθέναι, κηρωτάς τε ὑγρὰς ἐχούσας τι καὶ καστορίου καὶ σικυωνίου. Τοὺς δὲ σιαγονίτας μύας τὸ καλύπτειν ἐρίοις καὶ ἀσῶδες καὶ ἱδρωτοποιοῦν· ἐπαφαῖς οὖν αὐτοὺς μαλακτέον. Διδόναι τὰ ἐν τροφῇ ὑῶν πόδας, νεοττοὺς περιστερῶν καὶ ἀλεκτορίδων, πέρδικας, κίχλας, φάσσας.

νδ'. Περὶ κοιλιακῶν.

Κοιλιακὴ διάθεσις ἰδίως ἐστὶν ὅτε λεῖα καὶ κάθυγρα ἐκδίδοται διαχωρήματα, ἀτονούσης τῆς γαστρὸς ἀναδιδόναι αὐτά. Κατάπλασμα οὖν λινόσπερμον μετὰ φοινίκων ἀκροχλίαρον ἐπιτιθέναι, μικτέον τε καὶ ἀκακίας καὶ ὑποκιστίδος. Ἄκρως δὲ ποιεῖ καὶ σχῖνος καὶ βάτος συνεψομένη τῷ ὀξυμέλιτι. Πάνυ δὲ ἐπιτήδειον ἐμπνευματώσεως οὔσης κυμίνου προσλαβὸν καὶ ἀνήθου καὶ πηγάνου· πάντα καταπαστέον. Κατάπλασμα ὠμήλυσις διὰ ὀξυμέλιτος. Εἰ δὲ ἐπισχεῖν θέλοιμεν τὰ φερόμενα, συνεμβαλοῦμεν μῆλα κυδώνια, στυπτηρίαν ὑγρὰν, ἀκακίαν, κηκῖδα, ὑποκιστίδα, ὀτὲ μέν τινα τούτων, ὀτὲ δὲ πάντα. Κηρωταὶ διὰ μυρσινίνου ἢ σχινίνου μετά τινος τῶν στυφόντων, οἷον κηκῖδος, σιδίων. Ἐπιθέματα ἄκρως ποιοῦντα τό τε διὰ δαφνίδων καὶ τὸ διὰ σπερμάτων, κείμενα τὸ μὲν ἐν τοῖς ὑδρωπικοῖς, τὸ δὲ ἐν τοῖς σπληνικοῖς· ἔστι δὲ τοιοῦτον. Κηροῦ, τερεβινθίνης ἀνὰ ℔ α', ταυρείου στέατος, κυπρίνου, μέλιτος ἀνὰ Γο ς', ἀμμωνιακοῦ θυμιάματος ἀνὰ Γο γ', μελιλώτου, βράθυος, κελτικῆς νάρδου, καρδαμώμου, δαφνίδων, σαμψύχου, σελίνου σπέρματος, ἀνίσου, νίτρου, ἴρεως, κυπέρου, κασίας, κρόκου, λιβάνου, σμύρνης, στύρακος, πάνακος ἀνὰ Γο α'S", ὄξους ἢ οἴνου κο. α'. Μὴ ὄντος πάνακος, ὀποπάνακα ἔβαλον. Ἐπὶ μὲν οὖν ὑδρωπικῶν καὶ σπληνικῶν ἀκράτῳ χρηστέον· ἐπὶ δὲ τῶν λοιπῶν ἀνετέον οὕτως. Τοῦ φαρμάκου ℔ α', κηροῦ, κολοφωνίας ἀνὰ Γο ς', ναρδίνου Γο η', οἴνου βραχύ· οἱ δὲ ὄξους. Ὀποβαλσάμου δὲ προσλαβὸν ἔοικε πολυαρχείῳ· ἐχέτω δὲ Γο β'. Καὶ τὸ Κηφισοφῶντος, δρώπαξ δὲ ἔχων ἀσφάλτου καὶ θείου καὶ ἀδάρκης. Πότημα ἀρνογλώσσου σπέρμα μετὰ ὕδατος ἢ κράματος, ἢ σίδια ῥοιᾶς· ἐπὶ ὀλίγον δὲ στομάχου ἅπτεται· ἀλεκτορίδων δὲ κοιλία ξηρὰ ἐμπασσομένη τῷ

1. τῆς ὀξυγλύκου X. — 11. τοῖς μυσί Paul.; τοῖς συνελκομένοις μυσί Aët.; τοῖς μυκτῆρσι X. — 13. ἱδρωτοποιοῦν Aët.; ἱδρωτοποιοῦντες X. — Ch. 54, l. 23. δαφνίδων Aët., Paul.; δαφνῶν X. — 31. προσβαλῶν X.

ποτῷ, ὡσαύτως σΊρουθοκαμήλου, λαγωοῦ πυτία ἢ ἐρίφου. Ἁρμόσαι δὲ ἂν καὶ τὰ διουρητικὰ μεταῤῥευματισμὸν ποιούμενα, σέλινον, ἀδίαντον καὶ τὰ τούτοις ἐοικότα, αἵ τε ἀντίδοτοι, καὶ πάντων μᾶλλον ἡ Θηριακή. — Πότημα πρὸς κοιλιακούς.] Ῥοιῶν γ' συμμέτρων ἕψεται σίδια, ἐπὶ μὲν τῶν πυρεσσόντων ὕδατι ὀμβρίῳ, ἐπὶ δὲ ἀπυρέτων οἴνῳ κυ. ϛ', μέχρι τὸ τρίτον λειφθῇ, καὶ δίδου πρὸ τροφῆς κυ. β'. — Ἄλλο.] Ῥοιὰν περιγλύψας πλήρωσον οἴνου καὶ ἐλαίου καὶ βαλὼν ἁλὸς ὀλίγον λείου καὶ ἑψήσας εἰς τὸ τρίτον ἐπίβαλε ᾠὸν καὶ συγκινήσας ἕνωσον ἕψων ἕως συσΊάσεως, δίδου τε ἐσθίειν ἐπὶ τρεῖς ἡμέρας ἐπιδιδοὺς ἀκράτου βραχύ. — Ὁ διὰ ἠλέκτρου τροχίσκος δυσεντερικοῖς· ἔσΊι καὶ πρὸς αἱμοπΊοϊκοὺς ἔξοχον· ποιεῖ καὶ πρὸς σΊομαχικούς, φθισικούς, βήσσοντας, ἐμπυϊκούς, κύσΊιν ῥευματιζομένους, κοιλιακοὺς πινόμενος.] Ψυλλίου ∠με', μασΊίχης χίας ∠λ', ἠλέκτρου, ἴρεως, κρόκου ἀνὰ ∠λ', ὀπίου ∠ιε'. Ἑψήσας μέρος τοῦ ψυλλίου χύλιζε καὶ τῷ χυλῷ συλλέαινε τὸ ἤλεκτρον καὶ τὴν μασΊίχην, εἶτα τὸ ὑπόλοιπον ψύλλιον ὡσαύτως χυλίσας λείου ὁμοίως, τοῦ δὲ ὄντος τοῦ χυλοῦ ἐπίβαλλε τὴν ἰλλυρίδα καὶ λέαινε, εἶτα τὸ ὄπιον, ἐπὶ τέλει δὲ τὸν κρόκον ὡς μετὰ μίαν πλασθῆναι, πλάσσε δὲ τροχίσκους τριωβολιαίους καὶ ἄλλους δραχμιαίους καὶ χρῶ ἐπὶ πᾶσι τοῖς προειρημένοις. ΧρησΊέον δὲ καὶ τῷ κροκώδει, ἐπιῤῥιπΊέσθω δὲ τῇ κοιλίᾳ κηρωτὴ διὰ νάπυος ἢ τὸ διὰ τοῦ νάπυος μάλαγμα, ἢ αὐτὸ τὸ νᾶπυ ἐν ἀρχῇ, ἐμπάσσειν τε τῷ ποτῷ ὄμφακα ξηρὸν κοπέντα καὶ σησθέντα· ἔσΊω δὲ ἀμιναίας σΊαφυλῆς. — Πότημα κοιλιακοῖς.] Ἀκάνθης αἰγυπΊίας, ῥοιᾶς χυλοῦ ἀνὰ ∠η', ἀκακίας χυλοῦ ∠ϛ', πεπέρεως ∠γ', κηκῖδος ∠δ', σμύρνης ∠β', κυμίνου, πεπέρεως, ῥοὸς συριακῆς, βαλαυσΊίου ἀνὰ Γο α'ς", σιδίων Γο α', σιλφίου ∠δ'. Κόψας καὶ σήσας βρέξον ἐν ὄξει καὶ λειοτριβήσας δίδου ἐξ αὐτοῦ ἤτοι ξηροῦ ∠α', ἐμπάσσων τῷ ποτῷ, ἢ φυρῶν ὀξυμέλιτι, πρωῒ καὶ ἑσπέρας. — Τὸ κλειδίον πρὸς πᾶσαν κοιλιακὴν διάθεσιν.] Κηκῖδος ὀμφακίνης ∠η', ὀπίου ∠δ'. Ὕδατι πλάσας δίδου ὀροβιαῖα καταπότια γ' μετὰ χυλοῦ ῥοὸς ἢ μύρτου. — Ἄλλο κοιλιακοῖς.] Ὠόν, μέλι, οἶνος, σιδίων βραχὺ καὶ πεπέρεως· ἀπὸ πηγάνου δίδου. — Ἡ Πολυειδοῦς σφραγὶς κοιλιακοῖς, δυσεντερικοῖς, τεταρταΐζουσιν, ὀφθαλμοῖς ῥευματιζομένοις· ἔσΊι καὶ ἀνώδυνος.] Ὑοσκυάμου λευκοῦ σπέρματος ∠δ', ἀνίσου ∠β', σελίνου σπέρματος ∠δ', μήκωνος ∠α', ὀπίου ∠α'. Λεάνας μετὰ ὕδατος μὴ πάνυ ψυχροῦ πλάσσε τροχίσκους ὀβολιαίους, καὶ δίδου ἕνα μετὰ ὕδατος μὴ πάνυ ψυχροῦ. — Ὁ διὰ σπερμάτων.] Ἀνίσου, ἄμμεως, μαράθου σπέρματος ἀνὰ δραχμαὶ ι', σελίνου σπέρματος ∠ι', πετροσελίνου, ὀπίου ἀνὰ ∠β', ὑοσκυάμου σπέρματος ∠α'ς". Πλάσσε τροχίσκους.

νε'. Περὶ δυσεντερικῶν.

Δυσεντερία ἕλκωσις τῶν ἐντέρων ἐσΊὶ νομώδης ἐπὶ ἧς ἀποκρίσεις γίνονται χολώδεις ποικίλαι, εἶτα πρὸς ὀλίγον αἱματώδεις καὶ χολώδεις καὶ ἐπὶ τέλει ἰχωρώδεις, ὁποῖαι ἀπὸ τῶν νεκρωθέντων σωμάτων εἰώθασι ῥεῖν. ΚαταπλασΊέον οὖν τοῖς ἐπὶ τῶν κοιλια-

2. μετὰ ῥευματ. X. Conf. Aët. — 6. ὀλίγου X. — 8. ἐπιδιδῶν X. — Ib. βραχέος X. — 13. τοῦ δέοντος X. — Cu. 55, l. 34. εἶτα Paul.; ἤτοι X. — Ib. πρὸς λόγον X.

κῶν καταπλάσμασι, καὶ μάλιστα εἰ φλεγμαίνοιεν. Θρεπτέον δὲ μετὰ ε' ἡμέραν αἰγείῳ γάλακτι κερασθέντι μέλιτι μόνῳ, ἀρκούμενον ἐπὶ δύο ἢ τρεῖς ἡμέρας, εἶτα μέλι μὲν μὴ μιγνύειν, αὐτὸ δὲ τὸ γάλα ἕψειν εἰς ἥμισυ καὶ διδόναι τροφήν· μετὰ δὲ ἡμέρας γ' πάλιν εἰς ἀποτρίτωσιν ἕψοντα διδόναι· προσεπιδοῦναι μέντοι καὶ ἄρτον διάβροχον, ἤτοι καὶ πόλτους μετὰ γάλακτος ἐσκευασμένους δοτέον. Λαχάνων δὲ οὐ πολλὴ μὲν αἵρεσις, ὅμως δοτέον αὐτοῖς ἀπογεύεσθαι σέρεως ἑφθῆς καὶ ἀρνογλώσσου καὶ κράμβης διέφθου δυσὶν ὕδασιν ἑψομένης· βέλτιον δὲ εἰ τὸ δεύτερον ὀξυκράτῳ κερασθείη. Σάρκες δὲ οὐ πάνυ ἁρμόζουσι τοῖς δυσεντερικοῖς, ἐν χρονισμῷ δὲ ἀναγκαῖον εἰς αὐτὰς συνδραμεῖν. Αἱρετέον οὖν τήν τε τῶν πτηνῶν καὶ τὴν τῶν ἀγριμαίων. Ὀπώρας δὲ φειδὼ ἔστω· εἰ δὲ ἄρα ἀποκάμοι ὁ στόμαχος ὑπὸ τῆς ξηρότητος, συγχωρητέον ἄπιον ἑφθὴν καὶ κυδώνιον ἑφθὸν, σταφυλήν τε τὴν ἐκ χύτρας καὶ τὴν ἐκ τῶν στεμφύλων· καρύων δὲ καὶ μεσπίλων καὶ κράνων ἀβλαβῶς ἂν δοθείη. Ποτὸν ἐν ἀρχαῖς ὕδωρ ὄμβριον ἢ πηγαῖον, ἐνδέχεται δὲ ἐναφέψειν τῷ ὕδατι ὀπώραν τινὰ στύφουσαν εὐστομαχίας ἕνεκα, μάλιστα ῥοιὰν, γίγαρτα τεθλασμένα· ὕστερον δὲ κεκμηκότος τοῦ στομάχου οἶνον δοτέον σαβῖνον, ἀλβανὸν, σουῤῥεντῖνον, καίκουβον· ἐφεκτικώτεροι δὲ σουῤῥεντῖνος, σιγνῖνος, καὶ τούτων μᾶλλον μαρσικός. — Ἐνέματα δυσεντερικοῖς.] Ἁρμόζει τοῖς δυσεντερικοῖς διὰ τοὺς ἐνοχλοῦντας τεινεσμοὺς πτισάνης χυλὸς μετὰ στέατος ὑείου· βέλτιον δὲ ποιεῖ αἰγείου ἢ τράγου προσλαβόν. Εὐθετώτερον δὲ χόνδρου ἢ ὀρύζης χυλοὶ, ἢ πυρίνης πτισάνης. Ἔστιν ὅτε δὲ ἀνενδότου οὔσης τῆς πρὸς τὴν ἔκδοσιν προθυμίας ἅλμη ἐνεθεῖσα ἀπήλλαξε τελέως πάσης ὀχλήσεως· ἀρκοῦσι δὲ ἁλῶν ∠ς' ἐν κοτύλῃ θερμοῦ ὕδατος. Εἰ δὲ αἷμα ἀποστάζοιεν, ἐνετέον χυλὸν πολυγόνου ἢ ἀρνογλώσσου μετὰ ἀκακίας, ἢ λυκίου, ἢ ὑποκιστίδος, ἢ βαλαυστίου, ἢ σιδίων. Εἰ δὲ ἐπείγοι, καὶ ἰσχαιμόν τι ἐνετέον, οἷον τέφραν οἰσυπηρῶν ἐρίων ἢ σπόγγου καινοῦ βραχέντος πίσσῃ ὑγρᾷ, ἢ αἵματι βοείῳ καυθέντι, ἢ ὀθονίου τέφρᾳ προβραχέντος στυπτηρίᾳ διαλελυμένῃ καὶ ξηρανθέντος, ἢ ὀνίδος χυλῷ, μάλιστα μὲν αὐτομάτως ὑγρᾶς ἐνιέναι, ἢ μετὰ χυλοῦ πολυγόνου, ἢ ἀρνογλώσσου βραχείσης καὶ ἀποχυλισθείσης. Νομῆς δὲ οὔσης ἰσχυρᾶς ἐπὶ τὰ ἐσχαροῦντα ἔρχεσθαι· ἔστι δὲ ταῦτα ξηρά τε καὶ τροχίσκοι ἐνιέμενοι.—Τροχίσκος Μάγνου τοῦ ἐφεσίου.] Ἀρσενικοῦ ∠ζ', σανδαράκης ∠η', χάρτου κεκαυμένου ∠λ', ἀσβέστου ∠β', λιβανωτοῦ ∠ε'. Λεαίνεται οἴνῳ μυρτίτῃ καὶ πλάσσονται τροχίσκοι ∠γ' ἢ δ' ἢ β'. Ἐνίεται δὲ πρὸς ἡλικίαν καὶ δύναμιν μετὰ ἀφεψήματος βάτου, ἢ σιδίων, ἢ μύρτων συγκαθηψημένων μετὰ φακῆς ἀφεψήματος. — Τροχίσκοι Φαυστίνειοι ὧν ὁ μὲν λαμβάνει χάρτου κεκαυμένου ∠λ', ἀσβέστου ∠κε', σανδαράκης ∠ι, ἀρσενικοῦ ∠ιβ'. Τὸ ἔνεμα φακῆς καὶ μύρτων ἀφεψήματι ὡς ἐπὶ τοῦ Ἀνδρομάχου ∠β' · εἰ δὲ χρονία εἴη ἡ διάθεσις, καὶ ἁλῶν ∠β'. Ὁ δὲ ἕτερος ἀσβέστου ∠ι', σανδαράκης ∠ς', ἀρσενικοῦ ∠η', χάρτου κεκαυμένου ∠λ'. Ἀνάπλασσε διὰ οἴνου ἀνὰ ∠δ'. Ἐνίεται καὶ οὗτος ἀφεψήματι φακῆς καὶ μύρτων, τῆς μὲν φακῆς διὰ ὕδατος κερασθείσης, τῶν δὲ μύρτων διὰ οἴνου· πλῆθος δὲ μέχρι κυάθων η' ἢ θ'. — Ὁ τοῦ

7. δισέφθου (om. δυσὶν . . . ἑψομένης), Paul. Conf. Aët. — 12. μέσπιλον καὶ κράνην X. — 16. μαρσικός ex em.; μαρισινός X. — 25. χυλῷ Paul.; χυλοῦ X. — 26. βραχέντι καὶ ἀποχυλισθέντι X. — 28. ἐνιέμενα X.

Ἀνδρομάχου τροχίσκος δόκιμος.] Ἀρσενικοῦ ∠ιβ', χάρτου κεκαυμένου, ἀσβέστου ἀνὰ ∠ιε', σανδαράκης ∠ϛ', ὑποκιστίδος ∠ϛ', στυπτηρίας σχιστῆς ∠δ', λεπίδος χαλκοῦ ∠δ'. Λείου οἴνῳ μυρτίτῃ ὃν χρὴ οὕτως ἕψειν. Μύρτων μελάνων ℥ β'· ἕψει οἴνῳ αὐστηρῷ ἰταλικῷ, ἢ ἀμιναίῳ ℥ γ' ἕως ἥμισυ λειφθῇ. Λείου τὰ ξηρὰ οἴνῳ. Ἐπὶ πάντων δὲ τῶν τροχίσκων ὕστατον τὴν ἄσβεστον ἐπίβαλλε. Οἱ μέντοι τροχίσκοι ἑστῶσαν ∠γ', οἱ δὲ δύο, οἱ δὲ ἑνός. Ἐνίεται δὲ διὰ ὕδατος ἀφεψήματος φακῆς καὶ ῥόδων καὶ μύρτων διὰ οἴνου, ἴσων κιρνωμένων τοῦ τε οἴνου καὶ τοῦ τῆς φακῆς ἀφεψήματος· ἔστω δὲ τὸ πᾶν ἰταλικὸς ℥. Δίδοται τελείοις μὲν ∠γ' ἢ δ', παιδίοις δὲ ∠β'. — Τροχίσκος ἁπάντων ἀμείνων, ὧν ἐπιστάμεθα, προσαγορευόμενος Νυμφοδότου· σύγκειται μὲν παρὰ τῶν Φαυστιανῶν, διαφωνεῖ δὲ ἡ τοῦ ἀρσενικοῦ συσταθμία, πρακτικώτερος δὲ ἐπὶ τῶν ἔργων ἐφάνη· ἔστι δὲ οὗτος.] Χάρτου κεκαυμένου ∠λ', ἀρσενικοῦ ∠η', ἀσβέστου ∠ι', σανδαράκης ∠ϛ', οἴνου αὐστηροῦ ℥ γ'. Ἕψεται κατὰ αὐτὸν ὁ οἶνος ἕως λειφθῇ τὸ τρίτον καὶ οὕτω μίγνυται τοῖς ξηροῖς ἐν θυίᾳ, καὶ λειαίνεται μέχρι συστάσεως καὶ πλάσσονται τροχίσκοι ἀνὰ ∠δ'. Ἡ χρῆσις δὲ αὐτῶν πρὸς δύναμιν, ἡ δὲ ἔνεσις διὰ οἴνου τε καὶ ὕδατος, τῷ μὲν ὕδατι φακῆς καὶ ῥόδων ξηρῶν ἐναφηψημένων, τῷ δὲ οἴνῳ μύρτων, ὥστε τὸ πᾶν ἐξ ἀμφοτέρων πλῆθος κοτύλης γενέσθαι. Πρὸ μιᾶς δὲ ἐμβρεχέσθω ὁ στόμαχος μυρσινίνῳ τε καὶ οἴνῳ παλαιοτέρῳ· τὸ γὰρ φάρμακον εἴωθεν αὐτοῦ καθάπτεσθαι. Καὶ πρὸ τῆς ἐνέσεως δὲ ψωμοὺς ὅσον δύο ἢ τρεῖς [τῷ] πάσχοντι δοτέον, πυρετοῦ μὲν ὄντος σφοδροῦ ἐξ ὕδατος ψυχροῦ ἢ γαλακτώδους· μικροῦ δὲ ὄντος καὶ εὐκαταφρονήτου ἢ μηδὲ ὅλως παρόντος κράματι τὸν ἄρτον ἐμβρεκτέον. Εἰ δὲ μετὰ τὴν ἔνεσιν ἐκκαίοιτο ἢ καὶ ἀνατρέποιτο ὁ στόμαχος, δοτέον τεθαῤῥηκότως αὐτῷ ψυχρὸν καὶ παραθετέον θριδακίνης θυρσάριον διὰ ὄξους μετὰ ἄρτου καθαροῦ καὶ ἐλαίας λευκὰς διὰ ὄξους ὁμοίως. Ἐπὶ δὲ τῶν ἅμα τῷ ἐνίεσθαι τὸ φάρμακον ἐκβαλλόντων καὶ κρατεῖν τοῦ ἐνέματος οὐ δυναμένων προενιέναι ἅλμην· τινὲς δὲ ἀλὸς ἀμμωνιακοῦ κοχλιάριον α' ἢ μικρῷ πλεῖον συγκαταμιγνύουσι τῷ φαρμάκῳ· ἡμεῖς δὲ τοῦ ζωμοῦ τῶν ἁλμάδων ἐλαιῶν τῶν λευκῶν ὅσον κυάθ. ϛ' προενίεμεν καὶ διαστήσαντες ἡμιώριον ἢ μικρῷ πλεῖον ἐνίεμεν τὸν τροχίσκον, καὶ κατέχουσιν αὐτὸ, καὶ τὸ φάρμακον μᾶλλον ἐνεργεῖ γυμνοῖς τοῖς ἕλκεσι προσπίπτον. Καὶ κατὰ αὐτὴν δὲ ἡ τῶν κολυμβάδων ἐλαιῶν ἅλμη μιᾶς κοτύλης πλῆθος ἐνιεμένη θερμὴ πρακτικῶς βοηθεῖ. — Τροχίσκος κατωτερικὸς Πρισκιανοῦ.] Ἀρσενικοῦ, σανδαράκης, χάρτου κεκαυμένου ἀνὰ ∠ιβ', ἀσβέστου ∠η'. Τὸ τέλειον ἔνεμα ∠γ', τὸ μέσον β's''...β' πρὸς δύναμιν· ἐν δὲ τῇ ἐνέσει προθεραπεία ἡ αὐτὴ ἡ ἐπὶ τοῦ Νυμφοδότου προειρημένη. — Ἐπίθεμα δυσεντερικοῖς.] Στυπτηρίας ὑγρᾶς, ἀκακίας, κηκῖδος, σιδίων, πίτυος φλοιοῦ ἀνὰ ∠α's'', κηροῦ Γο β', μυρσινίνου ἢ σχινίνου ἢ μηλίνου χ α'. Πλὴν τῆς στυπτηρίας τὰ ξηρὰ κόψας καὶ σήσας ἕψε ἐν οἴνῳ καὶ λειοτριβήσας ἐπίβαλλε ἐν τῇ θυίᾳ τὴν στυπτηρίαν, ἐπὶ τέλει δὲ τὴν ἀκακίαν καὶ συλλειώσας ἀναλάμβανε τῇ κηρωτῇ. — Πότημα δυσεντερικοῖς, καὶ μάλιστα κοιλιακοῖς χρονίοις.] Ἄμμεως ∠η', βαλαυστίων, κηκῖδος ἀνὰ ∠δ', πεπέρεως ∠β'. Δίδου κοχλιάριον μετὰ ᾠοῦ ῥοφητοῦ ἢ μετὰ ὕδατος, ἀπυρέτοις δὲ μετὰ κράματος. — Τροχίσκος ποτιζόμενος πρός τε κοιλιακοὺς καὶ δυσεντερικοὺς

9. ὧν ex em.; ὡς X. — 18. [τῷ] ex em.; om. X.

διδόμενος μετὰ ὕδατος θερμοῦ κυ. γ' δραχμῆς μιᾶς πλῆθος.] Ἀνίσου, σελίνου, ἄμμεως, ὑποκιστίδος χυλοῦ, βαλαυστίων, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ∠η', ὀπίου ∠δ'· ἐν ἄλλῳ τὸ ὄπιον ἴσον. — Τροχίσκος ὁ Ἀνδρωνος ἐνιέμενος δυσεντερικοῖς ∠α' ἢ β' πλῆθος.] Σιδίων, ἀριστολοχίας στρογγύλης, κηκῖδος ἀνὰ ∠η', στυπτηρίας σχιστῆς, λιβανωτοῦ, ἀλόης ἀνὰ ∠δ', σμύρνης, χαλκάνθου ἀνὰ ∠β'. Λέαινε μετὰ γλυκέος κρητικοῦ καὶ ἀποτίθεσο ἐν χαλκῷ ἀγγείῳ. Ποιεῖ δὲ πρὸς νομάς, γαγγραίνας, ὦτα πυοῤῥοοῦντα, ἄνθρακάς τε, ἔτι τε ἕλκη παλαιὰ καὶ νεμόμενα, ῥυπαρά τε καὶ ἕρπητας καὶ τὰ ὅμοια. — Κοιλιακοῖς, δυσεντερικοῖς ποτήματα.] Νάρδος πινομένη στεγνοῖ κοιλίαν, σμύρνης καλῆς κυαμιαῖον μέγεθος στερεὸν καταπινόμενον, σπέρμα ἀγρίου λαπάθου ὕδατι ἐπιπασθέν, λαγωοῦ πυτίας τριώβολον σὺν ὕδατι, κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου κοχλιάρια β' σὺν τραγακάνθῃ, ἢ αὐτὴ ἡ τραγάκανθα, ἢ ῥοῦς, ἢ κηκὶς ὀμφακίνη, ἢ σίδια, ἢ βάτου ῥιζῶν ἀφέψημα ἀποτριτωθέν, ἢ λάδανον σὺν οἴνῳ αὐστηρῷ, ἡ ἀκακίας χυλός, ἢ ὑποκιστίδος, ἢ λύκιον ἰνδικόν, ἢ σάμιος ἀστήρ, ἢ βαλαύστιον. Ἔστι δὲ ἔνια αὐτῶν κακοστόμαχα· διὸ μετὰ περισκέψεως διδόσθω, μήτε πυρέσσουσι, μήτε ὀδυνωμένοις· πρὸς δὲ καὶ εὐτονοῦσι τὸν στόμαχον. — Ἐνέματα ἐπὶ τῶν μηδέπω νεμομένων ἑλκώσεων.] Πυρῶν χυλοῦ, ἢ τράγου, ἢ χόνδρου, ἢ πτισάνης, ἢ ὀρύζης μετὰ στέατος τραγείου, ἢ αἰγείου, ἢ γάλακτι λίαν θερμῷ, ἢ μετὰ ἀμύλου. Συμπλεκέσθω δὲ ἑκάστῳ ἐνέματι ἀφέψημα μύρτων, ἢ ῥόδων, ἢ σιδίων, ἢ φακοῦ, ἢ βαλαυστίου· συνηψήσθω δὲ τοῖς χυλοῖς ἢ σχῖνος, ἢ μυρσίνη, ἢ ἀκακία. — Δυσεντερικοῖς τροχίσκος κατωτερικός.] Ἄρτου ἀλεξανδρίνου ∠λβ', ἀρσενικοῦ ∠ια', ἀσβέστου ∠η', σανδαράκης ∠η'. Τὴν σανδαράκην σὺν τῷ ἀρσενικῷ λείου ἐπὶ ἱκανὰς ἡμέρας σὺν οἴνῳ, εἶτα τὴν ἄσβεστον, εἶτα τὴν τοῦ ἄρτου σποδιάν· πλάσας δὲ τροχίσκους ὡς ἐπὶ τοῦ Νυμφοδότου δίδου. — Ἄλλο δυσεντερικοῖς.] Ἀσβέστου, ἀρσενικοῦ, στυπτηρίας σχιστῆς ἀνὰ ∠η', ἀκακίας ∠γ', χαλκοῦ κεκαυμένου, ὀπίου, βαλαυστίου ἀνὰ ∠α'. Λείου ἐν οἴνῳ, ἐνίει δὲ ∠β' τελείοις μετὰ οἴνου καὶ ὀρύζης χυλοῦ. — Τροχίσκος ὁ Φιλάδελφος πρὸς δυσεντερίας καὶ αἱμοῤῥαγίας.] Σανδαράκης, ἀρσενικοῦ ἀνὰ Γο α'ς'', τιτάνου ∠γ'. Λείου οἴνῳ αὐστηρῷ καὶ ποίει τροχίσκους ἀνὰ ∠δ' καὶ γ' [καὶ] δύο, καὶ ἐνίει πρὸς δύναμιν μετὰ οἴνου μυρτίτου. — Ὑποθετὸν δυσεντερικόν.] Κρόκου Γο β', ὀπίου ∠δ', λιβάνου Γο α'ς'', σμύρνης Γο α', καστορίου Γο δ'. Ἀναλάμβανε οἴνῳ αὐστηρῷ καὶ ποιήσας κολλύρια λεπτὰ ὑποτίθει. — Ἄλλο.] Βάλσαμον μετὰ κροκύδος παράθες τῷ δακτυλίῳ. — Ἀνωτερικὸν ξηρὸν κοιλιακοῖς, δυσεντερικοῖς.] Στυπτηρίας καὶ μαστίχης χίας ἴσα· ἕκαστον λειώσας καὶ σήσας λείου ἅμα μίσγων ἐπιμελῶς· δίδου δὲ ἐν ᾠῷ ῥοφητῷ μετρίως ὑδαρεῖ κοχλιαρίου πλῆθος ἢ ∠α', τελείοις δὲ ∠β' ἐπὶ ἡμέρας γ'. Ὅτε δὲ μέλλοι ῥοφᾷν, ἀλὸς χόνδρον ὑπὸ τὴν γλῶσσαν τιθέτω.

νς'. Περὶ λειεντερίας.

Λειεντερία, ὡς αὐτὸ τὸ ὄνομα ἐμφαίνει, ἐκλεασμός τις ἐντέρων ἐστίν, ὁποῖος ἂν γένοιτο ἀπὸ οὐλῆς, ἀποτελεῖται δὲ τὰ μὲν πολλὰ δυσεντερίας προηγησαμένης καὶ

27. [καί] ante δύο Aët.; om. X. — 34. μέλλῃ X.

βαθείας ἑλκώσεως οὐλῆς ἐπιγινομένης· ἐνίοτε δὲ καὶ ἀπὸ ῥευματισμοῦ ἑτέρου τῶν ἐντέρων. Παρακολουθεῖ δὲ τοῖς ἑαλωκόσιν ἔκδοσις σκυβάλων ἀκατεργάστων καὶ αὐτὸ μόνον τὸ δοκεῖν περιεπτισμένων ὥστε δηλοῦσθαι τὴν ληφθεῖσαν τροφήν. Ἐκ ταύτης οὖν διορισθήσεται τῆς κοιλιακῆς διαθέσεως ἡ λειεντερία. Ἐκ παντὸς τοίνυν τρόπου ἀνακλητέον τήν τε πεπτικὴν ἐνέργειαν καὶ τὴν καθεκτικὴν δύναμιν τῶν πεπονθότων, διαγωγῇ τῇ τε ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν εἰρημένῃ· συνεχέστεραι δὲ τούτοις ἁρμόζουσι δριμυφαγίαι καὶ ἔμετοι ἀπὸ δείπνου, δρωπακισμοί τε πρῶτον χειρῶν καὶ σκελῶν, εἶτα θώρακος καὶ κοιλίας, φοινιγμοί τε οἱ διὰ μαλαγμάτων καὶ διὰ νάπυος. — Καταπότια.] Σιδίων, σμύρνης ἀνὰ ∠η', στυπτηρίας σχιστῆς, ὑποκιστίδος χυλοῦ ἀνὰ ∠δ'. Δίδου ὀροβιαῖα μεγέθη πέντε ἢ ζ'.

νζ'. Περὶ τεινεσμοῦ.

Τεινεσμὸς προηγεῖται τῶν πλείστων δυσεντεριῶν, ἔστι δὲ οὗτος προθυμία πρὸς ἔκδοσιν ἀπαραίτητος οὐδὲν ἐξάγουσα εἰ μὴ ἄρα ὀλίγα οἰνωπὰ, καὶ μετὰ ταῦτα μυξώδη ἃ σχεδὸν τῆς ἐπιτεταμένης προθυμίας γίνεται παραίτια, οἰδηματώδης δὲ φλεγμονὴ ἐντόπιος γινομένη ἔμφασιν παρέχει κοπρίου ἐγκειμένου καὶ ἐπιζήτησιν ἐκδόσεως. Δῆλον δὲ ὡς περὶ τὸ ἀπολῆγον τοῦ ἀπευθυσμένου ἐντέρου γίνεται ἡ πεῖσις ἐν ᾧ ἡ ἐκκριτικὴ δύναμις ἐγκάθηται. Ἁρμόζει δὲ, εἰ ἐνδέχοιτο, φλεβοτομία· εἰ δὲ μή γε, ἀσιτία ἄχρι τῆς διατρίτου, ὠμαί τε λύσεις θερμαὶ ἐπιτιθέμεναι κατὰ ὀσφύος καὶ ἦτρου, ἢ λάδανον μετὰ νάρδου. Μετὰ δὲ τὰς ἀποκρίσεις ἐγκαθιζέτωσαν στυμμάτων ἀφεψήματι καὶ ἀγαθίδας διὰ στυμμάτων θερμῶν προστιθέσθωσαν τῇ ἕδρᾳ, ἢ πίτυρα ἐν ἀποδέσμῳ διὰ ὀξυκράτου θερμοῦ, ἢ ὠμὴν λύσιν, ἢ σίδια ἡψημένα καὶ λελειοτριβημένα κατὰ ἰδίαν, εἶτα καὶ μετὰ μαλάχης ῥίζης. Μάλιστα δὲ ποιεῖ ἡ τῆς ἀγρίας μαλάχης ῥίζα ἑψηθεῖσα καὶ λειοτριβηθεῖσα ἐπὶ ὀστράκῳ τε πεπυρωμένῳ θερμανθεῖσα. Εἰ δὲ ἐν βάθει τὰ τῶν ἐρεθισμῶν καὶ τῆς φλεγμονῆς τύχοι ὄντα, ἐνετέον σιτώδεις χυλοὺς μετὰ στυμμάτων ἡψημένους ὥσπερ τοὺς ἄνευ νομῆς δυσεντερικούς.

νη'. Περὶ ἑλμίνθων.

Ἕλμινθες ἐν πυρετοῖς περὶ μὲν τὰς ἀρχὰς γενόμεναι τὴν ὑπόστασιν ἐξ ὑποκειμένης διαφθορᾶς ἔχουσι, περὶ δὲ τὰς ἀκμὰς ἐκ πονηρίας νόσου, περὶ δὲ τὰς παρακμὰς ἐκ μεταβολῆς τῶν ὅλων ἐπὶ τὸ κρεῖττον, αἳ δὴ καὶ τάχιον ἀποκρίνονται. Παρέπεται δὲ δηγμὸς στομάχου καὶ κοιλίας καὶ βῆχες σμικραὶ διερεθίζουσαι ἄνευ φλέγματος, ὕπνοι τε μετὰ παλμῶν καὶ ἐξαναστάσεων ἀλόγων, σφυγμὸς ἀνώμαλος· τοῖς δὲ παιδίοις καὶ μάσησις μετὰ προβολῆς τῆς γλώττης· πρὸς βραχὺ δὲ ταῦτα καὶ ἐκ διαστημάτων. Ἔνια δὲ μετὰ κραυγῆς ἐξανίσταται καὶ ταχὺ πάλιν καταφέρεται· τὰ δὲ καὶ τρίζουσι τοὺς ὀδόντας· τισὶ δὲ προστρέχουσαι τῷ στομάχῳ ναυτιῶν καὶ δηγμῶν αἴτιαι γίνονται. Ἐν μὲν οὖν ἀρχῇ τῆς νόσου τοῖς ἐπιεικεστέροις χρηστέον βοηθήμασι, καὶ μάλιστα

Ch. 57, l. 12. αἱμωπὰ Aët., Paul. — 15. ᾧ ex em.; η X.

φλεγμονῶν περὶ τὰ μέσα ὑπαρχουσῶν. Καταπλαστέον οὖν θερμίνῳ μετὰ ἴσου λινοσπέρμου ἡψημένῳ μετὰ ὑδρομέλιτος· ἔστιν ὅτε καὶ βρυωνίας ῥίζαν συνεμβλητέον λείαν, ἢ ἀψίνθιον, πληρωτέον τε τὸν ὀμφαλὸν χολῇ ταυρείᾳ, ἢ μελανθίῳ διειμένῳ γάλακτι γυναικείῳ. Εἰ δὲ ἐπείγοι τὰ τῶν ἑλμίνθων, προποτιστέον ἀψινθίῳ, ἢ σερίφῳ, ἢ ἐμπαστέον εἰς κυάθους γ′ ὕδατος μύστρου πλῆθος ἀλεύρου θερμίνου, ἢ εὐζώμου σπέρματος, ἢ κράμβης, ἢ ἀρνογλώσσου, ἢ καρδάμου, ἢ ῥοᾶς ὀξείας ῥίζης λείας, ἢ ῥίνημα ἐλαφείου κέρατος, ἢ μίλτου σινωπικῆς κοχλιάριον ἕν, ἢ καυλῶν κράμβης χυλὸν, ἢ ἀρνογλώσσου, ἢ ῥαφάνου χυλὸν, παιδίοις κύ. α′ πλῆθος, τελείοις δὲ κυ. γ′. Τινὲς δὲ καὶ ἔλαιον τοὺς ἀνεχομένους ποτίζουσιν. Τοὺς δὲ παῖδας ποτιστέον μύρτων ἀφεψήματι μετὰ ἡδυόσμου· τοὺς δὲ τελείους ἀψινθίου. Τοὺς δὲ μετὰ κοιλίας ῥεύματος ἐνοχλουμένους ὑπὸ ἑλμίνθων προποτιστέον τῷ τοῦ ἀρνογλώσσου χυλῷ· ἐπὶ ἴσης γὰρ πρὸς ἑκάτερον σύμπτωμα ἐνεργεῖ. Καταπλαστέον δὲ τούτους μιγνύοντας ὠμαῖς λύσεσι καὶ ἀψίνθιον καὶ πτέριν καὶ θέρμινον καὶ ἀβρότονον καὶ σαντόνικον· ἤδη δὲ καὶ σίδια καὶ ἀκακίαν καὶ βαλαύστια καὶ κηκῖδα· παυσαμένου γὰρ τοῦ ῥεύματος, παύεται, ὡς εἰκὸς, καὶ ἡ τῶν ἑλμίνθων γένεσις. — Περὶ πλατείας ἕλμινθος.] Καὶ ἡ πλατεῖα ἕλμινς πλεονάζει μὲν ἐπὶ πυρετῶν, γίνεται δὲ καὶ ἐν μακραῖς νόσοις· ἔστι δὲ ἡ πλατεῖα ὡς εἰπεῖν τοῦ ὑπεζωκότος ὑμένος μεταβολὴ ἔνδοθεν τῶν ἐντέρων ἐπί τι σῶμα ζῳῶδες, ἐπιφέρων δηγμοὺς τοῦ στομάχου συνεχεῖς καὶ πρὸς τὰ σιτία ἀνεπίστατον ὁρμήν· τὰ δὲ λαμβανόμενα οὐ κατατάσσεται, ἀλλὰ ταχέως ἐκκοπροῦται. Παρέπεται δὲ αὐτοῖς ἰσχνότης τοῦ σώματος καὶ ἀδυναμία μετὰ νωχελείας, συναίσθησίς τε λιμώδης· τὸ δὲ ἀψευδέστερον σημεῖον· τοῖς διαχωρήμασι συναποκρίνεταί τινα ἐμφερῆ σπέρματι κολοκύνθης. Ἡ δὲ θεραπεία σύμφωνος· προποτισμοὶ γὰρ οἱ διὰ τῶν δριμέων καὶ σκοροδοφαγία καὶ τὸ διὰ τῆς πτέρεως φάρμακον καὶ τὸ διὰ χαλκάνθου καὶ τὸ διὰ τῆς ὀξείας ῥοιᾶς ῥίζης· ἢ γὰρ ἐκκρίνεται ὅλη διὰ ὅλου ἄπιστον ὄψιν μεγέθους χάριν παρέχουσα, ἢ κατὰ μέρη ἀποκρίνεται, ἀπολυθεῖσα μέντοι οὐκέτι συνίσταται. — Περὶ ἀσκαρίδων.] Αἱ δὲ ἀσκαρίδες εἶδός εἰσιν ἑλμίνθων συνιστάμεναι περὶ τὰ ἔσχατα τοῦ ἀπευθυσμένου ἐντέρου καὶ τὰ πρῶτα τοῦ σφιγκτῆρος ἐπιφέρουσαι τῷ τόπῳ τούτῳ κνησμὸν ἰσχυρόν· ποιητικαὶ δὲ τοῦ πάθους αἰτίαι φαῦλαι τροφαὶ καὶ ψύξεις καὶ διαφθοραὶ σιτίων. Κενωτέον οὖν ἅλμῃ δριμείᾳ, ἢ ἀφεψήματι κενταυρίου, ἢ ἀψινθίου, θερμοτέροις τε καὶ μετὰ τὸ κενωθῆναι ὑποχριστέον τοὺς πεπονθότας τόπους, ἁπλοῖς μὲν ἀκακίᾳ, ὑποκιστίδι, ἢ ῥοὸς χυλῷ μετὰ ὑγρᾶς στυπτηρίας, συνθέτοις δὲ τῷ τε ἀνδρωνείῳ τροχίσκῳ καὶ τῇ Πολυειδοῦς σφραγῖδι καὶ τῷ οἰσυπηρῷ. Τοὺς δὲ τελειοτέρους ἐνετέον τοῖς δριμυτέροις καὶ ἐγχυματιστέον κεδρίαν. Ἔστω δὲ διὰ οὗ ἐνίεμεν κεράτινος κλυστὴρ, τουτέστιν αὐλίσκος πάντοθεν διατετρημένος καὶ πρὸς τῇ βάσει εὐθύτρητος· ὃν ἐνθέντες ὑπὲρ τὸν σφιγκτῆρα πληροῦμεν κεδρίᾳ ὡς τὴν παρένθεσιν τῆς κεδρίας καὶ κατὰ τὰ πλάγια γίνεσθαι, εἶτα ἠρεμεῖν κελεύομεν, πολλάκις δὲ τοῦτο ποιοῦμεν. Ἢ κρέας ἁλιστὸν ὑπολίπαρον ἁρμόσαι δυνάμενον ἐνθέντες ἐπιδέσει χρώμεθα ἐπὶ ὅσον ἂν ὑπομένωσι χρόνον, καὶ αὐτὸ δὲ πολλάκις ποιοῦμεν. — Σύνθετα βοηθήματα πρὸς ἕλμινθας

16. ἀπυρέκτων Aët.; ἀπυρέτων Paul. — 17. τι Aët., Paul.; τό X. — 22. σύμφ. τῇ προειρημένῃ Aët. — 29. Κλυστέον Aët. — 38. τοῦτο Paul.

στρογγύλους.] Ἐλενίου, ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἐν ἄλλῳ πτέρεως, ἀνὰ ∠ α' ς''. Μετὰ ὀξυμέλιτος θερμοῦ δίδου καὶ διαστήσας πότιζε εὐφορβίου ∠α' ἢ β' τοῖς τελείοις. — Ἄλλο.] Πεπέρεως ὀξύβαφον, νίτρου ∠β'. Δίδου ἐν κοτύλῃ ὕδατος προκεκενωμένῳ· βέλτιον δὲ εἰ προσλάβοι σκαμμωνίαν ὀλίγην. — Ἁπλᾶ βοηθήματα.] Πρὸς ἕλμινθας στρογγύλας πότιζε ὑσσώπου ἀφέψημα, πρὸς δὲ πλατεῖαν· ἐπιχωρίως κηρίαν καλοῦσιν· νίτρου, καρδαμώμου, πεπέρεως ἴσα πότιζε. Παραχρῆμα ἄγει.

νθ'. Περὶ πνευματώσεως.

Πνευματώσεως ἀρχὴ τροφὴ κακῶς διῳκημένη· παρέπεται δὲ τοῖς ἐμπνευματωθεῖσι βάρος στομάχου καὶ διάτασις, ἐρυγαί τε διάκενοι πρὸς ὀλίγον κουφίζουσαι, ἐποχή τε πνευμάτων διὰ κοιλίας εἰς ἔντερα παραπεμπομένων· ὑποπίπτει δὲ καὶ ὄγκος κατὰ τὴν κοιλίαν ὑπόχαυνος εἴκων πρὸς τὰς τῶν χειρῶν ἐπιθέσεις ἀλεας' τελέως ἐνδίδωσιν. Τισὶ δὲ αὐτῶν καὶ ἀλγήματα καὶ ναυτίαι παρέπονται καὶ κεφαλῆς αἴσθησις. Εἰ δὲ πρὸ τῆς παντελοῦς ἀποκαταστάσεως τραφεῖεν, προσεμφυσῶνται τὰ μέρη καὶ διατείνονται ἐπὶ πλεῖον, ὀδύνης φερομένης πολλάκις μέχρι κλειδὸς καὶ ὠμοπλάτης καὶ ῥάχεως καὶ παντὸς τοῦ νώτου σὺν τῷ καὶ τὰς ἐρυγὰς ἐπέχεσθαι ὥς τινας καὶ πνιγμῷ δοκεῖν παραπλήσιόν τι πάσχειν. Πρὸ δὲ τῶν καταπλασμάτων σικύας προσβάλλειν πολλάκις μετὰ πλείονος φλογὸς, ἥ τε τροφὴ σιτώδης ἔστω, καὶ μετὰ πολὺν τῆς προσφορᾶς χρόνον προσφερέσθωσαν ποτὸν, τρίψεις τε μετὰ τὰ σιτία τῶν ἄκρων ἐπιτελείσθωσαν, ὑπαγέσθω τε ἡ κοιλία, προσαγέσθωσάν [τε] αἵ τε προειρημέναι κηρωταὶ καὶ τὰ μαλάγματα. Εἰ δὲ ἐπιτρέποιεν οἱ καιροὶ, ἐμβιβαστέον αὐτοὺς εἰς ἔλαιον. Προκοπῆς δὲ γενομένης προσφερέσθωσαν πτηνὰ ἐξ ὕδατος καὶ ἰχθύας τοὺς ἁπαλοσάρκους. Οἱ δὲ ἐν ἀναλήψει ἀναληπτικῶς ἀγέσθωσαν, σιναπιζέσθωσάν τε καὶ μετὰ πολλοῦ πυρὸς σικυαζέσθωσαν καὶ καταγυμνασίαν μετιέτωσαν. Εἰ διατενὲς εἴη τὸ σύμπτωμα, καὶ ἐν παροξυσμῷ καταπλαστέον τῷ διὰ τοῦ νάπυος, καὶ μετὰ ὀλίγον προποτιστέον ἀλόης ∠α' ἢ καστορίου ∠α'. Καὶ τρίψιν τε ἐν τοῖς παροξυσμοῖς προσενεκτέον τῷ στομάχῳ καὶ τῇ κοιλίᾳ διὰ μύρου ναρδίνου ἢ μηλίνου· λυθέντων δὲ τῶν ἀλγημάτων, προσακτέον αὐτοὺς ἐπί τε αἰώραν καὶ ἀλείμματα. Ἁρμοζόντως δὲ δίδοται εἰς νύκτα τοῖς μὴ προπιοῦσιν ἄλλο τι φάρμακον τῆς διὰ δύο πεπέρεων ὀροβιαῖον μέγεθος· εἰ δὲ εὐτονοῖεν, κυάμου αἰγυπτίου. Ὑδροποτείτωσαν· πολλάκις γὰρ ὑδροποσία τὰς εἰς τὸ πάθος διωρθώσατο εὐεμπτωσίας. Ἀλείμμασί τε πλέον ἢ βαλανείοις χράσθωσαν. Ἐπεχομένης δὲ τῆς κοιλίας, ἀνυπερθέτως χρηστέον κλυσμῷ· μετὰ δὲ τοὺς παροξυσμοὺς λουστέον καὶ οἴνου σύμμετρον δοτέον. Ἐν διαλείμμασί τε περιπατείτωσαν οἱ εὔτονοι μὴ ἔλαττον σταδίων λ', οἱ δὲ ἀσθενέστεροι ἔλαττον, καὶ σκίλλινον ὄξος ῥοφείτωσαν, πρό τε τῆς τροφῆς καὶ μετὰ τὸ τραφῆναι εἰς κοίτην. Οἱ δὲ ὑπὸ πλείονος τροφῆς ἐμπνευματούμενοι, οὐ δυνάμενοι δὲ ἔλαττον λαβεῖν διαιρείτωσαν αὐτὴν, ἐπὶ ἀρίστῳ τὸ τρίτον λαμβάνοντες, τὸ δὲ δίμοιρον ἐν τῷ δείπνῳ, τήν τε τῶν ὀπωρῶν καὶ τῶν λαχάνων

3. Πτέρεως Paul. — Ch. 59, l. 17-18. ἐπιτελείσθω X. — 18. [τε] avant *αἱ* om. X. — 20. πτηνά] ἄρτον X. — 21. ἀναλήψει ἀναληπτικῶς Aët.; ἀλήψει ἀληπτικῶς X.

προσφορὰν ἀεὶ διὰ ὑπονοίας ἐχέτωσαν, τήν τε πολυποσίαν, βλαβεροῦ ὄντος τοῦ πλήθους τῶν ὑγρῶν. — Ὄξους σκιλλιτικοῦ σκευασία.] Σκίλλης κεκαθαρμένης καὶ διαμεμερισμένης ℔ ε', ὄξους ℥ μη'. Τίθει ἐν ἡλίῳ θερινῷ ἡμέρας μ' καὶ μετὰ ταῦτα χρῶ.

ξ'. Περὶ εἰλεοῦ.

Εἰλεὸς πάθος ὀξύτατον καὶ ἐπώδυνον ἐντέρων συνιστάμενον ἐπὶ βραδυπεψίαις ἢ ψύξεσιν, ἐπειδὰν τὰ φθαρέντα μείνῃ· συνίσταται δὲ καὶ ἐπὶ σπάσμασι καὶ ῥήγμασι καὶ θλάσμασι καὶ ταῖς τῶν ἐντέρων εἰς ὄσχεον κατολισθήσεσι, καὶ ἐπὶ δηλητηρίοις φαρμάκοις. Τὰ μὲν οὖν παιδία πυριατέον ἐλαιοβραχέσιν ἐρίοις συναφεψομένου τῷ ἐλαίῳ κυμίνου, ἢ πηγάνου, ἢ ἀνήθου· ὁτὲ δὲ καὶ ἐμπαστέον τὴν κοιλίαν κυμίνῳ λείῳ, εἶτα ἐπιθετέον τὸ ἔριον. Μὴ παρηγορούμενα δὲ καταπλαστέον ὠμῇ λύσει μετὰ κυμίνου, ἢ σελίνου καὶ ἀνίσου, ἢ πηγάνου σπέρματος, ξηροβαλανιστέον τε μέλιτι καὶ κυμίνῳ καὶ πηγάνου σπέρματι καὶ νίτρῳ. Ἐγκαθιστέον δὲ αὐτοὺς εἰς ὑδρέλαιον, μετὰ δὲ ἀσιτίαν πόλτοις τρεφέσθωσαν. Ἁρμόζουσι δὲ καὶ [αἱ] διὰ τῶν φακῶν καὶ κύστεων πυρίαι· ἔστι δὲ ὅτε καὶ διὰ σπόγγων ἐξ ὑδρελαίου προσοιστέον. Πυριατέον τε καὶ τὴν ἕδραν διά τε τῶν σπόγγων καὶ διὰ ἀγαθίδων. Χρηστέον τε καὶ τρίψεσι τῶν μερῶν μετὰ πολλοῦ λίπους διὰ εὐαφῶν χειρῶν. Κηρωταὶ δὲ ἐπιτήδειοι διά τε κυπρίνου καὶ πηγανίνου καὶ ἀνηθίνου. Ἐνέμασί τε χρηστέον διὰ ἐλαίου συναφεψηθέντων αὐτῷ κυμίνου καὶ πηγάνου. Περὶ δὲ μειράκια ἢ τοὺς ἀκμάζοντας συστάντος τοῦ πάθους φλεβοτομητέον ἀνυπερθέτως ἐπαφαιροῦντας ἤτοι ἑσπέρας, ἢ τῇ ἑξῆς, συστολῇ τε χρηστέον ἄχρι διατρίτου. Εἰ δὲ κωλυθείη μὲν φλεβοτομῆσαι, ταῖς μετὰ κατασχασμοῦ σικύαις ἐντὸς τῆς πρώτης διατρίτου χρηστέον. Διασφιγκτέον δὲ πάντας προανατετριμμένων τῶν ἄκρων τοῖς θερμαντικοῖς. Ἐνετέον δὲ τούτους τὸ διὰ κυμίνου καὶ πηγάνου ἔλαιον ἢ τὸ διὰ ἀψινθίου ἔχον καὶ ἀλῶν, ἢ ὀποπάνακος ∠α', ἢ μετὰ νίτρου ∠α' ἀσφάλτου ∠δ' καὶ ἐλαίου πηγανίνου Γο γ' ἢ ε' καὶ ὕδατος Γο α', ἢ χαλβάνης ∠δ'. Κλυσμοὶ δὲ ἁρμόζουσι διὰ ῥιζῶν σικύου ἀγρίου ἀφεψήματος μετὰ ∠α' σμύρνης καὶ μέλιτος καὶ ἐλαίου, ἢ σικύου ἀγρίου ῥιζῶν καὶ ἀψινθίου ὁμοῦ ἑψηθέντων, ἢ τήλεως ἀφέψημα μετὰ ἀλῶν καὶ μέλιτος καὶ ἐλαίου. Βάλανος ἀρίστη ἡ διὰ μέλιτος καὶ κυμίνου καὶ νίτρου καὶ πηγάνου σπέρματος ξηροῦ. Τὰ δὲ διὰ ἐλαίου ἐνέματα πρὸ τροφῆς ἐνετέον, καὶ μάλιστα τὸ διὰ ἀσφάλτου· εἰ δὲ ἐπείγοι, καὶ μετὰ τροφὴν πολὺ ὠφελεῖ, καὶ αἱ σικύαι δὲ κατὰ ὅλου τοῦ ἐπιγαστρίου κολλώμεναι πολλαί, πολλάκις μόναι, [πολλάκις] δὲ κατασχαζόμεναι ἐν τοῖς ἀλγοῦσι τόποις ἐπιτεθεῖσαι, καθ' ὧν καὶ τῇ ἑξῆς κολλητέον σικύας μετὰ ἃς μαλάγμασι χρηστέον τῷ τε διὰ δαφνίδων καὶ τῷ διὰ σπερμάτων καὶ τῷ Κηφισοφῶντος. — Πότημα.] Ἀψινθίου καὶ κυμίνου ἴσον, ἢ πάνακος μετὰ ὕδατος, ἢ καστορίου, ἢ ἀνίσου καὶ πεπέρεως ἴσον. Δίδου ∠α's'' μετὰ ὀξυμέλιτος, καὶ ἀνήθου ἀφέψημα σύνηθες καὶ πρόσφορόν ἐστιν. Μετὰ δὲ τὸ πιεῖν ἄρτον εἰς θερμὸν ζέον ἐμβαλὼν εὐθέως δίδου φαγεῖν τοὺς ψωμούς· σωθήσεται γὰρ κἂν ἤδη πνίγηται. Ἐναφεψέσθω δὲ ἄνηθον ὕδατι

Ch. 60, l. 8. ἐμπαστέον Aët.; ἐμπλαστέον X. — 12. [αἱ] ex em.; om. X. — Ib. καί Aët.; om. X. — 17. μειρακίων X. — 29. [πολλάκις] conj.; om. X. Voy. Aët., Paul.

καὶ ἐλαίῳ· θαυμαστῶς γὰρ ποιεῖ πρὸς αὐτοὺς τοῦτο πινόμενον κἂν ἐμῶσι κόπρον. Μὴ ἐνδιδούσης δὲ τῆς διαθέσεως ποτίζειν τῇ [θηρι]ακῇ, ἢ τῇ διὰ δ[υοῖν π]επέρεων, ἢ ταῖς [εἰρη]μέναις κολικαῖς, ἢ [τῇ] Φιλωνείῳ· ἢ ἐνετέον [τ]οῖς ἀνωδύνοις κολικοῖς ἐνέμασιν. Τοὺς [δ]ὲ ἀπὸ σπασμάτων ἢ ῥηγμάτων φλεβοτομεῖν................ ....

[ξβ'. Περὶ κολικῶν.]

.... Τὸ διὰ μελιλώτου.] Μελιλώτου Γο θ', βδελλίου Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο θ', μυροβαλάνου, οἰνάνθης, καρδαμώμου ἀνὰ Γο γ', κρόκου, κυπέρου, ἴρεως, ἀμώμου, ἀλόης, νάρδου κελτικῆς, κασίας ἀνὰ Γο α's", κηροῦ ℔ α's", τερεβινθίνης ℔ β', μηλίνου, ἢ ῥοδίνου, ἢ ναρδίνου ℔ β'. Οἴνῳ ὀλίγῳ τὰ ξηρὰ σεσησμένα ὁλμοκοπεῖται. Ἐνίοτε ἐπιβάλλομεν καὶ ὀποβαλσάμου Γο β' καὶ λιβάνου Γο α'.—Πόμα. Κολικοῖς, ἐμπνευματουμένοις, δυσεκκλοῦσιν ἐπιτετευγμένον πόμα.] Ἀψινθίου, γλήχωνος, πεπέρεως λευκοῦ, κυμίνου ἀγρίου, δαφνίδων λελεπισμένων ἴσα. Ξηρὸν πότιζε κοχλιάριον ἢ μύστρου πλῆθος ἐν ὕδατι θερμῷ κυ. γ' νήστει. — Ἔνεμα ἀνώδυνον κολικόν.] Πίσσης ὑγρᾶς ∠γ', κεδρίας ∠β', ὀπίου ∠α'. Ἑνώσας ἔνιε ὅσον τὸν λιχανὸν δάκτυλον μέχρι τῆς τοῦ πρώτου κονδύλου καμπῆς μολῦναι μετὰ ἐλαίου πηγανίνου κο. α' καὶ κατὰ ἔνεσιν μίγνυε βουτύρου Γο α' καὶ τερμινθίνης Γο α's"· ὑποκάθηται γὰρ καὶ διακρίνεται. — Καταπότιον κάλλιστον ᾧ ἐγὼ ἐχρησάμην καὶ εὐδοκίμησα.] Καστορίου ∠δ', κρόκου ∠β', ναρδοστάχυος ∠β', νίτρου ∠β', ὀπίου ∠γ', πηγάνου ∠δ', σμύρνης ∠δ'. Ἀναλάμβανε μέλιτι ἑφθῷ, ἐπὶ δὲ τῆς χρήσεως λαβὼν καρύου ποντικοῦ τὸ μεγέθος ἄνιε οἴνου κράσει καὶ ἐπίβαλλε πηγανίνου ἐλαίου κρᾶσιν, ἵνα ὦσι κράσεις δύο, καὶ οὕτω χρῶ πρὸς κοίτην προλούων τὸν ἄνθρωπον κάμνοντα. — Κοκκία ὑποθετὰ ἀνώδυνα κολικοῖς.] Καστορίου, ὀπίου, σμύρνης, λιβάνου ἴσα ὑποτίθεμεν. — Φύσας ἐπὶ τῶν κολικῶν προκαλέσασθαι.] Μίσυ ὀπτὸν μετὰ μέλιτος τὴν ἕδραν ἐπίχριε καὶ θαυμάσεις.

ξγ'. Περὶ νεφριτικῶν.

Ὀξέως παθόντων τῶν νεφρῶν φλεβοτομεῖν ἀπὸ ἀγκῶνος καὶ ἐπαφαιρεῖν, σικυάζειν τε καὶ καταπλάσσειν, ἥ τε κοιλία ὑπαγέσθω ἁπαλοῖς ἐνέμασι διά τε ἐλαίου καὶ ἀφεψήματος τήλεως, ἢ μαλάχης καὶ ἀρτεμισίας. Ποτίζειν δὲ ἀφεψήματι φοῦ, ἢ ἀσάρου, ἢ μήου· πλεῖον δὲ ἔστω τὸ πόμα, τό τε ὕδωρ καθαρὸν καὶ πηγαῖον. Γάλα δὲ καὶ ὡς τροφὴν καὶ ὡς φάρμακον προσφέρεσθαι· ἐγκαθίσματα δὲ καὶ ἐν ταῖς ἀκμαῖς ἐπιτήδεια καὶ λουτρὰ ἐν παρακμαῖς. Τὰ δὲ καταπλάσματα ῥητίνην ἐχέτω καὶ ἀφαιρεθέντων αὐτῶν κηρώματα ἐπιτιθέσθω. Ἐπεχομένων δὲ τῶν οὔρων διὰ τὸ ἄνω που λίθοις ἐμπεφράχθαι πυριατέον καταπλάσμασι καὶ ποτιστέον τοῖς θρύπτουσι λίθους, μήου ἀφεψήματι· ἢ ἡμιονῖτιν ἣν καὶ πριονῖτιν καλοῦσιν, ἢ σαξιφραγές· καὶ ἐσθιόμενον δὲ ὠφελεῖ τὸ σίον· ἢ ἀγρώστεως καὶ τριβόλου ἀφέψημα. — Νεφριτικὸν πόμα.] Ἀνίσου,

2-4. [θηρι]... [υοῖν π]... [εἰρη]... [τῇ]... [τ]... [δ] delet. apud X. Cf. Aët.

σελίνου, πετροσελίνου, ναρδοστάχυος, πεπέρεως λευκοῦ καὶ μέλανος καὶ μακροῦ ἀνὰ ∠ι', κινναμώμου, σμύρνης, ὀπίου ἀνὰ ∠δ', κασλορίου, δαύκου, σίνωνος ἀνὰ ∠β', ὑοσκυάμου λευκοῦ σπέρματος ∠α', ῥέου, σαξιφράγου, βετλονικῆς, κασίας, κυμίνου σπανοῦ, σικύου σπέρματος λελεπισμένου ἀνὰ ∠α', μέλιτος ἀτλικοῦ τὸ ἀρκοῦν. Πότιζε νῆστιν καρύου ποντικοῦ τὸ μέγεθος διὰ ὕδατος θερμοῦ. — Ὁ διὰ φυσαλίδων τροχίσκος πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει διαθέσεις καὶ πύον οὐροῦντας, ἢ μυξώδη, ἢ αἷμα, πρός τε ψώρας κύστεως καὶ ἑλκώσεις.] Σικύου σπέρματος λελεπισμένου ∠ιβ', σελίνου σπέρματος, ὑοσκυάμου σπέρματος λευκοῦ ἀνὰ ∠ϛ', κασίας ∠δ', κωνείου σπέρματος ἐπτισμένου, ὀπίου, μαράθου σπέρματος, λαπάθου ἡμέρου σπέρματος, στροβιλίων πεφρυγμένων, κρόκου, ἀμυγδάλων πικρῶν λελεπισμένων, καρύων ποντικῶν λελεπισμένων ἀνὰ ∠γ'. Τινές φησι καὶ βοτάνης φυσαλίδος ῥωμαϊστὶ οὐισικαρίας καλουμένης εἰς τε στεφάνους πλεκομένης κόκκους κε'. Λειοτριβήσας ἅπαντα γλυκεῖ κρητικῷ πλάσσε τροχίσκους· πότιζε δὲ ἀπυρετοῦσι μὲν ἐν κυάθοις τρισὶ γλυκέος κρητικοῦ, πυρέσσοντας δὲ ὕδατι θερμῷ. Ἡ δόσις ∠α' ἢ β'· ἐνίεται καὶ διὰ καθετῆρος. — Πρὸς λιθιῶντας ἀντίδοτος διουρητική.] Κρόκου ∠η', σμύρνης ∠ε', σχοινάνθου ∠δ', κασίας, ναρδοστάχυος, κόστου ἀνὰ ∠β', πεπέρεως λευκοῦ, μακροῦ, πολίου, ἀσάρου ἀνὰ ∠α's", ἀγαρικοῦ ∠α's", γλυκυῤῥίζης χυλοῦ ∠α's", νήσσης θηλείας αἵματος ∠β', ὀποβαλσάμου ∠α'. Ἀναλάμβανε μέλιτι ἀπέφθῳ διπλάσιον καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ οἰνομέλιτος. Ἐν ἀντιγράφῳ δὲ καὶ ταῦτα προσέκειτο· ῥόδων ξηρῶν, μήου, ἀκόρου ἀνὰ ∠α'. Τοῖς πύον οὐροῦσι νάρθηκας καύσας καὶ λειοτριβήσας πότιζε τὴν σποδιὰν μετὰ γλυκέος κρητικοῦ ὅσον τοῖς τρισὶ δακτύλοις λάβοις. Πρὸς δὲ τὰς διαίμους οὐρήσεις πότιζε τὰ μαλακὰ κάρυα μετὰ γλυκέος κρητικοῦ· τὸ αὐτὸ καὶ πρὸς δηγμούς. — Σύγχρισμα νεφριτικόν.] Κυπρίνου ℔ γ', κηροῦ ℔ β', τερεβινθίνης ℔ α', κενταυρίου, σατυρίου, σμύρνης, πεπέρεως, εὐφορβίου ἀνὰ Γο γ', κυπέρου, πυρέθρου, γλήχωνος ἀνὰ Γο α'. Μετὰ τὸ ἀναλαβεῖν ἀλλήλοις μίγνυε ὀποβαλσάμου Γο δ'.—Ἀπλᾶ πινόμενα.] Ἐχίνου ἄνθος, φοῦ, μῆον, ἄσαρον, ἄκορον κατὰ αὐτὸ ἕκαστον καὶ μετὰ ἀλλήλων ἐμπασσόμενα ὕδατι, ἢ ἀφηψημένα· ἀγαθὸν καὶ τὸ πετροσέλινον. — Πρὸς ἕλκωσιν νεφρῶν καὶ κύστεως.] Κωναρίων ἡμίναν, φυσαλίδας ι', κάρυα βασιλικὰ ι', κρόκου, λαπάθου σπέρματος ἀνὰ ∠η', ὀπίου ∠γ', σικύου σπέρματος ∠γ', σελίνου σπέρματος ∠γ', μέλιτος ἀπέφθου τὸ ἀρκοῦν. Ἡ δόσις τριώβολον.—Κονδῖτον νεφριτικὸν πρὸς νεφρῶν χρονίους πόνους καὶ κύστεως καὶ δυσουρίας καὶ ἰσχουρίας καὶ στραγγουρίας καὶ ψύξεις τῶν μερῶν· ἐκκρίνει δὲ καὶ πώρους καὶ λίθους θρύπτει καὶ πρὸς τὰς ἄλλας διαθέσεις τῶν αὐτῶν τόπων ποιεῖ καλῶς.] Σαξιφράγου ∠β', βετλονικῆς ∠α', πετροσελίνου μακεδονικοῦ Γρ. ϛ', ναρδοστάχυος Γρ. γ', φύλλου, ῥέου ἀνὰ Γρ. γ', ἐρυσίμου Γρ. ϛ', πεπέρεως Γρ. ιβ', μέλιτος ℔ α', οἴνου καλοῦ ℔ δ'.—Ἄλλο κονδῖτον νεφριτικόν.] Οἴνου ℔ ιβ', μέλιτος ℔ β', πεπέρεως ∠ιβ', σαξιφράγου, ναρδοστάχυος, πετροσελίνου, κασίας ἀνὰ ∠β'.

ξδ'. Περὶ τῶν ἐν κύστει παθῶν.

Ἰσχουρίας ὑπαρχούσης ἐν κύστει, ἢ δυσουρίας διὰ φλεγμονήν, ἢ αἱμοῤῥαγίαν,

4. ∠α' Aët.; Γο α' X. — 11. ἀνὰ ∠ Γο γ' X.

φλεβοτομία χρησίμη, καὶ καταπλάσσειν ὥσπερ τοὺς νεφριτικούς. Θρόμβων δὲ αἵματος ἐμφρασσόντων τὴν δίοδον, ὀξυμέλιτι ποτιστέον, ἢ κονίᾳ ἐλαίῳ κεκραμένῃ, ἢ τῇ μιθριδατείῳ, ἢ τῇ διὰ ἐχιδνῶν Θηριακῇ, ἢ τῇ διὰ αἱμάτων. Λιτὰ δὲ ποτίζειν ἀφέψημα ἀδιάντου, ἢ σίου, ἢ πριονίτιδος, ἢ ἀρτεμισίας, ἢ σικύου ἀγρίου σπέρματος, πυριᾷν δὲ διὰ ὀξάλμης, ἢ διὰ στακτῆς κονίας. Αἱμοῤῥαγούσης δὲ κύστεως διαδεῖν τὰ ἄρθρα καὶ ποτίζειν ὡς τοὺς αἱμοπτοϊκούς, ἐπιτιθέναι δὲ ἔξωθεν φοίνιξιν ἀνειλημμένον ῥοῦν, ἢ χυλὸν αὐτοῦ, ἢ λύκιον, ἢ ἀκακίαν. Φλεγμονῆς δὲ ὑπαρχούσης μὴ καθετηρίζειν, ὀλιγοποσίᾳ τε καὶ ὀλιγοσιτίᾳ Θεραπεύειν, κοιλίας τε κενώσει καὶ καταπλάσμασι, καὶ τοπικαῖς σικύαις, ἐνέμασί τε διὰ ἕδρας διὰ ἐλαίου πηγανίνου. Οἷς δὲ ἐπέσχηται ἡ τοῦ οὔρου ἔκκρισις ἄνευ φλεγμονῆς τῆς ἐκκριτικῆς ἐνεργείας ἀνατραπείσης, κεντριστέον ὥσπερ ἀναμιμνήσκοντας τὴν ἐνέργειαν ἐγκαθίσμασι, νίτρῳ τε παραπτομένους τοῦ πόρου, ἢ ἀφρονίτρῳ, ἢ κόρεσι τεθλασμέναις. Εἰ δὲ μὴ ὑπακούοι, καθετηριστέον αὐτούς· διουρητικοῖς δὲ μὴ προποτίζειν ὡς μὴ τῷ ἀπωθισμῷ προσδιατείνοιτο ἡ κύστις. Ταῖς δὲ ἀπὸ ψύξεως στραγγουρίαις ἢ δυσουρίαις ἐπαμύνειν διὰ τῶν ἀρωματικῶν προποτισμάτων, καὶ μάλιστα τῇ Θηριακῇ, καὶ τέττιξι ξηροῖς ἐμπασσομένοις ὕδατι Θερμῷ σὺν ὀλίγῃ νάρδῳ. Εἰ δὲ ὥρα παρείη αὐτῶν, ἐσθιόμενοι ὀπτοὶ ὠφελοῦσιν. Μάλιστα καὶ τὸ σίον δὲ ἁρμόζει. Δίαιτα δὲ διὰ Θηραίου κρητικοῦ, διὰ οἰνομέλιτος, χόνδρου ῥοφημάτων, πτισάνης, ἀσπαράγων, μαλάχης, καρίδων καὶ τῶν ἄλλων ἰχθύων, γάλακτος, ἢ ἐριφείου κρέως καὶ ὀρνιθείου γάλακτι πεποτισμένου. Λουτρῷ δὲ σπανίως χρηστέον· ἐπὶ οὐδεμιᾶς γὰρ περιστάσεως ἁρμόζει τὸ λουτρόν. — Πρὸς λιθιῶντας.] Τοὺς λιθιῶντας ποτίζειν σικυοῦ σπέρμα, ἢ σελίνου, ἢ σταφυλίνου, ἢ δαύκου, ἢ σίον τὸ παρὰ τὰ ὕδατα φυόμενον, ἢ ταύτῃ τῇ ἀντιδότῳ λαμβανούσῃ ἀσάρου, σχοίνου ἄνθους, κασίας καὶ κινναμώμου ἴσον. Αἱμοῤῥαγούσης κύστεως μετὰ τῶν ἄλλων βοηθημάτων ἱκανῶς βοηθοῦσι σικύαι κατὰ κενεώνων καὶ ἰσχίων κολλώμεναι, ἐπίθεμα πρὸς τὸ αὐτὸ διὰ φοινίκων καὶ ἀκακίας καὶ ὑποκιστίδος καὶ σιδίων καὶ στυπτηρίας. Ποιεῖ δὲ ἄκρως καὶ σπόγγος ὑγρᾷ πίσσῃ δευθεὶς καὶ καυθεὶς ἀναληφθείς τε τοῖς φοίνιξιν, ἢ διὰ χυλοῦ ἀρνογλώσσου διὰ ἕδρας ἐνεθείς. — Ἐγκάθισμα εἰς τὸ αὐτό.] Ὀξύκρατον, ἢ ἀφέψημα σχίνου, ἢ βάτου, ἢ σιδίου, ἢ ῥοὸς βυρσοδεψικῆς. Θρόμβους αἵματος ἐν κύστει διαλύει πινόμενα σιλφίου ὀπός, ἢ τὰ φύλλα αὐτοῦ λεαινόμενα καὶ πινόμενα. Αἱμοῤῥαγούσης κύστεως ποτίζειν τῷ ῥᾶ τῷ ποντικῷ, ἢ σαμίᾳ γῇ, ἢ σφραγῖδι λημνίᾳ, καὶ τὰ σύνθετα ὅσα τοῖς αἱμοπτοϊκοῖς δίδοται προσενεκτέον. Πρὸς ἑλκώσεις κύστεως κατάπλασμα διὰ φοινίκων ἢ σταφίδων μετὰ κηκῖδος καὶ στυπτηρίας καὶ σιδίων καὶ ἀκακίας καὶ ὑποκιστίδος· Θερμὰ δὲ ἐπικείσθω, ἔστιν ὅτε καὶ φακοῦ ἐπιτιθεμένου τῷ καταπλάσματι. Ταῦτα δὲ ἤτοι φοίνιξιν ἀναλαμβανέσθω, ἢ σὺν αἱρίνῳ ἀλεύρῳ ὀξυμέλιτι ἑψήσθω. Εἰ δὲ ἄνευ νομῆς φλεγμαίνοι, ἁμῇ λύσει καταπλάσσειν, ἐγκαθίζειν τε καὶ πυριᾷν. Νεμομένης δὲ τῆς ἑλκώσεως ἐνιέναι τῇ κύστει διὰ καθετῆρος τὸ διὰ χάρτου. Εἰ δὲ μένει δριμύξις ἐξ ἑλκώσεως, ἐνιέναι γάλα μετὰ ἀμύλου, ἢ πομφόλυγος, ἢ τοῦ ἀστέρος κολλυρίου, ἢ τοῦ διὰ φυσαλίδος τροχίσκου. — Πρὸς δηγμοὺς κύστεως.] Δηγμοὶ περὶ τὴν κύστιν

11-12. παραπτομένους τοῦ πόρου Aët.; παραπτομένῳ τοῦ τόρου X. — 17. χόνδρων X. — 18-19. ἢ ἐριφείου ἢ X. — 21. δαυκοῦ X, et sic sæpius.

εἰ μὴ ἐπὶ προηγουμένῃ ἑλκώσει γίνοιτο, διὰ τὸ χολῶδες ἄκρατον ὑπάρχειν τὸ συνειλεγμένον περίσσωμα ἀποτελοῦνται· χρονίζοντες δὲ δασύνουσι καὶ ἑλκοῦσι τὰ μέρη. Ἁρμόζει τοίνυν συνεχῶς μὲν ἀποπυριᾷν, πλέον δὲ προσφέρεσθαι ποτὸν καὶ ἀπουρεῖν ἀναγκάζειν αὐτοὺς πυκνά. Προποτίζειν δὲ αὐτοὺς σικύου σπέρματι λελεπισμένῳ ἢ ἀμυγδάλοις πικροῖς, ἢ ἀμύλῳ μετὰ γάλακτος ἑφθοῦ, ἢ μετὰ φοινικοβαλάνων ἀφεψήματος, ἢ γλυκέσιν οἴνοις. Προσλαμβανέσθωσαν δὲ καὶ οἱ καρυωτοὶ φοίνικες. — Πρὸς τοὺς ἐν πυρετοῖς δυσουριῶντας.] Οἱ δὲ ἐν πυρετοῖς δυσουριῶντες ἐμβρεχέσθωσαν τό τε ἦτρον καὶ τὸν περίνεον μέχρι τῶν ἰσχίων πηγανίνῳ ἐλαίῳ, ἢ σικυωνίῳ, ἢ παλαιῷ, ἐπεχομένης τε τῆς κοιλίας ἐνιέσθωσαν τήλεως, ἢ μαλάχης ἀφεψήματι. Ἐγκαθιζέσθωσαν δὲ εἰς ὑδρέλαιον, ἢ τήλεως ἀφεψήματι. Ἁρμόζουσι δὲ ἐπειγούσης τῆς διαθέσεως καὶ σικύαι μετὰ ἀμύξεως, κηρωτὴ δὲ πρὸς τὰ αὐτὰ ἐπιτηδειοτάτη. Ἀγρίας μαλάχης ῥίζαι ἕψονται σικυωνίῳ ἐλαίῳ μετὰ ὀλίγου ὕδατος ἕως ξηραὶ γένωνται, καὶ αὗται μὲν ῥίπτονται, τὸ δὲ ἔλαιον μίγνυται χυλῷ πηγάνου ὡς εἶναι τοῦτο τέταρτον, καὶ κηροῦ καὶ καστορίου τὸ ἀρκοῦν. Πότιμα δὲ τοῖς οὕτω διακειμένοις ἁρμόζει διουρητικά, ἀφέψημα πετροσελίνου, ἢ νάρδου ῥίζης, ἢ σταφυλίνου, ἢ μήου, ἢ ἀκόρου, ἢ κρήθμου, ἢ ἀσάρου ῥίζης, ἢ δαύκου κρητικοῦ, ἤ τινος ὁμοίου. — Πρὸς ἕλκωσιν κύστεως.] Ἡλκωμένοις κύστιν δοτέον σικυοὺς καὶ πέπονας χωρὶς ἐμβάμματος καὶ τὰ σπέρματα αὐτῶν, σῦκα ξηρὰ καὶ καρυωτοὺς φοίνικας καὶ Θάσια πεφρυγμένα, οἴνους δὲ Θηραίους, σκυβελίτας, προτρόπους, μελαμψιθίους λευκούς, *Θεατὰς ἰταλικούς, ἢ γλυκεῖς ἀλβανούς, φαλερίνους, καὶ πάντων μᾶλλον καίκουβον καὶ χρυσαττικὸν Θερινόν. — Πρὸς παράλυσιν κύστεως.] Οἱ παραλυθέντες τὴν κύστιν οἱ μὲν ἀπροαιρέτως ἐκκρίνουσι τὸ οὖρον, καὶ ὅσον ἐπὶ τούτῳ ἔχουσιν ἀκινδυνότερον, οἱ δὲ οὐκ ἀποκρίνουσιν, ἀλλὰ κατέχοντες διατείνονται τὴν κύστιν καὶ τὴν ὀσφὺν καὶ τὸ ἦτρον καὶ ἐν οἰδήματι τοὺς μηροὺς ἔχουσι καὶ μὴ ἐξουρήσαντες νεκροῦνται τὰ ὑποκείμενα καὶ οὐκ εἰς μακρὰν τελευτῶσιν· ὅθεν ἀνυπερθέτως αὐτοὺς καθετηριστέον καὶ συνεχῶς εἰς ὑδρέλαιον ἐγκαθιστέον καὶ ἐξαντλητέον πολλάκις τῆς τε ἡμέρας καὶ τῆς νυκτός, καὶ μάλιστα μετὰ τὸ καθετηρίσαι· ἀγανακτεῖ γὰρ τὰ μέρη· καὶ καταπλαστέον ὠμῇ λύσει διά τε οἴνου γλυκέος καὶ μέλιτος. Προποτιστέον δὲ καστορίῳ· ἐνετέον δὲ τοῖς διὰ πηγάνου καὶ κενταυρίου καὶ κυμίνου καὶ παλαιοῦ ἐλαίου, ἢ σικυωνίῳ. Κλυστῆρές τε ὠφελοῦσι καὶ ὀλιγοποσία καὶ ἄποτα τὰ πρὸς παραλύσεις ποιοῦντα, προποτισμοί τε καστορίου καὶ διουρητικῶν. Τοὺς δὲ ἀπροαιρέτως ἐκκρίνοντας στυπτικῶς ἀκτέον καὶ τονωτέον τὰ μέρη διὰ τῶν δακνόντων καταπλασμάτων καὶ μαλαγμάτων τροφῶν τε ξηραντικῶν καὶ ποτοῦ ψυχροῦ. Ἐν δὲ ταῖς ἀναλήψεσιν εὐτονωτέρως χρῶ καὶ δρωπακισμοῖς καὶ φοινιγμοῖς καὶ τῷ διὰ νάπυος, ἄμμῳ τε διαπύρῳ καὶ αὐτοφυέσιν ὕδασι ψυχροῖς. Τὰς δὲ ἐπὶ ῥάχεως τραύματι, ἢ πτώματι, ἢ ὀλισθήματι θανατικαῖς συνδρομαῖς συνεδρευούσας ἀδύνατον ἰᾶσθαι. — Πρὸς κύστεως αἱμοῤῥαγίαν καὶ ῥηγμοὺς καὶ ἑλκώσεις.] Ἀμύλου ∠η', λινοσπέρμου πεφωγμένου, σικύου σπέρματος λελεπισμένου, μήκωνος λευκῆς σπέρματος, τραγακάνθης ἀνὰ ∠δ'. Ἡ τραγάκανθαν γλυκεῖ προβραχεῖσαν καὶ ἀναλαμβάνεσθαι σὺν αὐτῇ τὰ λοιπά.

4-5. σπέρματος..... ἀμυγδάλων πικρῶν..... ἀμύλου X. — 20. καίκουβον ex em.; κυβόν X.

Ἡ δόσις τριώϐολον μετὰ κυάθου γλυκέος κεκραμένου. Ἀλγήματα κύσΊεως πινόμενα ἶᾶται λινοσπέρμου κύαθος α' μετὰ γλυκέος, σήσαμον, ὁρμίνου σπέρμα, ὀξυσχοίνου καρπὸς, λωτοῦ καρπὸς, σπέρμα μήκωνος λευκῆς ἢ μελαίνης ∠α' σὺν ὑδρομέλιτι, κυδωνίων ἄνθους ἀφέψημα, ἑλίκων ἀμπέλου ἀφέψημα. Πρὸς ἑλκώσεις κύσΊεως ποιεῖ μὲν καὶ τὰ νεφριτικὰ, ἰδίως δὲ ποτιζόμενα ἀνδράχνης χυλὸς σὺν γλυκεῖ, ἀγρώσΊεως πόσης ἀφέψημα, καὶ μάλισΊα τῆς ἐκ τοῦ Παρνασοῦ, ἐλάτης μυρεψικῆς ἀφέψημα, γάλα, οἶνος γλυκὺς, κυπαρίσσου κόμης μετὰ σμύρνης ὀροϐιαῖον μέγεθος. Λίθους τοὺς ἐν κύσΊει θρύπΊει πινόμενα ἀγρώσΊεως, ἀδιάντου ἀφέψημα σὺν οἴνῳ, σμυρνίου σπέρμα, ὀξυμυρσίνης ῥίζα ἢ ὁ καρπὸς, ἱππομαράθου ῥίζα καὶ τὸ σπέρμα, ἀλκυονίου μιλησίου ὀϐολοὶ δύο, ἀμύγδαλα πικρὰ ἐν γλυκεῖ τριώϐολον σὺν οἴνῳ, τριϐόλου τοῦ καρποῦ ὁ χυλὸς χλωροῦ, γλυκυσίδης ῥᾶγες οἱ πυῤῥοὶ, δάφνης ῥίζης φλοιοῦ τριώϐολον μετὰ οἴνου εὐώδους, καρδαμώμου τριώϐολον μετὰ φλοιοῦ ῥίζης δάφνης ἴσου, κονία ἀμπέλου, ἄμωμον. — Λίθων θρυπΊικόν.] Φλόμου ῥίζης φλοιοῦ ἀφέψημα πότιζε πλῆθος· σίδηρος δὲ μηδαμῶς θιγγανέτω τῆς βοτάνης· πότιζε δὲ ἑξῆς ἡμερῶν ε' καὶ διαλίμπανε δέκα. — Διουρητικόν.] Καρδαμώμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ ∠ϛ', κόσΊου, σμύρνης ἀνὰ ∠γ', κασίας ∠α', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις κυάμου αἰγυπΊίου τὸ μέγεθος. — Ἄλλο.] Πετροσελίνου, μύρτων μελάνων ἀνὰ ∠ιϛ', σελίνου σπέρματος ∠λβ', ἄμμεως ∠η', ναρδοσΊάχυος κελτικῆς ∠δ', σμύρνης ∠β', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις ∠α' μετὰ ὑδρομέλιτος ἢ μετὰ οἴνου κεκραμένου κυάθων γ'.

ξε'. Πρὸς γονόῤῥοιαν.

Γονόῤῥοιά ἐσΊιν ἔκκρισις ἀπροαίρετος σπέρματος, ἐπὶ οἷς ἁρμόζει ἡσυχία καὶ σκέπη τῆς ὀσφύος καὶ τῶν ἐν βάθει πιλήμασί τε ῥοδίνου ἢ μηλίνου ἢ οἰνανθίνου. Ἑξῆς δὲ καταπλάσσειν τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ῥοὸς καὶ τῶν ὁμοίων, ἀκακίας τε καὶ ὑποκισΊίδος, ἐγκαθίζειν τε σχίνου καὶ βάτου ἀφεψήμασι καὶ τῶν παραπλησίων ἐν οἴνῳ καὶ ὕδατι· τροφαῖς δὲ χρῆσθαι ἀναξηραντικαῖς, μετὰ δὲ τοὺς πρώτους χρόνους ἄγειν ἐπὶ γυμνασΊικὴν ἀγωγὴν διὰ ἧς τό τε ὅλον σῶμα καὶ τὰ πεπονθότα μέλη εἰς ῥῶσιν παραχθήσονται. — Πρὸς γονόῤῥοιαν.] Θρίδακος σπέρμα μύσΊρου πλῆθος μετὰ ψυχροῦ πότιζε.

ξϛ'. Περὶ σατυριάσεως.

Ἡ σατυρίασις περὶ τὰ σπερματικὰ μόρια συνίσΊαται μετὰ φλεγμονῆς· δεῖ δὲ φλεϐοτομεῖν τοὺς ἁλόντας τῷ πάθει καὶ μέχρι διατρίτου ἐν ἀσιτίᾳ τηρεῖν, ἐμϐρέχειν τε τὸ ἦτρον καὶ τὰ ἰσχία μετὰ τῶν αἰδοίων οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου καὶ διασφίγγειν τὰ ὑπερκείμενα καὶ δίψει πιέζειν, ἐπεχομένην τε τὴν κοιλίαν κενοῦν μὴ δριμεῖ κλύσματι ὡς μὴ ἐπιτείνεσθαι τὴν διάτασιν, καὶ τροφὴν σιτώδη διδόναι ὀλίγην καὶ ἐπὶ ὑδροποσίᾳ τηρεῖν. Ἐπιμένοντος δὲ τοῦ πάθους, σικυασΊέον μετὰ κατασχασμοῦ. Εἰ δὲ πλῆθος παράκειται, καὶ βδέλλαις κενοῦντα καὶ ταῖς κοιναῖς ὠμαῖς λύσεσι καταπλάτΊειν.

Cʜ. 66, l. 34. τὰς κοιλίας ὠμῇ λύσει Paul.

ξζʹ. Περὶ ἀπράκτων μορίων.

Οἱ ἄπρακτα μόρια ἔχοντες πρὸς ἀφροδίσια οὐκ ἰσχύουσιν ὁρμᾷν, ἄθυμοι δὲ διὰ τοῦτο γίνονται. Γυμναζέσθωσαν οὖν τὰ κάτω μέρη τριβόμενοι τοῖς διὰ πεπέρεως καὶ νίτρου καὶ εὐφορβίου ἀκόποις. Σιτία δὲ αὐτοῖς θερμὰ καὶ θερμαντικὰ καὶ φυσώδη ἁρμόζει, οἶνοί τε εὐώδεις καὶ ἀμύλια, καὶ χόνδροι καὶ κῶνοι καὶ πράσα καὶ εὔζωμα καὶ βολβοί, προποτισμοί τε διὰ σατυρίου καὶ πεπέρεως καὶ εὐζώμου σπέρματος καὶ κνήκου. Καθευδέτωσαν δὲ ἐπὶ μαλακαῖς κοίταις καὶ ἀναγινωσκέτωσαν ἀκολάστων ἀναγνώσματα. — Ἐντατικὸν ποιοῦν καὶ πρὸς πάρεσιν τῶν αἰδοίων.] Νάπυος, πάνακος, εὐζώμου σπέρματος ἀνὰ ἑξάγια ηʹ, καρδαμώμου σπέρματος ∠δʹ, πεπέρεως κόκκους κʹ. Ὕδατι ἀναλαβὼν ἢ εὐζώμου χυλῷ πλάσσε τροχίσκους καὶ δίδου ∠αʹ νήστει μετὰ οἴνου χίου κύαθον ἕνα κεκραμένου χλιαρῷ κο. αʹ. — Ἐντατικόν.] Λαγωοῦ πυτίαν, ἢ λέοντος στέαρ χρῖε, ἢ τὰ τρία πεπέρια μετὰ χυλοῦ εὐζώμου. — Ἄλλο.] Εὐζώμου σπέρματος, πάνακος, σινάπεως ἀνὰ ∠ηʹ, καρδαμώμου ∠δʹ, πεπέρεως κόκκοι κʹ. Πάντα λειάνας σὺν ὕδατι ἢ χυλῷ εὐζώμου πλάσσε τροχίσκους καὶ δίδου ∠αʹ πίνειν μετὰ οἴνου. — Σατυριακή.] Ζιγγιβέρεως, σατυρίου τοῦ ἀνωτέρου μέρους ἀνὰ ∠ηʹ, σκίγκου τῆς οὐρᾶς, μήου, ἀσάρου, πετροσελίνου, καρδαμώμου, σεσέλεως ἀνὰ ∠δʹ, εὐζώμου σπέρματος, κινναμώμου ἀνὰ ∠γʹ, ὀρμίνου, πεπέρεως λευκοῦ, κνίδης σπέρματος ἀνὰ ∠βʹ, σχοίνου ἄνθους, ναρδοστάχυος ἀνὰ ∠δʹ, αἵματος τραγείου μύστρον αʹ. Δίδου ∠αʹ μετὰ οἴνου· τοῖς δὲ ἀσθενεστέροις διὰ γάλακτος.

ξηʹ. Περὶ κόπων.

Κόποι οἱ μὲν ἐκ τοῦ πλείονα διαπονῆσαι γινόμενοι φλεγμονὴν περὶ τοῖς διαπονήσασι νεύροις ἀποτελοῦσιν· ἁρμόζει δὲ ἡσυχία καὶ συστολή, ἐμβροχαί τε ἀεὶ διὰ ἐλαίου. Οἱ δὲ αὐτόματοι κόποι ἐκ πλήθους γινόμενοι πολὺ πρότερον φλεβοτομίαν ἀπαιτοῦσιν. Οἱ δὲ ἀπὸ συνήθων πόνων γινόμενοι κόποι θέρμην μετὰ παραλλαγῆς σφυγμῶν ἐκφέρουσι, καὶ οὗτοι ἀσιτίαν μὲν ὑπογράφουσι, λουτροῖς δὲ ἀποκαθίστανται καὶ ὑγραῖς τῇ ἑξῆς τροφαῖς καὶ ὑδροποσίαις. — Σύγχρισμα τοῖς ἐκ κινήσεως κοπωθεῖσιν.] Ἀφρόνιτρον ὕδατι λύσας καὶ διηθήσας μῖξον οἴνῳ βραχεῖ καὶ ἐλαίῳ τετραπλασίονι καὶ ἐρίοις οἰσυπηροῖς ἀναταράξας ἱκανῶς θέρμαινέ τε καὶ σύγχριε τοὺς λουομένους καὶ τοὺς ἀλουτοῦντας.

ξθʹ. Περὶ ῥήγματος καὶ σπάσματος.

Ῥῆγμα καὶ σπάσμα τὸ μὲν ἐν σαρκώδει μορίῳ, τὸ δὲ ἐν νευρώδει συνίσταται· αἰτίαι δὲ τούτων αἰφνίδιός τις καὶ ἀνώμαλος ἢ σφοδρὰ κίνησις, καὶ μάλιστα ὅταν ἄτριπτα καὶ ἀθέρμαντα καὶ ἀμάλακτα πρὸς τὰς κινήσεις ἄγηται τὰ σώματα· διασπᾶται γὰρ ταῖς τοιαύταις διαθέσεσι πολλὰ τῶν ἐν αὐτοῖς μορίων.

οʹ. Περὶ τρόμων.

Τρόμοι ἐν πυρετοῖς γινόμενοι, εἰ μὲν ἐξ ἁμαρτημάτων συμβαίνοιεν, ἀποχὴ ἔστω

τῶν βλαψάντων, καὶ πρῶτον μὲν ἐμβρεκτέον τὸ σῶμα πᾶν ἐλαίῳ σαβίνῳ, ἐν δὲ ταῖς ἐνδόσεσι τῶν ἐπισημασιῶν παλαιῷ, ἢ σικυωνίῳ. Σκεπέσθω δὲ τὰ ἄκρα ἐρίοις μαλακοῖς προαληλιμμένα, εἶτα προσβλητέον σικύας ἀπὸ τοῦ πρώτου σπονδύλου μέχρι ῥάχεως καὶ ὀσφύος, προκαταπλασσομένων τῶν μερῶν μετὰ τῶν ὑποχονδρίων ἀμήλύσει. Σκεπέσθω δὲ καὶ ταῦτα ἐρίοις ἐκ παλαιοῦ ἢ σικυωνίου ἐλαίου, τροφάς τε προσοισθέον σιτώδεις καὶ ῥοφηματώδεις θερμὰς πάσας. Εἰ δὲ χρονίσειαν οἱ πυρετοί, ἐμβιβασθέον παρὰ μίαν εἰς ἔλαιον, καὶ τρίψεσιν ἐπιμελέστερον ἁπαλαῖς χρηστέον. Εἰ δὲ ἐπιχρονίσειεν ἡ διάθεσις, προποτιστέον καστορίῳ μετὰ μελικράτου, καὶ ἐν θερμοῖς τόποις αἰωρητέον, ὅτε καὶ τὰ εὐδιοίκητα τῶν πτηνῶν καὶ ἰχθύων τοὺς ἁπαλοσάρκους προσοίσομεν. Λυθέντων δὲ τῶν πυρετῶν λουστέον παραιτουμένους τήν τε εἰς τὸ ψυχρὸν ἔμβασιν καὶ οἴνου πόσιν. Εἰ δὲ πεπαυμένων τρομώδεις εἶεν, ἀλειφέσθωσάν τε καὶ εἰς ὑδρέλαιον ἐμβιβαζέσθωσαν, μυρακόποις τε κεχρήσθωσαν καὶ δρωπακιζέσθωσαν τόν τε νῶτον καὶ τὴν ῥάχιν. Ἐπιρριπτέσθω δὲ αὐτοῖς καὶ μάλαγμα· πάντων δὲ ἄριστον τὸ πολυάρχειον ἐξανειμένον κυπρίνῃ κηρωτῇ· καθόλου δὲ προνοητέον εὐσαρκίας· ταύτῃ γὰρ συναποκαθίσταται καὶ ἡ τῶν νεύρων ἀτονία. Πάντων δὲ μᾶλλον εὐλαβητέον ἐπὶ αὐτῶν ψύξιν καὶ ἀπεψίαν. — Πρὸς τρόμους τοὺς ἄνευ πυρετοῦ.] Πηγάνου κλωνίων, σφονδυλίου ὅσον τοῖς τρισὶ δακτύλοις λαβεῖν, καστορίου καὶ νίτρου ὀβολοὺς β'. Δίδου κατὰ ἡμέραν κοχλιάριον α' μετὰ ὀξυμέλιτος ἐπὶ ἡμέρας γ' νήστει.—Ἄλλο.] Πάνακος καὶ πεπέρεως κόκκους ε'· λεῖα πότιζε ἐν κυάθῳ α' μελικράτου. Τρέμοντας πότιζε καστόριον, ἀλθαίας ῥίζης ἀφέψημα, δαμασωνίου φύλλων ∠δ' ἐν μελικράτῳ, εὐπατόριον μετὰ ὕδατος ποτιζόμενον, λαγωοῦ ἐγκέφαλος ἐσθιόμενος. — Σύγχρισμα Ζωσίμου περιβόητον.] Πιτυΐνης Γο ι', κηροῦ Γο δ', ἐλαίου παλαιοῦ ϗ α', ὀποπάνακος Γο β', ἀδάρκης Γο α', εὐφορβίου, νίτρου, ἀφρονίτρου ἀνὰ Γο α', ἁλῶν Γο δ'. Τὸ ἀφρόνιτρον, εὐφόρβιον καὶ τὴν ἀδάρκην λεῖον σὺν οἴνῳ, εἶτα ἐπίβαλλε ὀποπάνακα καὶ λειοτρίβει, χωρὶς δὲ τὰ τηκτὰ μετὰ ἀγχούσης τῆξον ἵνα χρωσθῇ, καὶ ψύξας ἀναξύσας ἀναλάμβανε. Ποιεῖ ἰσχιαδικοῖς, ἄρθρα ἀλγοῦσι χρονίως, πλευρὰς ἐψυγμένοις, ὠμαλγίαις. — Μετασυγκριτικὸν τὸ πεντάμυρον.] Νάρδου μύρου ϗ γ' ἢ ξ β', κηροῦ, στύρακος, μαστίχης χίας ἀνὰ Γο γ', ὀποβαλσάμου ϗ α'. Ὁ στύραξ βρέχεται ἐν τῇ νάρδῳ ἡμερῶν γ' καὶ διπλώματι ταχεὶς ῥίπτεται, καὶ τότε ὁ κηρὸς τήκεται μέρει τῆς νάρδου· ἡ δὲ μαστίχη λεαίνεται σὺν ὀλίγῃ νάρδῳ, ἐπὶ τέλει ὀποβάλσαμος.

οα'. Πρὸς παντὸς ψύχους ἀπαλλαγήν.

Λαβὼν χαμαίδρυν βοτάνην μάσησαι κατάπινων, καὶ παραχρῆμα ἀπαλλάσσῃ. Τούτου μεῖζον ἀπαλλακτικώτερον οὐκ ἔστιν.

οβ'. Περὶ σπασμῶν.

Σπασμοὶ ἐπὶ τῶν πυρεσσόντων εἰ συμβαίνοιεν καὶ κατὰ ὅλον τὸ σῶμα, ἐμφερῶς τοῖς τετανικοῖς θεραπεύσομεν· εἰ δὲ κατὰ μέρος, τὸ μὲν πρῶτον διακρατοῦντες τὰ

19. κυάθῳ Paul.; κόκκῳ X.

συνελκόμενα τῶν μερῶν πειθηνίως ταῖς γινομέναις ὑπὸ αὐτῶν πληγαῖς ἀντιβαίνοντες, ἀνατριπτέον τε ἐλαίῳ πηγανίνῳ, ἢ σικυωνίῳ, ἢ παλαιῷ, ἢ διὰ καστορίου, σικύας τε προσβάλλειν μετὰ κατασχασμοῦ, σκελῶν μὲν συνελκομένων ἰσχίοις καὶ τῷ ὑστάτῳ σπονδύλῳ· χειρῶν δὲ σπωμένων, νώτῳ τε καὶ τῷ πρώτῳ αὐτοῦ σπονδύλῳ τῷ τε ὑπερκειμένῳ τοῦ ὤμου ἄρθρῳ. Εἰ μέντοι ὅλου τοῦ σώματος ἀπαθοῦς ὄντος συνέλκοιτο χεῖλος ἢ βλέφαρον ἢ γλῶττα, χαλεπὸν ἡγητέον τὸ σύμπτωμα καὶ μεγάλων φόβων οἰστικόν, εἰ καὶ μικρὰ τὰ πεπονθότα μέρη εἶναι δοκεῖ. Τὰς ἀφαιρέσεις οὖν ἀπὸ τοῦ ἰνίου ἐπὶ τούτων ποιητέον καὶ τῶν πρώτων σπονδύλων.

ογʹ. Περὶ τετάνου.

Τετανικῶς σπωμένους ἐν ἀρχῇ φλεβοτομητέον, ἐρίοις τε σκεπαστέον τὰ μέρη ἐλαιοβραχέσι διά τε σικυωνίου ἐλαίου καὶ καστορίου· σικυαστέον δὲ μετὰ ἀμυχῶν· αἱ γὰρ κοῦφαι καὶ βλάπτουσιν. Σικυαζέσθω δὲ αὐχὴν καὶ ῥάχεως τὰ ἑκατέρωθεν καὶ στήθους τὰ μυωδέστερα καὶ ὑποχόνδρια, ὅ τε τῆς κύστεως τόπος καὶ ὁ τῶν νεφρῶν. Φειστέον δὲ τῆς ἀφαιρέσεως οὐκ ἀθρόως ἀφαιροῦντας, ἀλλὰ μεμερισμένως· τοὺς δὲ ἱδρῶτας ἐλαιοβραχέσιν ἐρίοις ἀναρπάζειν μὴ λάθωσι ψύξαντες. Εἰ δὲ χρονίσειεν ὁ τέτανος, εἰς ἔλαιον ἐμβιβάζειν δὶς τῆς ἡμέρας μὴ ἐμβραδύναντας εἰς αὐτό· ἐκλυτικωτάτη γὰρ τῶν δυνάμεων ἡ εἰς ἔλαιον ἔμβασις· ἐν ἀσκίοις τε ἢ κύστεσι διὰ ἐλαίου πυριᾷν. Ποτιστέον δὲ ὑδρομέλιτι λιπαρῷ εἰς ἥμισυ ἑψηθέντι, πάνακος δὲ ὀποῦ τοὺς εὐτόνους ποτιστέον τετρώβολον· εἰ δὲ μή γε, τὸ ἐλάχιστον ὀβολόν. Πείθοιτο δὲ ἄν τις αὐτοῦ τὸ κακοστόμαχον. Δοτέον καὶ ἀμμωνιακὸν θυμίαμα, ἢ ὀποῦ κυρηναϊκοῦ ὀροβιαῖον μέγεθος, περιπλασθὲν δὲ ἀπέφθῳ μέλιτι καταπινέτω. Σιλφίου τε ῥίζης κοχλιάρια βʹ ἐμπασθέντα μελικράτῳ κυάθους τρεῖς δίδοται, ἢ ὑσσώπου ἀφέψημα· πάντων δὲ διαπληκτικώτατον καὶ ἀνυσιμώτατόν ἐστι καστόριον· διδόναι δὲ αὐτοῦ κοχλιάρια βʹ ἢ τρία μερίσαντα αὐτοῦ τὸ πλῆθος· οὐ λυπήσει γάρ, οὐδὲ εἰ μετὰ τροφὴν αὐτοῦ δοίης. Καὶ τὰ λοιπὰ δὲ καὶ αὐτὸ τὸ ποτὸν σχολῇ κατὰ ὀλίγον λαμβανέτωσαν· δυσκαταποτοῦντες γὰρ εἰς τὰς ῥῖνας ἀνακάμπτουσι τὸ ποτόν, ὅθεν ἰσχυρῶς σπαραττόμενοι ἐρεθίζονται σπᾶσθαι. Διαχριέσθωσαν δὲ τὴν ἕδραν πηγανίνῳ ἐλαίῳ μετὰ ὀποπάνακος, ἐνιέσθωσάν τε τῇ ἕδρᾳ τοῖς αὐτοῖς. — Σύγχρισμα ποιοῦν πρὸς τετανικούς.] Νάρδου ℥ αʹ, κηροῦ Γο βʹ, φύλλου, ἀμώμου, στύρακος, μαστίχης χίας ἀνὰ Γο αʹ, καστορίου ∠δʹ, ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ Γο δʹ, νάρδου στάχυος Γο αʹ, ὀποβαλσάμου Γο αʹ· χρῶ. — Πόμα ὀπισθοτονικοῖς καὶ ψυαδικοῖς.] Πάνακος ῥίζης, πεπέρεως λευκοῦ, κόστου, σμύρνης, ὀπίου ἴσα δίδου ἀράκου τὸ μέγεθος εἰς κοίτην. Ποιεῖ καὶ ὀρθοπνοϊκοῖς.

οδʹ. Περὶ παραλύσεως.

Τὴν παράλυσιν τινες τῶν ἀρχαίων ἀποπληξίαν ἐκάλουν· Ἱπποκράτης γάρ πού φησιν ἀπόπληκτον αὐτῷ τὸ σκέλος ἐγένετο ἀντὶ τοῦ πάρετον. Ἡ μὲν οὖν ἀπὸ διαιρέσεως

2. σικ. ἢ παλ. Paul.; σικ. παλ. X Aët. — Ch. 73, l. 21. ἀπληκτότατον Aët., Paul. — Ch. 74, l. 33. ἀπόπληκτον Aët., Paul.; ἀπὸ πληκτικόν X.

νεύρου γινομένη πάρεσις ἀνίατος ὑπάρχει, ἡ δὲ ἀπὸ δυσκρασίας ἐπιτελουμένη ἄριστα βοηθεῖται ὑπὸ φλεβοτομίας, εἴ γε ἐπιτρέποι ἡλικία, ἕξις, ὥρα, ἔθος καὶ τὰ λοιπά. Σύμμετρος δὲ ἔστω ἡ ἀφαίρεσις ὡς μὴ ἐπιταθῇ τὸ σύμπτωμα· ψύξις γὰρ μετὰ ξηρότητος τὴν πάρεσιν ἀπεργάζεται. Καὶ ἐκ τῶν ἀντικειμένων ἀφαιρείσθω, ἐμβροχαί τε εὐθέως διά τε πηγανίνου ἐλαίου, ἢ σικυωνίου, ἢ παλαιοῦ, τροφαὶ σιτώδεις ῥοφηματώδεις, κλυστῆρες, σικύαι τε κολλάσθωσαν ἐν τοῖς παρεθεῖσι μέρεσιν, εἰ μὲν πολλὰ εἴη, μεμερισμένως· εἰ δὲ ὀλίγα, ὑπὸ ἕν. Καταπλάσσειν τε μετὰ τὰς σικύας καταπλάσμασιν ἔχουσι πίσσαν, ῥητίνην, μάννην· κάλλιστα δὲ ποιεῖ ἀρτεμισία συνεψομένη καὶ καλαμίνθη καὶ πήγανον καὶ κόνυζα, ὕστερον δὲ καὶ νίτρον. Ὕδωρ δὲ ὀλίγον μεμίχθω ὃ καὶ αὐτὸ ἐν τῇ ἑψήσει ἀναλισκέσθω. Λαγαρὰ δὲ ἔστω τὰ καταπλάσματα ὡς μὴ ἐρεθίσαι ἱδρῶτας· μετὰ δὲ ταῦτα βέλτιον ἀντὶ ὠμῆς λύσεως τὸ ἔριον. Ταχέως δὲ μεταβαίνειν ἐπί τε κηρώματα καὶ μαλάγματα, ἥ τε κοιλία ὑπαγέσθω διά τε ἀλόης καὶ πολυποδίου, ἢ σκαμμωνίας, ἢ τῷ διὰ κολοκυνθίδος πόλτῳ. Σύγχριστα δὲ λιπάσματα τοιαῦτα. Ἐλαίῳ παλαιῷ σκίλλαν ἐνταρίχευε ἐπὶ ἡμέρας μʹ ἐν ἡλίῳ· εἰ δὲ μὴ παρείη τοιοῦτον ἔλαιον, ἕψειν ἐνὶ ξέστῃ ἐλαίου δύο Γο τῆς σκίλλης. Κάχρυ ὁμοίως σκευάσαντα μικτέον καὶ κηροῦ Γο αʹ ὑπὲρ τοῦ μὴ διαῤῥεῖν. Εἰ δὲ καὶ χαλβάνης προσλάβοι Γο αʹ, βέλτιον ἀποτελεῖται. Φαρμακωδέστερον δὲ ἄκοπον ἔσται εἰ προσβληθείη καστορίου Γο αʹ καὶ εὐφορβίου ∠δʹ καὶ ἀδάρκης ∠δʹ καὶ νίτρου ἴσον. Φαίνεται δὲ ὡς ἀπὸ πρᾳοτέρων ἀρχόμενοι πρὸς ὀλίγον ἐπιτείνομεν τὰ συγχρίσματα. Εὐθετεῖ δὲ ἄκρως καὶ ἡ βατράχιος βοτάνη ἐνεψομένη τῷ ἐλαίῳ ἢ ἐν ἡλίῳ ταριχευομένη· ἤδη δὲ καὶ πέπερι καὶ πύρεθρον καὶ δαφνίδες καὶ νίτρον καὶ νᾶπυ εἰ κατὰ ὀλίγον συμμιγνύοιντο ταῖς διὰ τῶν προειρημένων σκευαζομέναις κηρωταῖς. Μαλάγματά τε ἁρμόζει τό τε διὰ δαφνίδων καὶ τὸ χλωρόν· πολλάκις δὲ κηρωτὴ κυπρίνη ἀναλαβοῦσα νᾶπυ δαψιλὲς ἤρκεσε τὴν τοῦ μαλάγματος ἐκπληρῶσαι χρείαν. Σμήγματα διὰ νίτρου καὶ τρυγὸς κεκαυμένης, ἀγρίου τε σικύου ῥίζης καὶ εὐφορβίου, ἀδάρκης καὶ ἀσβέστου καὶ λιβανωτοῦ εὔθετα· πολυωφελέστατοι δὲ οἱ δρώπακες ἐπὶ τῶν παραλυτικῶν ἐσκευασμένοι διὰ πίσσης, μάννης, τερεβινθίνης, ἀδάρκης, θαψίας, εὐφορβίου. Πότημα καστορίου ∠αʹ, ὀποπάνακος κυάμου μέγεθος καταπινόμενον. Θαυμαστῶς δὲ ποιεῖ καὶ τὸ σαγαπηνόν· ἔστω δὲ αὐτοῦ ὀροβιαῖον τὸ μέγεθος, ἤτοι καταπινόμενον, ἢ μελικράτῳ ἀνιέμενον καὶ πινόμενον. Καὶ ὀποῦ δὲ κυρηναϊκοῦ μέγεθος κέγχρου καλῶς ἐνεργεῖ, ἥ τε διὰ δύο πεπέρεων ἀντίδοτος. — Περὶ κυνικοῦ σπασμοῦ.] Ἐπὶ τῶν κυνικῶς σπωμένων κοινῶς μὲν εὐθετεῖ βοηθήματα τὰ προγεγραμμένα ἅπαντα· καὶ γὰρ φλεβοτομία, εἰ μηδὲν κωλύοι, καὶ κλυστὴρ καὶ καταπλάσματα καὶ κηρωταὶ καὶ μαλάγματα καὶ δρώπακες καὶ σιναπισμοὶ καὶ κατάχρισις θαψίας· ἰδίως δὲ ἐπίδεσις ἡ εἰς τὰ ἀντικείμενα παράγουσα καὶ ἀφαίρεσις αἵματος ἀπὸ ἀγγείων τῶν ὑπὸ τὴν γλῶσσαν τεταγμένων καὶ σικύαι κατὰ τοῦ πρώτου σπονδύλου τιθέμεναι καὶ ἀποφλεγματισμοὶ καὶ διὰ ῥινεγχύτου κάθαρσις καὶ κατὰ τοὺς ὀφθαλμοὺς ἐπιχριστὰ δριμέα· ὕστερον δὲ καὶ ἐγχρίσματα. — Περὶ καταπόσεως παρεθείσης.] Εἰ δὲ ἡ κατάποσις παρεθείη, τουτέστιν ἡ ἐνθετικὴ τῶν σιτίων προθυμία· στόμαχος γὰρ παρε-

10. *ἀναλισκέσθω* Aët., Paul.; *ἀναλυέσθω* X. — 11-12. *ἐπί τε κηρώματα* ex em.; *ἐπιται θρώματα* X. Conf. Aët. — 13. *Σύγχριστα δὲ λιπάσματα* ex em.; *Συγχρίσματα λιπ.* X. Voy. Paul. — 30. *δύο*] *τριῶν* Paul. — 36. *καθάρσεις* Paul.

θεὶς ὄλεθρον ἐπιφέρει· παραληπτέον τὰ καθόλου ἐπὶ πάσης παρέσεως δοκιμασθέντα· ἰδίως δὲ σικύαι ὑπὸ τὸν ἀνθερεῶνα τιθέμεναι καὶ διάχριστοι δριμεῖαι διά τε καστορίου καὶ σαγαπηνοῦ καὶ ὀποῦ παρθικοῦ. Ὠφελεῖ δὲ μάλιστα ἀνακογχυλισμὸς διὰ νάπυος καὶ διαμάσησις φλέγμα ἀνάγουσα, οἷον πεπέρεως σὺν σταφίδι ἀγρίᾳ μετὰ μαστίχης. — Πρὸς γλῶσσαν παρεθεῖσαν.] Εἰ δὲ γλῶσσα παρεθείη, τὰς ὑπὸ αὐτῆς φλέβας τέμνειν καὶ προκενωθέντων κλυστῆρι ἢ φλεβοτομίᾳ σικυάζειν τὸν ὑπὸ τὸν ἀνθερεῶνα τόπον, καὶ ἀποφλεγματισμοῖς τοῖς προειρημένοις χρῆσθαι καὶ διακλύσμασι τοῖς διὰ νάπυος καὶ γυμνασίοις τῆς γλώσσης. — Περὶ παρέσεως τῶν φωνητικῶν ὀργάνων.] Εἰ δὲ τὰ φωνητικὰ παρεθείη μέρη, τῷ θώρακι προσφέρειν τὰ βοηθήματα· ἰδίως δὲ πνεύματος κατοχὴν καὶ ἀναφώνησιν ἐμμελῆ. Ὀφρύος δὲ ἢ βλεφάρου παρεθέντος, θεράπευε συγχρίσμασιν ὁμοίως· ἐπὶ τέλει δὲ καὶ ἀναῤῥαφῇ. — Πρὸς κύστιν παρεθεῖσαν.] Ἡ δὲ τῆς κύστεως πάρεσις, εἴτε κατέχοι τὰ οὖρα, εἴτε καὶ ἀπροαιρέτως ἐκκρίνοιτο, μεθοδευέσθω ὁμοιοτρόπως τῶν τε ἐμβροχῶν καὶ καταπλασμάτων, ἔτι δὲ καὶ δρωπάκων καὶ σιναπισμῶν κατά τε τοῦ ἤτρου καὶ τοῦ περινέου ἐπιτιθεμένων· ἰδίως δὲ ἐνέματα τῷ δακτυλίῳ ἐνιέσθω ἀνακαλέσαντα τὴν τῆς κύστεως ἐνέργειαν, κατὰ ἀρχὰς μὲν ἔλαιον πηγάνινον ἢ σικυώνιον μετὰ βουτύρου συνηψημένου καὶ κυμίνου, ἢ ἀνήθου, μεμιγμένου τε καστορίου. Εὐτονώτερον δὲ καθάπτεται ἐνιέμενα κενταυρίου ἀφέψημα ἢ κολοκυνθίδος, νῦν μὲν ὕδατι, νῦν δὲ χυλῷ πτισάνης συνεψομένων τούτων· ἄριστα δὲ ποιεῖ καὶ ὀριγάνου ἀφέψημα, ἢ θύμου, ἢ χυλὸς ἀναγαλλίδος. Πᾶσι δὲ τούτοις τό τε σικυώνιον, ἢ παλαιότατον ἔλαιον παραμικτέον καὶ καστόριον· ἐνίοτε δὲ καὶ ὀποπάνακος, ἢ χαλβάνης ∠δ΄· ἔστιν ὅτε δὲ καὶ σίλφιον ἀφεψηθὲν ὕδατι. Ἐπὶ μέντοι τῶν κατεχόντων καθετηρισμῷ χρησόμεθα καὶ μετὰ τὴν τοῦ οὔρου ἀποκένωσιν ἔτι ἐγκειμένῳ τῷ καθετῆρι προσδεῖται κύστις, ἢ ἀσκίον μεστὸν ἐλαίου τινὸς τῶν προειρημένων ἐνεμάτων· ἐνίοτε δὲ καὶ πλείστη ἀπαντᾷ ὠφέλεια. Τὰ δὲ διουρητικὰ συμμέτρως προσακτέον· ἔστι δὲ νάρδος, σχοῖνος, σίον, μάραθον, σκίλλινον ὄξος ἢ οἶνος. — Πρὸς καυλοῦ πάρεσιν.] Εἰ δὲ καυλὸς παρεθείη, τὰ μὲν οὖρα οὐκ ἐμποδίζεται, ἡ συνουσία δὲ καὶ ἡ τοῦ σπέρματος πρόεσις. Χρηστέον δὲ οἷς καὶ ἐπὶ κύστεως καὶ κατὰ τῶν αὐτῶν τόπων· νῦν δὲ καὶ κατὰ τῶν ἰσχίων· διδόναι δὲ ἐσθίειν τὰ τὴν ἔντασιν ἐρεθίζοντα· ἔστι δὲ βρώματα πολύπους, ἐχῖνος, καὶ ἐν πτηνοῖς ψάρος, ἐλάφου κρέα. Φασὶ δὲ περιαπτόμενον τὸ αἰδοῖον τὸ ἐλάφειον τὸ αὐτὸ δρᾷν· ἤδη δὲ εὔζωμα, βολβοὶ, κοχλίαι, καστόριον ποτιζόμενον. Ἄθετα δὲ ὑποληπτέον γάλα, τυρὸν, τά τε λοιπὰ πέμματα, θριδακίνας τε καὶ τὰ λοιπὰ λάχανα τὰ ψύχοντα. — Πρὸς ἀπευθυσμένου πάρεσιν.] Ἀπευθυσμένου δὲ παρεθέντος, ἢ ἐπέχεται ἡ ἔκκρισις, ἢ ἀλόγως ἀποκρίνεται τὸ σκύβαλον καὶ ἀπροαιρέτως· ἐμφερῶς δὲ τῇ κύστει θεραπεύεται τῶν αὐτῶν βοηθημάτων προσφερομένων τοῖς ἰσχίοις, οἷον σικυῶν, καταπλασμάτων, δρωπάκων, μαλαγμάτων, σιναπισμῶν· πλεῖστον δὲ ἰσχύει τὰ διὰ κλυστῆρος προσαγόμενα· ποικίλως μέντοι ἐνίεται, ποτὲ μὲν τὰ στύφοντα, ποτὲ δὲ τὰ χαλῶντα, καὶ ἄλλοτε τὰ δάκνοντα καὶ ἀμύσσοντα· οὐδὲν γὰρ οὕτω συλλαμβάνει ταῖς τῶν κινήσεων ἀναλήψεσιν ὡς ἡ ποικίλη καὶ οὐ μονοειδὴς μόχλευσις. Στυφέσθω οὖν ἀφεψήματι κυπαρίσσου, σχίνου, βάτου· λιπαινέσθω δὲ καὶ χαλάσθω

31. τὰ δὲ λοιπά X.

ὑείῳ στέατι καὶ χηνείῳ καὶ μαλαχίνῳ ἐλαίῳ· ἀμυσσέσθω δὲ ἅλμης ἐνιεμένης ἢ κολοκυνθίδος ἀφεψήματος, ἢ κενταυρίου, ἢ κονύζης, ἢ σιλφίου, ἢ τριφύλλου τῆς ἀσφαλτιζούσης, ἢ γεντιανῆς ἐμπασσομένης τῷ ἐνέματι. Εἰ δὲ ἀντίληψις εἴη ψύξεως, καὶ τοῦ διὰ εὐφορβίου ἀκόπου ἐλαίῳ ἀνεθέντος ἐνιέσθω. — Περὶ κώλων παρεθέντων.] Τὰ δὲ κῶλα παρεθέντα μετὰ τῆς κοινῆς ἐπιμελείας καμπτέσθω καὶ ἐκτεινέσθω καὶ τριβέσθω· τὸ γὰρ πλεῖστον τῆς ἐλπίδος ἡ τρίψις διορθοῖ· γεγενήσθω δὲ ἄλλη ἐπὶ ἄλλων· οὐ γὰρ λανθάνει ὅτι ἡ μὲν ἀνειμένη λύει τάσιν, ἡ δὲ ἐπιτεταμένη συστρέφει καὶ συνάγει τὰ πλαδαρὰ καὶ ἔκλυτα, ἡ σύμμετρος σαρκοῖ, ἡ πολλὴ ἐλαττοῖ καὶ ἄτροφα ἐργάζεται. Ἄλλην οὖν ἐπὶ ἄλλης δοκιμαστέον περιστάσεως· ὡς ἐπίπαν μέντοι ἡ εἰς εὐτροφίαν ἄγουσα τὰ μέρη ἀνακαλεῖται τὰς ἐνεργείας· ἐπὶ μέντοι τῆς κατὰ ἐπέκτασιν προσακτέον καταπλάσματα καὶ μαλάγματα στύφοντα.—Δίαιτα κοινὴ πάσης παρέσεως.] Ἡ δὲ δίαιτα τοιαύτη ἔστω· μετὰ τοὺς ὕπνους ἀποθέμενοι τὴν ἐκ τοῦ κοιμᾶσθαι νωχέλειαν ἀποδιδόντες τὰ κατὰ κοιλίαν ἠρέμα διακινείτωσαν, ἤτοι διὰ ἑαυτῶν, ἤτοι διὰ ἑτέρων ἐπαιρόντων αὐτοῖς παράλληλα τὰ σκέλη, εἶτα ἀναφωνείτωσαν, ἡνίκα τὰ φωνητικὰ εἴη παρειμένα. Μετὰ δὲ τὴν ἀναφώνησιν μικρὸν ἀπηρεμείτωσαν, εἰ κοπωθεῖεν, μὴ καθεύδοντες· δίχα γὰρ τούτου ἐπιβλαβεῖς εἰσι πάντες οἱ ἐν ἡμέρᾳ ὕπνοι, καὶ μάλιστα οἱ μετὰ τροφήν. Ἀπηρεμήσαντες δὲ γυμναζέσθωσαν, καὶ ἀποθεραπευθέντες, ἤ ποτε καὶ λουσάμενοι, ἀριστάτωσαν κοῦφόν τι, οἷον πτισάνην ἐκ μελικράτου, ἢ χόνδρον, ἐνίοτε δὲ σῦκον ἢ σταφυλὴν σὺν ἄρτῳ. Πειρατέον μέντοι ξηροφαγεῖν τὸ πλέον τοῦ ἐπὶ ἀρίστῳ ἄρτου, ἔνθεν οὐδὲ προπόματι χρηστέον, ἢ παντελῶς ὀλίγῳ δίψους ἐγκειμένου ὕδατι. Μετὰ δὲ τὸ ἄριστον εἰς Ѳυμηδίαν παραδιδόσθωσαν, ἢ καὶ βιωτικαῖς χρείαις προσερχέσθωσαν· μέλλοντας δὲ δειπνεῖν προσυγχρίειν, διακινεῖν τε τὰ παρειμένα πρῴως. Ἔστω δὲ τὸ δεῖπνον τοσοῦτον ὅσον [ἂν] ῥᾳδίως πέψωσιν. Διδόσθω οὖν πτισάνη κατὰ αὐτήν, ἢ σὺν κυάμῳ, ἢ φακῇ· λαχάνων κράμβη καὶ ὁ ἐξ αὐτῆς ἀσπάραγος, κρεῶν τὰ Ѳαλάσσια, καὶ τούτων τὰ ἄβρωμα καὶ συνεστραμμένην ἔχοντα τὴν σάρκα, συῶν τὰ ἄκρα, πέρδικάς τε καὶ φάσσας καὶ περιστεράς, λαγωούς τε καὶ λεβηρίδας. Ποτὸν δὲ μὴ ἐμπλεκέσθω τῇ τροφῇ, ἀλλὰ ἢ πρότερον ἀποθεραπευέσθω τὸ δίψος, ἢ ἐπὶ τροφῇ ληπτέον. Ἀφεκτέον δὲ οἰνομέλιτος καὶ ὀπώρας· διὰ γὰρ τὴν κουφότητα ἐπιπολάζουσα τρέπεται καὶ ὀξίζει. Τραγημάτων δὲ συγχωρητέον φοίνικας καὶ ἀμύγδαλα. Οἶνος ἁρμόζει μήτε νέος ὤν, διὰ τὸ φυσῶδες, μήτε ἄγαν παλαιός· ἔστω δὲ σαβῖνος, ἢ ἀλβανός, ἢ τιβουρτῖνος, ἢ χῖος, ἢ λέσβιος. Μετὰ μέντοι δεῖπνον μήτε αὐτόθεν καθευδέτωσαν διὰ τὸ τὸν ἐπὶ ποσῷ ὑποβιβασμὸν ἀναγκαῖον εἶναι εἰς πέψιν, μήτε πολὺν χρόνον γρηγορήσαντες ἀγρυπνίας ἐπακολουθούσης διὰ τὸ τοὺς παχυμερεστέρους ἀπὸ τῆς τροφῆς ἀτμοὺς ἤδη διαπεπνευκέναι. Καθόλου δὲ φυλακτέον διαφθορὰν τροφῆς,

3. ἀντίληψις Paul.; ἀντιλήψεσιν X. — 4. ἀνεθέντος Paul.; ἀνεθέντι X. — 6. διορθοῖ· γεγενήσθω δέ conj.; διορθοῦται γένηταί τε X; ἐστιν Paul. — 12. νωχέλειαν conj.; ὠφέλειαν X, Littré. — 13. ἀποδιδόντες Littré; ἀποδίδοντας X.— Ib. ἑτέρων Littré; εταίρων X. — 14. τὰ φωνητικά ex em.; τὰ ἀνὰφωνητικᾶ X; ἀναφωνητικά Littré. — 15. εἰ κοποθεῖεν X; εἰ μὴ ποθεῖεν Littré.; μή est entre les deux colonnes et semble appartenir à la ligne 25. — 20. ὀλίγον X. — 23. [ἂν] om. X. — 25. συνεστραμμένην] entre les deux colonnes. μή; conf. l. 15.

ψύξιν, ἔγκαυσιν, ἀργίαν, κόπον, συνουσίαν, πολυοινίαν. — Σύγχρισμα παραλυτικοῖς ἁρμόζον ἐν ἀρχαῖς.] Γλευκίνου, ἰρίνου, κυπρίνου, δαφνίνου ἀνὰ λ α', κηροῦ Γο δ', τερεβινθίνης, ὑσσώπου ἀνὰ Γο β', καστορίου Γο α', εὐφορβίου ∠δ'. Χριέσθω διὰ τούτου μετὰ τῶν πεπονθότων καὶ τὰ ἀπαθῆ μέρη. — Ἄκοπον τὸ δυσῶδες.] Ἐλαίου παλαιοῦ ξ α', τερεβινθίνης ∠ν', κηροῦ ∠λ', ἀμμωνιακοῦ θυμιάματος ∠ιϛ', ὀποπάνακος Γο α', μέλιτος Γο ϛ'. — Χλωρὸν ἄκοπον ᾧ οἱ περὶ τὸν Ἀρχιγένην καὶ Ἡρόδοτον ἐχρῶντο.] Κηροῦ λ α'ς", ἐλαίου παλαιοῦ λ α'ς", χαλβάνης, ὀποπάνακος, λιβανωτοῦ ἀνὰ Γο α' ἢ ἀνὰ Γο δ', ἀμμωνιακοῦ θυμιάματος, ἰοῦ ξυστοῦ ἀνὰ Γο γ', κυπρίνου καὶ μηλίνου ἀνὰ Γο γ', ὄξους τὸ ἀρκοῦν. Ὁ ὀποπάναξ ὄξει λειαίνεται σὺν τῷ ἰῷ καὶ λιβανωτῷ καὶ ἀφρονίτρῳ, ὁ δὲ κηρὸς μετὰ τῆς τερεβινθίνης καὶ χαλβάνης καὶ τοῦ ἐλαίου τήκεται· τὸ δὲ ἀμμωνιακὸν οἱ μὲν σὺν τῷ ὄξει λεαίνουσιν, οἱ δὲ σὺν τῷ κηρῷ τήκουσιν. Μετὰ δὲ τὸ πάντα τετηκέναι προσεμβάλλεται τὸ μήλινον καὶ τὸ κύπρινον καὶ διηθούμενα καταχεῖται ἐν τῇ θυίᾳ καὶ ἐκλεαίνεται ἐπιμελῶς ἄχρις ἑνωθῇ. Ἐπὶ δὲ σκληροτέρων, εἰ κατὰ ἀκόπου σύστασιν γίνεται, βέλτιόν φησι τοῦ μὲν κηροῦ ὑφαιρεῖν ἡμίλιτρον, τοῦ δὲ ἐλαίου προσθεῖναι ἡμίλιτρον, ἢ καὶ τῆς ἐπάνω συστάσεως μενούσης προσβάλλειν γλευκίνου λ α'. Σπουδαῖόν δέ ἐστι φάρμακον οὐ μόνον τοῖς παραλελυμένοις, ἀλλὰ καὶ ἰσχιαδικοῖς καὶ τοῖς τὴν ψυχρὰν λεγομένην ποδάγραν ἔχουσι, κάλλιστον καὶ ἑτεροκρανίαις ταῖς χωρὶς πυρετοῦ· ἐπεὶ μέντοι ἡμάρτηται ἡ γραφὴ μὴ ἔχουσα τερεβινθίνης, ἐστοχασάμην βάλλειν Γο ι'. Ἐν δὲ τῷ Ἡρᾶ τόμῳ τερεβινθίνης λ α'ς" λαμβάνει ᾧ γίνεται μετασυγκριτικὸν καὶ λέγεται. Τούτῳ οὖν τῷ ἀκόπῳ οὐ δεῖ περὶ τὰς πρώτας ἡμέρας χρῆσθαι, ἀλλὰ ἤδη τῆς παρέσεως πρὸς χρονιότητα ῥεπούσης καὶ τὴν μετασύγκρισιν καλουμένην. — Περὶ φοινιγμῶν.] Οἱ δὲ φοινιγμοὶ παραλαμβανέσθωσαν καὶ αὐτοὶ ἤδη χρονιζούσης τῆς διαθέσεως, καὶ μάλιστα εἰ τὰ τῆς ἁπτικῆς αἰσθήσεως ἐπιλείποι, μήτε δὲ εὐθὺς ἀπότομοι, μήτε λίαν ἔκλυτοι. Πρῶτον μὲν οὖν ψιλώθρῳ χριστέον τὰ ἐπίσημα μέρη καὶ μετὰ ὥραν μίαν ἀποσπογγιστέον καὶ πυριατέον, εἰ μὲν εἴη πρόχειρα τὰ μέρη, καθάπερ χεῖρες, σκέλη, διὰ καταντλήσεως, εἶτα οὕτω διὰ τῆς τῶν ἐκτεθλιμμένων σπόγγων ἀτμίδος. Μετὰ δέ τινας ἡμέρας κνίδαις τὰ αὐτὰ διαρραπιστέον ἢ νάρθηξιν ἐσχισμένοις τύπτοντας κατὰ τοῦ πλάτους, ἔπειτα μετὰ ἄλλο διάστημα θαψίᾳ χρηστέον ὡς ἐπὶ τῶν ἰσχιαδικῶν ὑπεδείχθη. Παραπλήσιον δὲ δύναται καὶ σκίλλα, διχῇ δὲ κατατμηθείσης αὐτῆς ἐπὶ ἱκανὸν παρατρίβεται τοῖς πεπονθόσι τόποις ἄχρι τοῦ κνησμὸν πολὺν καὶ δυσανάσχετον ἐγεῖραι, ὃν ἀποθεραπεύει προσεπιτείνασα ποσῶς πυρία τε ἡ διὰ σπόγγων καὶ κατάντλησις καὶ ἀπολίτρωσις, ἐπάλειψίς τε ἐλαίου θερμοῦ. Καλῶς δὲ φοινίσσει τὰ πεπονθότα μέρη καὶ ῥίζα κρίνου λελειοτριβημένη χριομένη τε καὶ εὐτόνως ψηχομένη. * Κνησμὸν μὲν οὐκ εἴωθε παρέχειν, θερμαίνειν τε τοὺς τόπους ἐπαλγῶς καὶ τὴν αἴσθησιν ἑλκώδη ποιεῖν, καταστολῇ δὲ τῆς ὀδύνης αὐτῆς οἷον πυρία τε καὶ καταιόνησις διὰ ἐλαίου θερμοῦ ἐπίχυσις. Παραληπτέον δὲ καὶ σικύας εἰς φοινιγμοῦ λόγον δίχα κατασχασμοῦ· στενόστομοι δὲ ἔστωσαν καὶ σὺν φλογὶ

3. διά conj.; δέ X. — 14. τοῦ post ἡμίλ. ex em.; τό X. — 15. μενούσης ex em.; μιᾶς μὲν οὔσης X. — 20. Τουτο X; marg. αρχ lis. s. d. Ἀρχιγένους. — 24-25. χριστέον ex em. Littré; χρηστέον X. — 26. εἶτα] εἰ μή, Littré.

πολλῇ προσβαλλόμεναι. Μεθελκέσθωσαν δὲ βιαίως ἄνω τε καὶ κάτω μέχρι τοῦ τὴν αἴσθησιν ἐκ βάθους ἀνακαλέσασθαι καί τινα ὕλην ἐπάγεσθαι. Κατάπλασμά τε θερμὸν εὐθὺς ἐπιῤῥίπτειν ἐξ ἀλεύρου ἰρίνου καὶ κριθίνου διὰ μέλιτος, ῥητίνης τε πιτυΐνης καὶ νίτρου, ἢ ἀντὶ τοῦ καταπλάσματος μαρσίποις χρηστέον πεφρυγμένων ἀλῶν. Δρωπακισμοί τε οἱ διὰ ἀσφάλτου, θείου καὶ νίτρου, διαδεχέσθω δὲ αὐτοὺς ἐκνίτρωσις καὶ λουτρόν. Ὁ δὲ σιναπισμὸς ὅτι μὲν ἐστι μέγα καὶ πολυωφελὲς βοήθημα καὶ ταῖς τοιαύταις διαθέσεσι κατάλληλον εἴρηται πολλάκις· δεῖται δὲ προσοχῆς ἐπὶ τῶν παρειμένων, καὶ μάλιστα ἐπὶ ὧν τὰ τῆς αἰσθήσεως ἐλλείπει· οὔτε γὰρ τῶν δηγμῶν, οὔτε τῆς πυρώσεως ἀντιλαμβάνονται, καὶ δέος μήποτε ἀναισθητούντων αὐτῶν ἡ μακρὰ τοῦ καταπλάσματος ἐπίθεσις ἕλκωσιν καὶ φλεγμονὴν ἐργαζομένη κωλύσῃ τὸ λουτρόν, ὅπερ οὐ μόνον ἀποθεραπεύει τὸν ἐκ τοῦ βοηθήματος σκυλμόν, ἀλλὰ καὶ τὰ μέγιστα συνεργεῖ τῇ τῶν σωμάτων μεταβολῇ καὶ τὴν αἴσθησιν ἐπὶ τὴν φυσικὴν ἀντίληψιν ἀνακαλεῖται. Δεῖ τοιγαροῦν ἐκ μέρους, ἵνα μηδὲν λάθῃ τοιοῦτο, ἀποκαλύπτειν τὸ κατάπλασμα καὶ καταθεωρεῖν εἰ γέγονεν αὐτάρκης ὁ φοινιγμὸς, εἰ πρὸς τὴν ἐπίθλιψιν τοῦ δακτύλου ἐπιπολαιότερον ἢ βαθύτερον ἔρευθος ὑποπίπτει σκορπιζόμενον πρὸς τὴν ἐπίθλιψιν θᾶττον ἢ βραδύτερον, εἰ θερμὰ καλῶς τὰ σώματα πρὸς τὴν ἀφὴν φαίνεται, κἂν ἔχῃ τὸ βοήθημα τὴν αὐτάρκη συμμετρίαν, ἐπὶ τὸ βαλανεῖον ἄγειν· εἰ δὲ μηδέπω τῶν εἰρημένων τι παρείη, ἐπικαλύψαντας ἐᾷν καὶ δεύτερον ἐπισκοπεῖν· ἐὰν δὲ οὕτω τύχῃ, καὶ τρίτον. — Τοπικαὶ ἐπιμέλειαι τῶν παρειμένων μερῶν.] Τοπικῶς δὲ ἁρμόζει λαλιᾷ μὲν καὶ καταπόσει ἀναφώνησις, ἐπὶ ὧν ἥ τε γλῶσσα καὶ ἡ κατάποσις ἐμποδίζεται· κινεῖται δὲ ἱκανῶς τὰ μέρη ταῦτα καὶ ὑπὸ τῶν πταρμῶν καὶ ὑπὸ τῶν φλέγμα ἀγόντων διαμασημάτων καὶ ὑπὸ τῆς τῶν δακτύλων καθέσεως θλιβόντων εὐτόνως καὶ σπαρασσόντων τήν τε βάσιν τῆς γλώττης καὶ τὴν ἀρχὴν τοῦ στομάχου. Πλεονάκις δὲ ἐπικαθιέσθωσαν ἄχρι τοῦ φοινίξαι τὸ πρόσωπον καί τινας περὶ τὸν τράχηλον καὶ τὸ πρόσωπον ὀλίγους ἱδρῶτας προσκαλέσασθαι. Τῶν δὲ κώλων τινὸς παθόντος κάμψεις τε καὶ ἐκτάσεις τὸ μὲν πρῶτον διὰ ἑτέρων, ἔπειτα δὲ καὶ διὰ ἑαυτῶν. Ἐπὶ δὲ τοῦ κυνικοῦ σπασμοῦ ἰδιαίτερον βοηθοῦνται ὑπό τε πταρμικῶν καὶ ἀποφλεγματισμῶν τῶν διὰ νάπυος, σταφίδος ἀγρίας, πεπέρεως, ἀναγαργαρισμάτων τε διὰ ὑσσώπου, θύμου, ἀψινθίου, καστορίου. Χρησιμώτατος δέ ἐστιν ἐπὶ αὐτῶν καὶ ἐπίδεσμος ὁ διὰ τῆς γέννος πλεκόμενος μετάγων τὴν διαστροφὴν τῆς γέννος ἐπὶ θάτερα, προσαγορεύεται δὲ φορβειά. — Ἄκοπα διάφορα. Χλωρὸν ἄκοπον πρὸς παρέσεις.] Κηροῦ, τερεβινθίνης, ἐλαίου παλαιοῦ ἀνὰ ℔ α' S'', κυπρίνου, ἰρίνου, μηλίνου ἀνὰ ℔ α', ἰοῦ ξυστοῦ Γο ϛ', μάννης, χαλβάνης, ἀφρονίτρου, ἀμμωνιακοῦ θυμιάματος, ὀποπάνακος ἀνὰ Γο δ', στέατος αἰγείου Γο γ', πεπέρεως λευκοῦ Γο γ', πεπέρεως μέλανος Γο α' S'', ἀδάρκης Γο α'. Τὸν ἰὸν, ὀποπάνακα, ἀφρόνιτρον λεῖον ὄξει. — Ἄκοπον.] Ἐλαίου παλαιοῦ ℔ β', κηροῦ Γο α', ἰρίνου, δαφνίνου, στυρακίνου, κυπρίνου ἀνὰ Γο ϛ', μυελοῦ ἐλαφείου Γο δ', ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης, εὐφορβίου, καστορίου, ὀποπάνακος, πεπέρεως ἀνὰ Γο β'. Ὁ ὀποπάναξ, εὐφόρβιον, καστόριον, πέπερι ὄξει λειοῦται. Ποιεῖ δὲ πρὸς τὰ παραλελυμένα καὶ ἠγκυλωμένα καὶ ἰσχιάδα. — Ἀνετικὸν σύγχρισμα.] Δαφνίδων τεθλασμένων, τήλεως βεβρεγμένης, μαλάχης ἀγρίας ῥιζῶν, σαμψύχου. Φυρᾶται τὸ σάμψυχον μετὰ τῆς τήλεως καὶ τῶν δαφνίδων ὕδατι καὶ μετὰ ὥρας ε' μίγνυται ἡ ῥίζα καὶ ἐπιβάλλεται

ἔλαιον καὶ ἕψεται διπλῷ σκεύει ὥρας ε' ἢ ϛ' ἕως ἀναλωθῇ ἡ τῶν βοτανῶν ὑγρότης καὶ αὗται καπυρωθῶσιν, καὶ ἐξαιρεθὲν τὸ ἔλαιον λαμβάνει πρὸς ξέσΊην α' κηροῦ Γο γ', τερεβινθίνης Γο α'. Ἐχέτω δὲ ἡ τῆλις ὕδατος ὡς πρὸς ἐλαίου ξέσΊην Γο γ'. — Ἄκοπον κάλλισΊον.] Πηγανίνου ἐλαίου παλαιοῦ ℔ δ', κηροῦ, πιτυίνης ἀνὰ Γο η', χαλβάνης Γο α'. Ἐνίοτε τῷ ἐλαίῳ προσεψέψεται ἕως Φρυγῇ σκίλλης Γο δ'. — Μυράκοπον.] Νάρδου μύρου ℔ α', κηροῦ, μασΊίχης χίας, σΊύρακος, ὀποβαλσάμου ἀνὰ Γο δ'. Διπλώματι τηκέσθω. Διηθήσας ἐπίβαλλε τὸ ὀποβάλσαμον. — Πρὸς τὰς ἐξ ὁδοιπορίας ψύξεις ἄκοπον.] Γλευκίνου, ἀμαρακίνου ἀνὰ ℔ α', κηροῦ τυῤῥηνικοῦ Γο γ', εὐφορβίου ∠ δ'. Εὐτονώτερον δὲ γίνεται εἰ προσλάβοι ἰρίνου ἢ δαφνίνου ℔ α', κηροῦ ἄλλην Γο α'ς", τερεβινθίνης ∠ ε' καὶ κασΊορίου ∠ γ'. — Φολιάτου σκευή.] Φύλλου Γο γ', ἀμώμου Γο α', κασίας Γο ϛ', λαδάνου Γο α', πεπέρεως λευκοῦ κόκκους μ', σμύρνης τρωγλοδύτιδος ∠ α'. Λειώσας ἐπιμελῶς ἐπίβαλλε ναρδίνου ἐλαίου ℔ α', καὶ πάλιν τρῖβε ἐπιμελῶς· πρὸς δὲ τὸ μαλάκτερον γενέσθαι τὸ φάρμακον καρύων λέπη καύσας καὶ τρίψας ἐν θυίᾳ ἐπίβαλλε· πρόσβαλλε δὲ καὶ ὀποβαλσάμου κοχλιάρια γ' καὶ κηροῦ Γο α', καὶ ἑνώσας καλῶς χρῶ πολυτελεσΊάτῳ μύρῳ. — Λυσιπόνιον μυράκοπον Τιμοκλιανοῦ ἰατροῦ εὕρεμα ᾧ δεῖ χρῆσθαι κατὰ παντὸς μέρους τοῦ σώματος ἀλγοῦντος ἠρεμαίᾳ τρίψει καὶ πολλῇ.] Στύρακος, νάρδου σΊάχυος, χίας μασΊίχης, φύλλου ἀνὰ Γο β', ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ Γο α', κηροῦ Γο η', νάρδου μύρου ξ β', ὀποβαλσάμου Γο ι'. Τὰ ξηρὰ κόψας σήσας λείωσον καὶ κηρωτὴν ποίησον, ἀναξύων μίγνυε καὶ τελείως ἑνώσας τὸ ὀποβάλσαμον ἐπίβαλλε κατὰ ὀλίγον. — Τὸ κοπΊόν.] Βδελλίου, λιβανωτοῦ, ἴρεως ἰλλυρικῆς, ταυρείου σΊέατος ἀνὰ Γο β', ἀμμωνιακοῦ θυμιάματος Γο α'ς", ὀποπάνακος, χαλβάνης, σΊύρακος ἀνὰ Γο α', κηροῦ Γο η', τερεβινθίνης Γο η', πεπέρεως λευκοῦ κόκκους ρξ'. Τὸ ὕπερον ἀλείφων γλευκίνῳ κόπΊε.

οε'. Περὶ ἰσχιαδικῶν.

Ἰσχιαδικοὺς ἐν ἀρχῇ μετὰ δύο ἀσιτίας τῇ τρίτῃ φλεβοτομητέον, ἐμβρεκτέον τε τὰ μέρη τούτοις. Κυπρίνου κυ. η', ὄξους κυάθους δ', νίτρου κυ. β', κάχρυος κύ. α'. Συνεψηθέντα ἀναλαμβάνεται οἰσυπηροῖς ἐρίοις καὶ ἐπιτίθεται· ποιεῖ δὲ πηγανίνη ἐμβροχή. Μετὰ δὲ τὴν ἀπὸ ἀγκῶνος ἀφαίρεσιν τῇ ἑξῆς φλεβοτομητέον ἐπαφαιρέσει χρώμενον τῇ ἀπὸ σφυροῦ τοῦ ἐνδοτέρου. Εἶτα μετὰ μίαν ἢ δύο μέσας κλυσΊέον συνήθει κλύσματι ἕνεκα κομιδῆς ἐμφραγμάτων, εἶτα τῇ ἐπιούσῃ, ἢ μετὰ μίαν μέσην, ἐνιέναι δριμὺ ἔνεμα. ἘσΊι δὲ μέλιτος καὶ ἐλαίου τὸ αὐτὸ, ὕδατος κυ. β', νίτρου ∠η', τερεβινθίνης ∠δ'. Θερμανθέντα ταῦτα καὶ ἑνωθέντα ἔνιε λεῖα, καὶ ἐπιπυρία τὸν δακτύλιον ὑπὲρ τοῦ πλείονι χρόνῳ κατασχεθῆναι τὸ φάρμακον. Ἐκ τοῦ πλεῖσΊου δὲ ὑγρασίαν μυξώδη εἴθισΊαι ἕλκειν, ἐνίοτε καὶ αἷμα, ὅτε μείζων ὠφέλεια ἀνακύπΊει. Εἰ δέ τι ἐνυπολείποιτο τῆς διαθέσεως, καὶ τῇ ἐπιούσῃ ἐνετέον· σπανίως γὰρ τῇ τοιαύτῃ ἐπιμελείᾳ διαμένει μὴ ἐκκοπεῖσα ἡ ἰσχιάς. Εἰ δὲ ἐπιμείνειεν ἡ διάθεσις, διαλιπόντα ἡμέρας ὀλίγας, μὴ μέντοι ὥσΊε προαφανισθῆναι τὴν ἐκ τοῦ πρώτου βοηθήματος ὠφέλειαν, πάλιν

Ch. 75, l. 31. ἐπιπυρία Aët.; ἐπιπυριᾶν X. — 35. ἐπιμένοιεν X.

χρῆσθαι τῷ αὐτῷ ἀντὶ ἁπλοῦ ὕδατος κενταυρίου ἀφέψημα μιγνύντα. Τὰ *μὲν οὖν πλεῖστα ἰσχιαδικὰ ταύτῃ τῇ ἐπιμελείᾳ ἐξεκόπη, καὶ σικυαστέον δὲ μετὰ φλογὸς πλείονος ταῖς ἀμυχαῖς βαθυτέραις χρώμενον· ῥητέον δὲ καὶ τὴν λοιπὴν ἐπιμέλειαν τῷ διὰ ἀνάγκης ἐστὶν ὅτε τῆς χρήσεως γίνεσθαι. Ἀπὸ ἄλλης τοίνυν ἀρχῆς ἐμέτους παραληπτέον τοὺς ἀπὸ ῥαφανίδων, ἢ τοὺς ἀπὸ δείπνου, καὶ μετὰ αὐτοὺς τῇ ἐπιούσῃ δρωπακιστέον τοὺς πεπονθότας τόπους καὶ ὅλον τὸ σύγκριμα, νίτρῳ τε ἀποσμηκτέον λούοντα μετὰ ταῦτα, τῇ δὲ ἑξῆς ἀλείμματα προσοιστέον τά τε διὰ εὐφορβίου καὶ τὰ διὰ ἀδάρκης, εἶτα διαλιπόντα ἡμέρας δέκα ἀπὸ ἄλλης ἀρχῆς καθάραντα τῇ ἐπιούσῃ σιναπιστέον μέχρι ῥύσεως αἵματος· διαδέξεται δὲ τὸν σιναπισμὸν βαλανεῖον, ὅτε καὶ μείζονος παραστήματος χρεία τῷ κάμνοντι εἰς ὑπομονήν. — Ὁ διὰ τῆς κολοκυνθίδος πόλτος.]* Τὸ *δὲ καθαρτικὸν ᾧ πρὸ τοῦ σιναπισμοῦ δεῖ κεχρῆσθαί ἐστι τοῦτο. Λαβὼν κολοκυνθίδας δύο καὶ περιγλύψας κένωσον τῆς ἐντεριώνης καὶ τοῦ σπέρματος· περιωδυνίας γὰρ ἰσχυρὰς εἴωθεν ἐπιφέρειν· γεμίσας τε τὰς κολοκυνθίδας ἐλαίου γλυκέος καὶ πωμάσας τοῖς ἐξ αὐτῶν περιγλυφεῖσιν ἔασον μίαν νύκτα, τῇ δὲ ἑξῆς τὸ ἔλαιον ἐκχέας εἰς χύτραν καὶ ὕδατος ἓν καὶ ἥμισυ, καὶ αὐτὰς τὰς κολοκυνθίδας ὁμοίως ἕψε ἔστε ἂν τακερωθῶσιν, [εἶτα] αὐτὰς μὲν ῥίπτειν, τῷ δὲ ὑδρελαίῳ πάλιν ἐπὶ ἱκανὸν ἑψηθέντι ἐμπάσσειν ἄρτον καθαρὸν κεκομμένον καὶ σεσησμένον, καὶ πολτοποιήσαντα διδόναι λουσαμένῳ ἐξ αὐτοῦ σφαίρας μέγεθος ἐχούσας καρύου ποντικοῦ ὀκτωκαίδεκα καὶ ὕδωρ ἐπιπιεῖν αὔταρκες.* Εἰ *δέ τις βούλοιτο εὐτονώτερον αὐτὸ ποιῆσαι, παραμιγνύειν ἐλλεβόρου μέλανος τριώβολον.* Τοῦτο *ἐξαρκεῖ καὶ τὴν ἐν πολλῷ χρόνῳ σκιῤῥωθεῖσαν ἰσχιάδα ἐξαλεῖψαι. Ἕψονται δὲ αἱ κολοκυνθίδες ἕως τακερώσεως, ἀλλαχῇ μετακενωθέντος τοῦ ἐννυκτερεύσαντος αὐταῖς ἐλαίου, εἶτα ἐπειδὰν ἀποθλιβεῖσαι ῥιφῶσι, τότε μίγνυται τῷ ὕδατι τὸ ἔλαιον καὶ πάλιν συνέψεται, εἶτα οὕτω μίγνυται ἡ ἐκ τοῦ ἄρτου σεμίδαλις. Ἔστι δὲ τούτῳ τῷ καθαρτικῷ καὶ πλεονάκις χρῆσθαι ὑφαιροῦντα τοῦ πλήθους· ἔτι δὲ ἴχνους τῆς διαθέσεως ὑπολειπομένου παραληπτέον τὴν ἰβηρίδα καλουμένην, ὑπὸ δέ τινων καρδαμίνην ῥίζαν, κοπεῖσαν μετὰ ὀξυγγίου καὶ ἔξωθεν ἐπιτιθεμένην, κηρωτῇ τε σκεπάζειν τὰ μέρη ἐν τοῖς ἀπὸ τῶν βοηθημάτων διαλείμμασι ταύτῃ. Ὀποπάνακος Γο α' διαλύεται ὄξους κυ. β', εἶτα κηρωτὴ ἐκ κυπρίνου γενομένη συναναμαλάσσεται.* Οἱ *δὲ ἀρχαῖοι ἐχρήσαντο καὶ καύσει διά τε καυτήρων πεπυρακτωμένων καὶ διὰ ἐλαίου. Ἐν μὲν τοῖς παροξυσμοῖς διαδεῖν τὰ ἄκρα προσήκει, ἐμβρέχειν τε συνεχῶς καὶ καταπλάσσειν ὠμηλύσει, καὶ μᾶλλον αἰρίνῳ μετὰ ῥητίνης καὶ σικύου ἀγρίου ῥίζης καὶ νίτρου καὶ καλαμίνθης καὶ κάχρυος καὶ δαφνίδων, πυριᾷν τε διὰ κέγχρου φρυκτῆς ἢ ἁλῶν καὶ ἐλαίου, διαιτᾷν τε λεπτῇ διαίτῃ μετὰ ὑδροποσίας, καὶ ποτὰ δὲ ἐν παροξυσμοῖς προσφέρειν ὀπὸν κυρηναϊκὸν ὀρόβου μέγεθος. Ἄκρως δὲ ποιεῖ καὶ καστορίου ∠α' σὺν ὀποπάνακος ὀβολοῖς γ'. Ἔχει δὲ χώραν ἐπιμενόντων τῶν ἀλγημάτων καὶ τὰ ἀνώδυνα ὡς ἡ διὰ δύο πεπέρεων. Ἐν δὲ τοῖς διαλείμμασι τὰ γυμνάσια ἐπιτελείσθω διά τε περιπάτων καὶ συνεχῶν διακάμψεων καὶ ἀφάλσεων καὶ δρόμων συμμέτρων· αἰώρα δὲ ἡγήσεται ἡ διὰ ἵππου ἁρμόζουσά πως τῷ πάθει τούτῳ καὶ ἀνα-*

16. [*εἶτα*] Or. XLV, 29, p. 66, l. 3; om. X; *καὶ ἀποθλίψας* Aët. — 26. *καρδαμίνην* Aët.; *καρδαμήτην* X. — 29. *καύσει* Aët.; *διὰ καύσει* X. — 35. *ὀβολοῖς* Aët. lat.; om. X. — 37. *ἀφάλσεων* ex em.; *ἀσφάλσεων* Paul.; *ἐφάλσεων* X.

φώνησις. — Ἰσχιαδικὸν ἐπίθεμα.] Πίσσης ξηρᾶς Γο δ', θείου ἀπύρου Γο β'. Κόψας καὶ σήσας ὁμοῦ ἐπίπασσε προλούσας ἔτι ἔνθερμον ἔχοντι τὸν χρῶτα καὶ σκέπαζε χάρτῃ. Ποιεῖ ἐπὶ ἰσχιαδικῶν τό τε χλωρὸν ἄκοπον καὶ τὸ μετασυγκριτικὸν καὶ τὰ σὺν αὐτοῖς ἐπὶ παραλύσεως προειρημένα. — Ἰσχιαδικὸν πότημα.] Ὀροβίνου ἀλεύρου, ἀνίσου, μαράθου ἴσα μέτρῳ δίδου ὀβολοὺς ἐννέα οἴνου ἡμικοτυλίῳ· ἄγει διὰ οὔρων πάχος, ἱκανῶς δὲ καθάρας εὕροις [ἂν]. Δίδου μηκέτι. — Ἡ λέαινα ἀνασκευαστική.] Ἐλαίου παλαιοῦ ℔ β', μολιβδαίνης, ἀλῶν κοινῶν, τερεβινθίνης ∠ρ', λεπίδος ἐρυθρᾶς Γο ι', ἰοῦ ξυστοῦ, στρουθίου, χαμαιλέοντος μέλανος ῥίζης, ἀριστολοχίας, νάπυος ἀνὰ Γο β', ἐνίοτε καὶ κάχρυος ἢ πυρέθρου ἀνὰ Γο α'. Ποιεῖ καὶ τῇ κεφαλῇ ἐπιτιθεμένη πρὸς ἡμικρανίαν.— Ἄκοπον παρὰ τοῦ φιλοσόφου ἰσχυρόν.] Κυπρίνου ℔ β', ἰρίνου ℔ α'ς'', δαφνίνου ℔ α', κηροῦ ℔ α', πεπέρεως Γο γ', ὀποπάνακος Γο γ', εὐφορβίου Γο β', καστορίου Γο β', στρουθίου Γο β', σαμψύχου Γο α', ὑσσώπου καὶ τερεβινθίνης ἀνὰ Γο α'. — Ἄλλο ἐπαινούμενον παρὰ Μαρκιανοῦ.] Κηροῦ Γο ιη', πίσσης ξηρᾶς Γο ς', πιτυίνης Γο γ', χαλβάνης Γο θ', σάπωνος Γο γ', θείου ἀπύρου Γο γ', ἀλῶν φρυκτῶν Γο δ', πυρέθρου Γο θ', καρδαμώμου Γο ς', φέκλης Γο ς', εὐφορβίου Γο β', πεπέρεως Γο α', ἀδάρκης Γο α'.

ος'. Περὶ ποδάγρας καὶ ἀρθρίτιδος.

Τὸ ποδαγρικὸν καὶ ἀρθριτικὸν πάθος ὁμοιοειδῆ καθέστηκεν ἀλλήλοις· μόνῳ γὰρ διαφέρει τῷ πλήθει τῶν ἀλγούντων τόπων, ἐπειδὴ περὶ μόνους μὲν τοὺς πόδας τῆς ὀδύνης συμβαινούσης ποδάγρα προσαγορεύεται, διαβιβαζομένης τε ἐπὶ τὰ γόνατα, χεῖρας, ἀγκῶνας, γλουτούς, ὠμοπλάτας ἀρθρῖτις καλεῖται, τοῖς τε τέλεον ἐχομένοις καὶ σφόνδυλοι καὶ σπάθαι καὶ γένυες, καὶ οὐκ ἔστι τις ὀστέου συνάρθρωσις ἢ οὐκ ἐπωδύνως διατίθεται. Ἐν ἀρχῇ τοίνυν τῆς συναισθήσεως, εἴτε τὸ πάθος ἄρχοιτο, εἴτε ὁ παροξυσμός, ἐμβρέχειν οἰνελαίῳ διὰ ῥοδίνου ψυχρῷ, ἢ καὶ χλιαρῷ, καὶ τηρεῖν ἐπὶ ἀσιτίας μίαν ἡμέραν, τῇ δὲ δευτέρᾳ ἢ τῇ τρίτῃ φλεβοτομεῖν, εἰ πρώτη κατάπειρα τοῦ πάθους εἴη· οἱ γὰρ δεύτερον ἢ τρίτον πεπονθότες καὶ βλάπτονται ὑπὸ τῆς φλεβοτομίας· διὸ μᾶλλον κλυστέον αὐτούς, εἶτα καταπλάσμασι χρηστέον στύφουσί τε καὶ ψύχουσιν, ἐπειδήπερ ὡς ἐπὶ τὸ πλεῖστον τὰ θερμαίνοντα παροξύνει τοὺς τόπους, οἷόν ἐστι πολύγονον, ψύλλιον, κορίανδρος, μήκωνες, κώνειον, ἀρνόγλωσσον, στρύχνον, ἀνδράχνη, ἀείζωον, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, ῥόδων φύλλα, σέρις καὶ τὰ ἐοικότα. Λεῖα δὲ μετὰ ψιχῶν ἐπιτιθέσθωσαν ἢ κατὰ αὑτά, συνεχῶς δὲ ἀλλασσέσθωσαν· θερμαινόμενα γὰρ ῥᾳδίως ἀποβάλλει τὴν ἰδίαν ποιότητα. Μηκυνομένου δὲ τοῦ πάθους ἀμυχαῖς χρηστέον αὐτῶν τε τῶν ἐν ὀδύνῃ μερῶν, καὶ τῶν ἐν κύκλῳ χαρασσομένων. — Ἔμπλαστρος μετὰ τὰς ἐπιδόσεις ἁρμόζουσα παρηγορικὴ τῶν ἀλγημάτων.] Κηροῦ, ῥητίνης, κολοφωνίας, ἀειζώου τῶν κορυφῶν ἀνὰ Γο ς', καστορίου Γο α', τερεβινθίνης Γο β', νίτρου ἀφροῦ Γο ς'. Τὸ ἀείζωον λειοτριβήσας πρόσβαλε τὸν ἀφρὸν τοῦ νίτρου καὶ πάλιν συλλέαινε· τὰ δὲ τηκτὰ τήξας κατάχεε ἐν τῇ θυίᾳ μὴ ὑπὸ ἕν, ἀλλὰ κατὰ μέρος συνεκλεαίνων ἐπιμελῶς καὶ παραπάσσων τὸ καστόριον. — Ἄλλη πρὸς τὰς ἐπὶ

5. οἴνῳ X. — 6. [ἂν] ex em.; om. X.

πολὺ παρατεινούσας ἀκμὰς ἐκμαλάσσουσα καὶ ἀνασκευάζουσα τὰς διαθέσεις.] Πίσσης *ὑγρᾶς* ℔ *γ', κηροῦ Γο ις', μάννης Γο η', τερεβινθίνης Γο ε', νίτρου πυῤῥοῦ ἡμικοτύλιον, ἐλαίου παλαιοῦ καθαροῦ ἡμικοτύλιον κο. α'. Ἕψεται ἡ πίσσα ἕως ἀποσΊαζομένη μὴ μολύνει, εἶτα ἐπιβληθέντος τοῦ ἐλαίου ἕψεται πλείοσιν ὥραις, εἶτα ἐπιβάλλεται ὁ κηρὸς σὺν τῇ μάννῃ καὶ ποσὸν ἑψηθέντων ἐπιβάλλεται ἡ ῥητίνη· ὅταν δὲ καλῶς ἑψηθῇ, ἐπιβάλλεται τὸ νίτρον καὶ ἅπαξ ἀναζέσαν ἐπαίρεται καὶ καταχεῖται τῇ θυίᾳ ὀλίγῳ ἐλαίῳ κεχρισμένῃ.— Ξηρὸν μετασυγκριτικόν.* Τούτῳ *χρησΊέον ἐν βαλανείῳ· εἰ δὲ ἀλουτοῖεν, μετὰ γυμνάσιον ψηχέσθωσαν καὶ σπόγγοις περιμασσέσθωσαν τὸ προσκαθήμενον τοῦ ξηροῦ.*] Νίτρου *ἐρυθροῦ* ℔ *α', νάπυος ξηροῦ, κάχρυος ἀνὰ* ℔ *β', ἐλλεβόρου λευκοῦ, θείου ἀπύρου ἀνὰ* ℔ *α'. Ἐγὼ μὴ εὑρὼν κάχρυ πύρεθρον ἔβαλον. — Δίαιτα ποδαγρικῶν καὶ ἀρθριτικῶν.*] *Δεῖ δὲ ἀπέχεσθαι μὲν μάλισΊα κρεηφαγίας πάσης καὶ οἰνοποσίας, ἔτι τε ἀφροδισίων καὶ τῶν συνεχῶν λουτρῶν, ἤδη δὲ καὶ τῶν ἄλλων βρωμάτων ὅσα ψύχει, ἀλλὰ δὴ καὶ τῶν πνευματωτικῶν καὶ πυρωτικῶν καὶ εἰ δυσκόλως διοικεῖται· διὸ καὶ μελιτΊώματα καὶ τραγήματα καὶ τὴν γλυκίζουσαν ὀπώραν καὶ ῥᾳδίως ἀποξυνομένην φευκτέον, κρόμμυά τε καὶ σκόροδα καὶ πράσα καὶ ῥαφανῖδας, καὶ γογγυλίδας, ἀλλὰ καὶ ὀσπρίων φακῆν, κύαμον, πίσον, ἤ τό γε πλεονάζειν ἐν αὐτοῖς παραιτητέον. Δίαιτα δὲ ἐν τοῖς διαλείμμασι συνδιατιθέσθω διά τε περιπάτων καὶ καταπλασμάτων καὶ τρίψεων, πρὸς δύναμίν τε πάλης, σπανίου τε λουτροῦ καὶ διὰ ἑπΊὰ ἡμερῶν δρωπακισμῶν ὅλου τοῦ σώματος, καὶ μετὰ αὐτοὺς ἀνατρίψεως διὰ νίτρου ὀπΊοῦ, σιναπισμοῦ τε δὶς τοῦ μηνός. Ἐπὶ δὲ τῶν τοῖς σΊύφουσι παρηγορουμένων χρησΊέον μήκωνι καὶ τοῖς φύλλοις οἴνῳ ἑψηθεῖσιν, ἢ κηκιδίοις ῥοὸς μετὰ ἀλφίτου πάλης, ἢ κιτρίου σαρκὶ μετὰ ἄρτου. Ἐπὶ δὲ τῶν τοῖς θερμαίνουσι χαιρόντων σῦκα πίονα ἕψεται ὕδατι καὶ ἐκθλιβέντα καὶ σὺν οἴνῳ λεανθέντα ἕψεται πάλιν μέχρι συσΊάσεως καὶ ἐπιτίθεται. Ἄκρως δὲ ποιεῖ καὶ τὰ τῆς ἐλαίας φύλλα συνεψόμενα τῷ κριθίνῳ ἀλεύρῳ, καταπλασθεῖσα αἰγεία δὲ κόπρος ἐκ τῆς γασΊρὸς ἄρτι τυθέντος τοῦ ζῴου ἀφαιρεθεῖσα καὶ ἐπιτεθεῖσα. — Ὕλη ἐπιθεμάτων ποδαγρικῶν.*] *Ἐπεὶ δὲ καὶ ὑπὸ τῶν ἐναντίων εἶναι δοκούντων τινὲς ὠφελήθησαν, ῥητέον ἀναμὶξ τὴν ὕλην αὐτῶν. Ὠφελεῖ τοίνυν ἥ τε ἀγρία ἀτράφαξυς καὶ ἡ ἥμερος σὺν ἄρτῳ καταπλασσομένη, ἢ φλόμου φύλλα μετὰ βολβῶν καὶ ἄρτου λειαινόμενα, ἢ μετὰ ἀλφίτου. Ταῦτα δὲ κωλύει τὴν τῶν πόρων σύσΊασιν· θέρμινον ἄλευρον σὺν ὀξυμέλιτι ἢ ὀξυκράτῳ, σιλφίου ῥίζα σὺν ἄρτῳ, ἢ βρυωνίας ῥίζα ὁμοίως. Βολβοὶ ἐκπυροῦντες τὴν ἐπιφάνειαν διαχέουσι τὸν παροξυσμόν, λεαινόμενοι δὲ ἐπιμελῶς μετὰ παιπάλης ἀλφίτου ἢ μετὰ ἄρτου ἐπιτίθενται. Καὶ κράμβη δὲ σὺν ταῖς ῥίζαις καίεται ἧς ἡ σποδὸς σΊέατι ὑείῳ παλαιῷ ἀναληφθεῖσα ἐπιτίθεται. Ἐπὶ δὲ τῶν ἐρυσιπελατώδη συναίσθησιν ἐχόντων ἐπιφανῆ φέρει παραμυθίαν ἤτοι παρηγορίαν κολοκύντης τὸ λέπος ἐπιτιθέμενον, πέπονός τε καὶ σικύου ἡ σὰρξ κατὰ αὐτά τε καὶ μετὰ ἄρτου, περδικίου τε φύλλα καὶ κισσοῦ σὺν ἄρτῳ ἢ πάλῃ ἀλφίτου.* Ποιεῖ *δὲ καὶ σμύρνιον καὶ σελίνου σπέρμα, τισὶ δὲ τετήρηται καὶ τὸ πήγανον ἄκρως ποιοῦν ἐπὶ ποδαγρικῶν. —* Καταπλάσματα *ἕτερα.*] *Ἔσ*Ί*ι δὲ καὶ κατάπλασμα*

9. *κάχρυος*] *βράθυος* Aët. — 13. *τὰ πνευματοτικα καὶ πυροτικᾶ* X. — 17. *ἐν τοῖς* conj.; *σὺν τοῖς* X. — 19. *μετὰ αὐτοῦ ἀνάτριψις* X. — 20. *σιναπισμός* X. — 27. *ἀναμὶξ τὴν ὕλην* Paul.; *ἀνάμιξ 'θῆναι* (sic) *τὴν ὕλην* X.

τοιοῦτο. Ἄρτος συγκομιστὸς ὀξυκράτῳ βραχεῖ λεαίνεται καὶ προσλαμβάνει ὡς τὸ τρίτον αὐτοῦ ἀκτῆς φύλλα καὶ στέατος ὑείου ταριχηροῦ ὡς η' ἢ θ'. Καταπλάσμασι χρηστέον καὶ τούτοις· ὠμῇ λύσει διὰ τήλεως καὶ κριθίνου ἀλεύρου, ἢ τήλεως καὶ λινοσπέρμου, ἢ τρυγίου οἴνου μετὰ κριθίνου, ἢ κυαμίνου, ἢ ὀροβίνου, ἢ ῥίζης μαλάχης ἀγρίας ἀφεψήματι μετὰ κριθίνου, ἢ ῥίζης σικύου ἀγρίου ἑφθῆς ἐν ὕδατι προκαταιονήσαντα τῷ ὕδατι, ἢ φύλλοις ἀμπέλου μετὰ πάλης ἀλφίτου, ἢ ῥαφάνῳ ἑφθῷ μετὰ μαλάχης, ἢ σεύτλου φύλλοις, ἢ ῥοὸς φύλλοις χλωροῖς, κυτίνοις ἡψημένοις, ἢ κυδωνίοις μήλοις ὁμοίως σὺν ἀλφίτοις, ἢ ὀπίῳ καὶ στύρακι καὶ ἀμυγδάλοις πικροῖς μετὰ κυπρίνου καὶ ὄξους, ἠριγέροντι σὺν ἄρτῳ καὶ ὀξυγγίῳ. — Ἄκοπον πρὸς τὰ οἰδοῦντα ἄρθρα καὶ ἐπαλγῆ.] Κυπρίνου ἢ σικυωνίου ℥ β's'', κηροῦ Γο γ', νίτρου ἀφροῦ Γο γ', μυελοῦ ἐλαφείου Γο β', δαφνίδων λελεπισμένων, ἴρεως ξηρᾶς ἀνὰ Γο α's'', πεπέρεως ∠ β'. Λειοτριβεῖται τὰ ξηρὰ ὄξει. Διαχεῖ καὶ τὰ ἐν βάθει ἐπισπώμενον, ἔστιν ὅτε καὶ ἀποστάσεις εἰς ἐπιφάνειαν ἤγαγεν. — Πρὸς πώρους.] Νίτρου ἀφρὸν λεάνας ἐν ἐλαίῳ παλαιῷ μετὰ ὀλίγου κρόκου καὶ ὄξους κατάχριε· βέλτιον δὲ εἰ ὄξει λειώσας τὸν ἀφρὸν τοῦ νίτρου καὶ τὸν κρόκον κηρωτῇ δὲ ὑγρᾷ ἀναλάβοις. — Τὸ διὰ κεδρίας.] Κηροῦ, πίσσης, κεδρίας ἀνὰ ∠ ν', κολοφωνίας ∠ κε', προπόλεως ∠ ιζ' ἢ ιβ'. Ἐν ἄλλῳ ἔχει οὕτως· κηροῦ, πίσσης ἀνὰ ∠ ν', κολοφωνίας, προπόλεως, κεδρίας ἀνὰ ∠ κ'. — Πρὸς τοὺς ἄνευ οἰδημάτων ποδαγριῶντας.] Κηροῦ Γο γ', δαφνίδων Γο γ', σικυωνίου ἢ παλαιοῦ ἐλαίου Γο θ'. — Ἢ τὸ Νειλέως·] ἔστι δὲ κηροῦ Γο ϛ', ἀμμωνιακοῦ θυμιάματος Γο ϛ', κρόκου ∠ β', ῥοδίνου ∠ ε'. Ὄξει τὸ ἀμμωνιακὸν λεῖον. Ἢ τὴν τετραφάρμακον προσλαμβάνουσαν καὶ λιβανωτοῦ ὡς εἶναι τῶν ε' Γο δ'. — Κηρωτὴ ποδαγρική.] Στέατος ὑείου παλαιοῦ Γο ϛ', σικύου ἀγρίου ῥίζης ἑφθῆς ἐν μελικράτῳ Γο β' ἢ γ'· ἐπίχριε. — Ποδαγρικὴ ἐμψυκτικὴ διὰ ὀπίου, κρόκου καὶ ἄρτου καὶ τῆς διὰ χυλῶν· κεῖται ἐν τοῖς ἑδρικοῖς. — Κηρωτὴ ποδαγρική.] Χυλοῦ ἀλθαίας, τήλεως, λινοσπέρμου ℥ β', ἐλαίου παλαιοῦ ℥ β', κηροῦ, κολοφωνίας ἀνὰ ℥ α', χαλβάνης Γο β'. Συνέψονται τῷ ἐλαίῳ οἱ χυλοὶ καὶ τότε ἐπιβάλλεται κολοφωνία, ὕστατος δὲ ὁ κηρὸς συνολμοκοπηθεὶς τῇ χαλβάνῃ. — Ἀρθριτικὸν κατάπλασμα.] Ἄρτου τὸ ἐντὸς Γο ϛ', ᾠῶν ὀπτῶν λεκίθους δ', μελιλώτου Γο β', μέλιτος τὸ ἀρκοῦν. Ὁ ἄρτος καὶ τὸ μελίλωτον οἴνῳ γλυκεῖ ἀποβρέχονται. — Πρὸς τοὺς ἀπὸ στρέμματος τὰ ἄρθρα ἀλγοῦντας, οἷον γόνατα, ὤμους, σφυρὰ, ἀγκῶνας, καὶ μάλιστα εἰ χρονίσειαν.] Κηροῦ, πιτυίνης, κολοφωνίας ἀνὰ Γο ϛ', τερεβινθίνης Γο α', κυπρίνου Γο δ', ἢ τὸ ἀρκοῦν, τήλεως ξηρᾶς λεπτῶς σεσησμένης ἡμίναν. Ἀνάλαβε τὸ ἄλευρον ἀναλυθείσῃ τῇ κηρωτῇ. — Κηρωτὴ ἀρθριτικοῖς Ἀφθονίου τοῦ ῥωμαϊκοῦ διχολόγου.] Κηροῦ, στέατος χοιρείου, κολοφωνίας, πιτυίνης ἀνὰ ℥ β', βουτύρου, τερεβινθίνης ἀνὰ ℥ α', χαλβάνης Γο α', ταυρείου στέατος ℥ β', οἰσύπου ℥ α'. Ταχὲν πήγνυται· ἐπὶ δὲ τῆς χρήσεως συντήκεται ναρδίνῳ μύρῳ. Χρῶ καὶ θαυμάσεις. — Ἔμπλαστρος λαυρεντιανὴ μετὰ τὰς ἐπιδόσεις.] Λιθαργύρου ℥ α', μολιβδαίνης ℥ α', χαλκοῦ κεκαυμένου, χαλβάνης, χαλκάνθου ἀνὰ Γο β', κολοφωνίας, κηροῦ ἀνὰ ℥ α', ἐλαίου παλαιοῦ ℥ β'. Ἕψε λιθάργυρον, μολίβδαιναν ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε χαλκὸν, χάλκανθον λεῖα, ὑστάτην δὲ τὴν κηρωτὴν μετὰ τῆς χαλβάνης, ἐπὶ δὲ τῆς χρήσεως ἀνεὶς τοῦ μὲν φαρ-

27. λεκύθους Γο δ' Χ.

μάκου μέρος ἕν, κηροῦ δὲ μέρη δύο, καὶ ἐλαίου τὸ ἀρκοῦν πλερῷ κατάχριε. — Ἄλλη ἔμπλασλρος παρηγορική.] Κηροῦ Γο ε', κολοφωνίας Γο α', σλέατος ταυρείου Γο α', ἐλαίου κο. α', χυλοῦ λινοσπέρμου Γο η', γύρεως Γο β', λιβάνου Γο α', λιθαργύρου Γο α'. — Ἀντίδοτος ἰδία Λεπιδιανοῦ.] Χαμαίδρυος, ἀρισλολοχίας σλρογγύλης, γεντιανῆς ἀνὰ ℥ α', πηγάνου ἀγρίου σπέρματος ℨ α'. Δίδου ξηρὸν κοχλιάριον α' διὰ ὕδατος Ξερμοῦ ἢ ψυχροῦ· ἢ πλάσσε. Ἡ δὲ πόσις ἡμέρας τξε'.

οζ'. Περὶ ἐλεφαντιάσεως. Vid. XLV, 29, t. IV, p. 65-82.

οη'. Περὶ κνησμῶν, ἀλφῶν, λειχήνων, λέπρας, λεύκης.

Ἐπὶ τοῦ κνησμοῦ φλεβοτομίᾳ χρησλέον καὶ λουτρῷ. Πάντως μὲν νήσλεις ὡς λούειν ἔθος, καὶ μικρὸν βεβρωκότα τὸ δεύτερον λούειν· δύσικμον γὰρ τὸ πάθος· ξυρᾶν δὲ τὰ τετριχωμένα καὶ σμᾶν τήλεως ἀφεψήματι, ἢ σεύτλου, ἢ πιτύρων, ἢ σησάμου, ἢ μαλάχης ἀγρίας ἢ ἡμέρου· συμπάσσειν δὲ καὶ ἀλεύρῳ κυαμίνῳ, ἢ μυροβαλάνῳ· εἰ δὲ χρονίζοι, πυριᾶν καὶ λούειν ἀφεψήματι ἐλελισφάκου, μυρίκης, λινοζώσλεως, ὀριγάνου, γλήχωνος, δαφνίδων, σικύου ἀγρίου ῥίζης, κονίᾳ σλακτῇ, ὀξάλμῃ, Ξαλάσσῃ, συμπάσσειν δὲ τούτοις· νίτρῳ μετὰ ὄξους τρυγὸς, ἢ τούτῳ ὃ λαμβάνει νίτρου ἀφροῦ ℨ α', λιβανωτοῦ, Ξείου ἀπύρου ἀνὰ ℥ α', κιμωλίας Γο ις'· ἢ τούτῳ· ἀφρονίτρου, Ξείου ἀπύρου, ἀλκυονίου κεκαυμένου ἴσον· εἰ δὲ ἐπιτεῖναι Ξέλεις, καὶ ἐλλεβόρου λευκοῦ. Συγχρίειν δὲ ὀξελαίῳ, συντετριμμένης σλαφίδος ἀγρίας. Καταχρίειν δὲ Ξείῳ μετὰ ὄξους, ἢ καρδαμώμῳ, ἢ σηπίας ὀσλράκῳ μετὰ ὄξους, ἢ σανδαράκῃ, ἢ κισσοῦ καρπῷ, ἢ Ξείῳ ἀπύρῳ, ἢ λαπάθου ῥίζῃ, ἢ νίτρου μὲν ὀβολοῖς δύο, σλαφίδος δὲ ἀγρίας καὶ σανδαράκης ἀνὰ Γο β' μετὰ ὀξελαίου. — Πρὸς ἀλφοὺς καὶ λέπρας καὶ λειχῆνας.] Ἀλκυονίου, νίτρου ἀνὰ Γο β', ἐλλεβόρου λευκοῦ, Ξείου ἀπύρου ἀνὰ Γο α', ἐνίοτε καὶ σπεκλαρίου κεκαυμένου Γο α'. Ποιεῖ πρὸς μέλανας. — Ἄλλο πρὸς μέλανας ἀλφούς.] Συκῆς ἀκρεμόνων χλωρῶν ℥ α', πηγάνου Γο ς', ὑοσκυάμου Γο ς' τοῦ χυλοῦ, ἀσβέσλου, μίσυος ἀνὰ Γο α'. Σὺν ὄξει ἐν ἡλίῳ κατάχριε, καὶ ταχέως ἀπόψα πρὶν ἑλκώσει. — Λειχηνικόν.] Κηροῦ, τερεβινθίνης, προπόλεως, Ξείου ἀπύρου, σλυπληρίας σχισλῆς ἴσα. Τερεβινθίνης Γο β', Ξείου ἀπύρου Γο α', λιβάνου Γο δ'. Ἐὰν δοκῇ σκληρὸν εἶναι, δίδου πλείω τερεβινθίνης καὶ ἐπιτιθεὶς λύε διὰ τρίτης, καὶ πάλιν ἐπιτίθει ἕως ψυδρακώσει, εἶτα ἐπὶ τὴν διὰ χυλῶν διάβαινε· δύναται δὲ καὶ αὐτὸ ἐπουλοῦν. — Πρὸς λειχῆνας καὶ λέπρας.] Ἄγνου σπέρματος μετὰ ἀφρονίτρου σὺν ὄξει ἐπίχριε, ἢ αἴρινον ἄλευρον σὺν ὄξει, ἢ ἀγχούσης ῥίζαν μετὰ ὄξους.

οθ'. Περὶ λέπρας καὶ ψώρας.

Ἡ λέπρα καὶ ἡ ψώρα ἑκάτερον τραχυσμός ἐσλι τῆς ἐπιφανείας μετὰ κνησμοῦ καὶ

Ch. 78, l. 10. συμπάσσειν conj.; συμπᾶσι X 1re m.; συμπᾶσσι 2e m.; σὺν τούτοις Paul.; συμπάτλειν Aët. — Ib. μυροβαλανίνῳ Aët., Paul. — 13. συμπάσσειν conj.; σὺν πᾶσι X 1re m.; σὺν πᾶσσι 2e m.; προπάσσειν Paul.; συμάσιν (sic) δὲ τὸ σῶμα Aët. — 21. σφέκλης κεκαυμένης Paul.

ἀποψήξεως σωμάτων, ἐπὶ μὲν τῆς ψώρας λεπτῶν καὶ πιτυροειδῶν, ἐπὶ δὲ τῆς λέπρας Φολιδοειδῶν. Τρέπεται δὲ τὸ χρῶμα ποτὲ μὲν ἐπὶ τὸ μελάντερον, ποτὲ δὲ ἐπὶ τὸ λευκὸν, ποτὲ δὲ ἐπὶ τὸ ἐρυθρόν. Διακρίνεται δὲ ὁ ἄγριος λειχὴν τῷ αὐτὸν μὲν κυκλοτερῶς ἐπινέμεσθαι, τὴν δὲ λέπραν οὐχ ὁμοίως, οὐδὲ τὴν ψώραν. — Πρὸς λέπραν.] Αἰρίνου ἀλεύρου ∠α', νίτρου ἀφροῦ ∠δ', χαλκάνθου ∠η', σεύτλου ῥίζης λεάνας τὸ ἀρκοῦν ἕψε ὄξει δριμυτάτῳ, ἐπὶ δὲ τῆς χρείας λαβὼν τὸ ἀρκοῦν καὶ μίξας κατάχριε παχεῖ προεκνιτρώσας τὸν τόπον καὶ ἐπιδήσας ὀθονίῳ· ἐπίλυε δὲ διὰ τρίτης καὶ ἀπόκλυζε ὕδατι ψυχρῷ, καὶ πάλιν ἐπίχριε. Ἀλφοὺς, λέπρας καὶ λειχῆνας ἀποκαθαίρει σταφὶς ἀγρία σὺν θείῳ ἀπύρῳ καὶ ἀρσενικῷ, σχιστὴ μετὰ ὄξους καταχριομένη. — Πρὸς λέπρας, ψώρας.] Μίσυ καὶ χαλκῖτιν ἴσα μετὰ οἴνου ἐπίχριε πολλάκις. — Λεπρικόν.] Ἀσφοδέλου ἢ σεύτλου ῥίζης χυλοῦ Γο ς', θείου ἀπύρου, μάννης ἀνὰ ∠ι', νίτρου ∠η'. Ξηρανθὲν ἐπίχριε διεὶς ὄξει. — Περὶ λεύκης.] Ἡ λεύκη σπίλός ἐστι περὶ πᾶν μέρος τοῦ σώματος γινόμενος, ἐπὶ δὲ τῶν τετριχωμένων πολιοῖ μὲν, οὐ ψιλοῖ δέ. Τοῦτο θεραπεύει ῥοὸς ἄνθη ∠η', νίτρου ἀφροῦ ∠ε', ἀλκυονίου ∠γ', θείου ἀπύρου ∠β'. — Πρὸς ἀλφοὺς μέλανας καὶ λειχῆνας.] Θείου ἀπύρου, νίτρου ὀπτοῦ, ἀλκυονίου ἀνὰ Γο β', κόμμεως Γο α'. Ὄξει λείου. — Ἐφήλεις, σπίλους, ἰόνθους, ἀλφοὺς θεραπεῦον.] Ὀρόβων ἀλεύρου ℥ β', εὐζώμου σπέρματος ℥ α', ἀμυγδάλων πικρῶν, σικύου ἀγρίου ῥίζης ἀνὰ ℥ α'. Οἰνομέλιτι συλλέαινε, ἐπίχριε δὲ διὰ μέλιτος, μετὰ δὲ ὡριαῖον διάστημα ἀποσπόγγιζε. — Φακοὺς αἶρον.] Θέρμους πικροὺς ἐν κονίᾳ βρέχε ἕως οἰδήσωσιν· λειώσας δὲ ἐπίχριε ἕως ἀφέλῃ. — Ἄλλο.] Σάπωνα γαλλικὸν ὕδατι λειώσας καὶ μέλιτι ἐπίχριε· ἔασον ὥρας γ', μετὰ δὲ τὸ ἀποσπογγίσαι χρῶ τῷ διὰ χυλοῦ. — Πρὸς λειχῆνας.] Νίτρον καὶ λάδανον σὺν ὄξει κατάχριε. — Σμῆγμα ὁ Ἀσκληπιός.] Νίτρου, ἀφρονίτρου, ἁλῶν κοινῶν, καππαδοκικῶν, ἀμμωνιακῶν καὶ πικρῶν, κισσήρεως, δαφνίδων ἀνὰ Γο ς', ἐλλεβόρου, στρουθίου, θείου ἀπύρου, νάπυος, κόμμεως, σταφίδος ἀγρίας, Φέκλης, ἴρεως ἀνὰ Γο γ', κηκῖδος, κυπέρου, σαμψύχου, πυρέθρου, λιβάνου, σχοίνου ἄνθους, σικύου ἀγρίου ῥίζης, πρασίου ξηροῦ κόμης, χαμαιλέοντος μέλανος ἀνὰ Γο α's''. — Πρὸς ἀλφοὺς μέλανας.] Λιθαργύρου Γο β's'', θείου ἀπύρου Γο α's'', νίτρου Γο α', κισσήρεως Γο α'· ἑνώσας [χρῶ].

ϛ'. Περὶ καθαρτικῶν ἁπλῶν.

Χολαγωγοῖς χρηστέον ὥρᾳ πάσῃ καθαρτικῇ πλὴν χειμῶνος. Ἀλόης ∠α' μετὰ μελικράτου διδόσθω ὄρθρου· Φθάνει γὰρ πρὸ τοῦ ἀρίστου κατεργάσασθαι· οἱ δὲ ἑσπέρας ἢ μετὰ τροφὴν διδόντες βλάπτουσιν· διαφθείρει γὰρ τὴν τροφὴν, ὅ τε ὕπνος διαχεόμενος ἐπὶ τῷ Φαρμάκῳ μάλιστα ἀδικεῖ. Κενοῖ δὲ χολὴν ξανθήν. Δίδοται δὲ κεφαλὴν βαρουμένοις, ὀφθαλμιῶσι, διψώδεσι, τοῖς τε ἐν τοῖς ὕπνοις Φαντασιώδεσιν ἄνευ πυρετοῦ, τοῖς τε διαδρομῆς Φρικώδους ἢ ναρκώδους αἴσθησιν ἔχουσι καὶ τοῖς Φύσας δριμείας ἀποκρίνουσιν ἢ δακνομένοις τὰ ἔντερα καὶ τοῖς περὶ στόμαχον πυρώσεως ἢ ἄσης, ἢ νοσηλείας ἀνατρεπτικῆς ἀντιλαμβανομένοις, καὶ τοῖς ἐπὶ πλήθει περιττωμά-

28. [χρῶ] om. X. — Ch. 80, l. 31. ἢ Paul.; οἱ X. — 35-36. ἢ ἄσης Aët., Paul.; πάσης X. — 36. ἀνατρεπτικῆς Aët., Paul.; ἀνατροπτικῆς X. Conf. p. 596, l. 25.

των κλυσθῆναι μὴ δυναμένοις. Δίδοται δὲ τοῖς ἀνεχομένοις τῆς πικρίας αὐτῆς τετρώβολον λειοτριβηθεῖσα μετὰ κυάθου μελικράτου· τοῖς δὲ μὴ ἀνεχομένοις τὴν πικρίαν αὐτῆς εἰς καταπότια ἀναλαμβάνεται μετὰ χυλοῦ κράμβης, ἢ θριδακίνης, ἢ μαλάχης, ἢ κιτρίου. Μέλας ἐλλέβορος χολὴν ἄγει ἐκ παντὸς τοῦ σώματος ἄνευ περισκελασίας· διὸ καὶ πυρέσσουσι δίδοται πλὴν τῶν στραγγῶς καὶ συνεχῶς πυρεσσόντων· δίδοται δὲ καὶ τοῖς ἄνευ πυρετοῦ ὀξέως νοσοῦσι καὶ τοῖς ἐν χρονίοις νοσήμασι δεομένοις χολαγωγοῦ φαρμάκου, οἷον μαινομένοις, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαίας ὀχλουμένοις, ῥευματιζομένοις ὄμματα, περὶ θώρακα διαθέσεις ἔχουσιν. Ἐπιτηδειότατος δέ ἐστι σπλάγχνοις τε καὶ ὑστέρᾳ καὶ κύστει φαρμακείας δεομένοις· ἀγαθὸς δὲ καὶ ἐπὶ τῆς τραχείας ἀρτηρίας χρονίως πεπονθυίας, ἰκτεριῶσί τε καὶ τοῖς ἐξανθήματα ἔχουσι καὶ λειχῆνας ἢ ἕρπητας, ἢ ἐρυσιπέλατα, ἢ λέπρας. Ἡ δόσις δὲ τοῦ πλήθους ∠α' τῶν ῥιζῶν βρεχομένων ὀλίγῳ ὕδατι, ἔπειτα ἀναπτυχθέντων αὐτῶν καὶ ἀφαιρεθείσης τῆς δηλητηριώδους αὐτῶν ἐντεριώνης, εἶτα ξηραινομένου τοῦ φλοιοῦ καὶ κοπτομένου καὶ σηθομένου. Διδόσθω δὲ μελικράτῳ ἢ ὕδατι προησιτηκόσι πάντως, καὶ μέχρι τῆς παντελοῦς καθάρσεως οὐδὲν θρεπτέον. Δίδοται δὲ καὶ φυραθεὶς μέλιτι ὡς καταπότια, τινὲς δε μιγνύουσιν αὐτῷ γλήχωνα ἢ θύμβραν· οἱ δὲ ὀξυκόρῳ τινὶ ἔμιξαν. Καθόλου δὲ ἐπὶ πάντων τῶν δραστικῶς καθαιρόντων ἀπαγορεύομεν τοῖς φαρμακευομένοις ὑπνοῦν μέχρι παντελοῦς καθάρσεως. Σκαμμωνία παραπλησίως ἐλλεβόρῳ καθαίρει, καὶ ἔτι μᾶλλον χρηστέον οὖν ἐπὶ παθῶν ἐπὶ ὧν καὶ τῷ ἐλλεβόρῳ. Τῶν δὲ καθαρτικῶν πάντων ὑπαρχόντων κακοστομάχων πλὴν τῆς ἀλόης κακοστομαχωτέρα ἡ σκαμμωνία. Οὐ δοτέον οὖν αὐτὴν οὔτε τοῖς πεπονθόσι στόμαχον, οὔτε πυρέσσουσιν. Ἀπυρέτοις οὖν αὐτὴν καὶ εὐστομάχοις καὶ δυσήμεσι καὶ τοῖς μὴ ῥᾳδίως λιποθυμοῦσι δοτέον πλῆθος ὀβολῶν δ'· μικτέον δὲ αὐτὴν ἅλσιν εὐαρτύτοις, ἢ ὀξυκόρῳ τινὶ τῶν εὐστομάχων ἢ ζιγγιβέρει ἢ πεπέρει ἢ γλήχωνι, ἢ αὐτοῖς ψιλοῖς τοῖς ἁλσίν· τὸ γὰρ ἀνατρεπτικὸν αὐτῆς καὶ κακοστόμαχον ἐπανορθοῦσιν οἱ ἅλες. Δίδοται καὶ μετὰ μέλιτος ἑφθοῦ, καὶ καταπότια ἐξ αὐτῆς γίνεται μετὰ κόμμεως ἀραβικοῦ φυρομένης. Κολοκυνθὶς μάλιστα μὲν χολὴν καθαίρει, καθαίρει δὲ καὶ μύξας, δύναμιν δὲ ἔχει παρηλλαχυῖαν ἐλλεβόρῳ καὶ σκαμμωνίᾳ· ἐκεῖνα μὲν γὰρ αἵματος καὶ τῶν περιεχόντων τὸ αἷμα ἀγγείων καὶ τῶν ἐκ τούτων πεπλεγμένων ἐστὶ καθαρτικά· κολοκυνθὶς δὲ νεύρων καὶ τῶν νευρωδῶν σωμάτων· διόπερ ὑποληπτέον τὸ μυξῶδες τὸ ἀγόμενον ὑπὸ αὐτῆς ἐν ταῖς καθάρσεσιν ἀπὸ τῶν νεύρων ἥκειν. Δοτέον οὖν αὐτὴν τοῖς κεφαλὴν πεπονθόσιν ἐπειδὰν μῆνιγξ ἢ ὁ περικράνιος κεκακῶσθαι τύχῃ ἐν σκοτωματικοῖς, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαίας ὀχλουμένοις, ἀποπληκτικοῖς, κυνικῶς σπωμένοις, χρονίως ὄμματα ῥευματιζομένοις, ὀρθοπνοϊκοῖς τε καὶ ἀσθματικοῖς καὶ βήσσουσι χρονίως, ἔτι τε ἰσχιαδικοῖς, ἀρθριτικοῖς, τοῖς τε περὶ νεφρὸν ἢ κύστιν χρονίαν ἐσχηκόσι διάθεσιν. Δίδοται δὲ δραχμῆς πλῆθος τῆς ἐντεριώνης χωρὶς τῶν κόκκων ἐν μελικράτου κυ. β', ἐναφηψημένου αὐτῷ καὶ πηγάνου. Κοπτέσθω δὲ ἡ ἐντεριώνη καὶ σηθέσθω λεπτοτάτῳ κοσκίνῳ, ἔπειτα λεανθεῖσα πολλάκις πάλιν σηθέσθω· πάσχει γάρ τι τοιοῦτον. Λεανθεῖσα πρὶν βραχῆναι λεπτοτάτη φαίνεται, τῷ μελικράτῳ δὲ ἐμβληθεῖσα καὶ ἀνυγρανθεῖσα διοιδαίνει

33. ὀχλουμ., ἐπιληπτικοῖς, ἀποπλ. Paul. — 35. χρονίαν Aët.; χρονίως X; om. Paul.

σφόδρα ὥσ7ε ἀπισ7εῖσθαι βλεπομένη ὅτι διέσησ7αι. Τούτων οὖν τῶν οἰδησάντων μερῶν τῆς κολοκυνθίδος ἐνίοτε προσίσχεταί τινα ἢ τῇ γασ7ρὶ, ἢ τῷ σ7ομάχῳ, μάλισ7α δὲ ταῖς ἕλιξι τῶν ἐντέρων. Ἅτε οὖν δριμέα ὄντα φύσει καὶ δακνώδη προσκαθήμενα ἑλκοῖ τὰ ἔντερα καὶ συμπαθείας νευρικὰς ἐπιφέρει, σ7ρόφους τε καὶ συνολκάς· διὸ δὴ μάλισ7α προνοητέον τοῦ καλῶς λελεάνθαι τὴν κολοκυνθίδα. Οἱ δὲ κόκκοι δρασ7ικὸν μὲν οὐδὲν ἔχουσιν· εἰσὶ δὲ κακοσ7όμαχοι σφόδρα καὶ παρὰ τοῦτο πλεῖον τῆς ὠφελείας βλάβην παρέχουσιν. Ἐλατήριον παραπλησίαν δύναμιν ἔχει σκαμμωνίας· δοτέον δὲ αὐτοῦ τριώβολον λεῖον μετὰ γάλακτος κο. α'. Ἐκλεκτέον δὲ τὸ πρασίζον καὶ κοῦφον καὶ μὴ παλαιότερον ἐνιαυτοῦ. Τιθύμαλλος ἄγει χολὴν σκαμμωνίᾳ παραπλησίως· δίδοται δὲ τοῦ ὀποῦ σ7αγόνες τέσσαρες ἢ ε' σὺν ἀλφίτῳ φυραθεῖσαι καὶ ταχέως καταπινόμεναι· κατασχεθεῖσαι γὰρ ἐν σ7όματι τὴν γλῶσσαν ἑλκοῦσι καὶ τὰ πέριξ. Λαθυρίδες καθαίρουσι χολὴν ὥσπερ ἐλλέβορος καὶ σκαμμωνία· ἔσ7ι δὲ σπέρμα ὀσπριῶδες ἐμφερὲς κατὰ μέγεθος ὀρόβῳ. Δοτέον δὲ ἑπ7ὰ ἢ ὀκτὼ καὶ μέχρι ιε' τοῖς εὐτόνοις. Τοῖς μὲν οὖν πλείω καθαρθῆναι δεομένοις διαμασᾶσθαι προσ7ακτέον· τοῖς δὲ μὴ πάνυ ἐμπράκτου, μηδὲ πολλῆς ἀποκρίσεως χρῄζουσιν ὁλοσχερεῖς καταπίνειν, καὶ μάλισ7α εἰ κακοσ7όμαχοι τύχοιεν. Πέπλιον βοτάνη ἐσ7ὶ ποικιλωτάτη τοῖς ἄνθεσιν· ταύτης τῶν ἀκρεμόνων λείων ξηρῶν ὅσον ὀβολοὺς ὀκτὼ ἐν μελικράτῳ δοτέον. Καθαίρει δὲ παραπλησίως ἐλλεβόρῳ χολήν· μάλισ7α δὲ ἁρμόζει τοῖς φυσώδεσι τῶν παθῶν ἃ δὴ μελαγχολίας κατάρχει, καὶ σπληνὸς ἐμπνευματώσεσι καὶ ὑσ7έρας καὶ κόλου, καὶ σομφοῖς οἰδήμασι περιτοναίου· πρὸς γὰρ τῷ χολὴν ἄγειν καὶ φυσῶν ἐσ7ι καταῤῥηκτικὸν ὥς που καὶ Ἱπποκράτης λέγει. Κενταύριον τὸ μικρὸν χολὴν καὶ μύξας καθαίρει· ἰδίως δὲ ἰσχιαδικοῖς ἁρμόζει. Πίνεται δὲ αὐτοῦ τὸ ἀπόζεμα ἀποζεσθὲν ὕδατι· ἔσ7ω δὲ τοῦ κενταυρίου πλῆθος ∠α'ς", τοῦ δὲ ὕδατος κοτύλη, καθηψήσθω δὲ εἰς ἥμισυ. — Ὀξύγαρον καθαρτικόν.] Σκαμμωνίας, πεπέρεως, ζιγγιβέρεως, ἡδυόσμου, σελίνου σπέρματος ἀνὰ Γο α', ὄξους, γάρου, μέλιτος ἀνὰ ℥ α'. — Κοκκία καθαρτικά.] Ἀλόης Γο α', κολοκυνθίδος ἐντεριώνης, σκαμμωνίας ∠ς', ἀγαρικοῦ ∠γ', ἀψινθίου χυλοῦ ∠β', μασ7ίχης ∠α', πεπέρεως λευκοῦ ∠δ'. Χυλῷ κράμβης ἀναλάμβανε. Ἀλόης Γο γ', σκαμμωνίας Γο α', κολοκυνθίδος ∠δ'. — Καθαρτικὸν ὀξύπορον.] Πεπέρεως, κυμίνου, πηγάνου, σκαμμωνίας ἀνὰ Γο α', νίτρου βερενικαρίου ἀνὰ Γο γ', ὄξους Γο ς', μέλιτος ⅄ α'. Ἡ δόσις κοχλιάριον ἓν μετὰ ὕδατος κυ. α'· δίδοται δὲ καὶ κατὰ αὐτὸ ὡς ἔκλειγμα. — Ἡ διὰ ὀξυμέλιτος πικρά.] Ἀλόης Γο δ', φύλλου Γο β', κόσ7ου, κασίας, ἀμώμου, ἴρεως ἀνὰ ∠α', μαράθου ῥίζης φλοιοῦ ⅄ α', μασ7ίχης, νάρδου κελτικῆς, ζιγγιβέρεως ἀνὰ ∠α', ὄξους ξέσ7ην α'ς", μέλιτος ℥ α'ς". — Μελαίνης χολῆς καθαρτικόν.] Ὕδατος ℥ γ', μέλιτος κύ. γ', ὅπερ ἐσ7ὶ ξεσ7ίου τὸ τέταρτον, ἐπιθύμου Γο α'. Κόψας σήσας ἕψε ὁμοῦ καὶ μετὰ τὸ περιλειφθῆναι τὸ τρίτον τοῦ παντὸς δίδου πίνειν πρὸς δύναμιν. Δοκεῖ δέ μοι τὸ τέταρτον διδόναι, τοῖς δὲ εὐέκτοις καὶ τὸ ἥμισυ. — Μελαίνης χολῆς καθαρτικόν.] Ἀπίου τὸ πρὸς τῇ ῥίζῃ τὸ μὲν ἄνω χολὴν μέλαιναν καθαίρει τὸ ἥμισυ, τὸ δὲ ὅλον καὶ ἄνω καὶ κάτω. — Πρὸς τοὺς ὑπερκαθαιρομένους.] Ἐπὶ τῶν ὑπερκαθαιρομένων συσ7έλλειν τὸ ποτὸν καὶ ὑπνοῦν ἐπιτρέπειν· διδόναι δὲ οἶνον αὐσ7ηρὸν ἀπα-

2. προσίσχεται Aët.; προίσχεται X Paul.

ῥάχυτον κατὰ βραχὺ μετὰ κρίσιν σὺν ὕδατι ἐπιτεταμένως θερμῷ. Καλὸν δὲ καὶ τὸ ἀδρὸν τοῦ ἀλφίτου φώξαντα ἐπιπάσσειν τῷ ποτῷ. Ἢ κωδύαν πεφωγμένην λείαν ἐμπάσσειν τῷ ποτῷ. Ποιεῖ δὲ καλῶς καὶ φακῆ ἐπτισμένη [σὺν ὄξει] καὶ σεύτλῳ μέλανι ἑψηθεῖσα, προσλαβοῦσα καὶ ῥοῦν, καὶ ἄπιοι σκληραὶ ἐκμυζώμεναι, ἢ κυδώνια, καὶ τὰ πρὸς κοιλίαν ποτιζόμενα, ἢ ὄμφακος ξηρᾶς κοπείσης καὶ σησθείσης καὶ πινομένης· ἔστω δὲ ἀμιναία ἢ ὄμφαξ ἡ ἰταλική.

πα'. Περὶ ἐμετικῶν.

Ἐμέτοις χρῶνται καὶ οἱ ὑγιαίνοντες ὑπὸ πλήθους τροφῆς βαρούμενοι καὶ οἱ νοσοῦντες ὀξέως, ἐπειδὰν ὑπὸ φλέγματος ἢ τοιούτου τινὸς ἐνοχλῶνται· ἐμετικοῖς δὲ φαρμάκοις οὔτε ὑγιαίνουσιν ἐπιτρεπτέον, οὔτε τοῖς ὀξέως νοσοῦσιν· ἐπὶ μόνων γάρ ἐστιν εὔθετα τῶν χρονίων διαθέσεων, καὶ μάλιστα τῶν ἐσκιῤῥωμένων καὶ μοχλείας ἰσχυρᾶς δεομένων· ἐξαιρέτως δὲ ἁρμόζει νεύροις κεκακωμένοις ἐν ποδάγρᾳ καὶ ἀρθρίτιδι, τρόμοις, παρέσεσιν, ἀποπληξίαις καὶ ταῖς ἀπὸ στομάχου γινομέναις ἐπιληψίαις· ταῖς γὰρ ἀπὸ κεφαλῆς οὐ κατάλληλα. Ἐπιτήδεια καὶ καχεξίαις, τοῖς τε ἐλεφαντιώδεσι, τοῖς τε ἰκτερικοῖς, καὶ ὑδρωπικοῖς τοῖς κατὰ σάρκα, καὶ ταῖς λειχηνώδεσιν ὀρθοπνοίαις, ἀσθματικοῖς, μανίᾳ, μελαγχολίᾳ, καὶ πᾶσιν ἁπλῶς ὅσα μηδεμίαν ἐναντίωσιν ἔχει πρὸς τὴν χρῆσιν τῶν ἐμετικῶν φαρμάκων· ἐναντιοῦνται δὲ αἵματος ἀναγωγῇ, πνιξὶν ὑστερικαῖς, ναυτιώδεσιν, ὑπὸ πνιγμοῦ ἐνεχομέναις οἷον συνάγχης. Τῶν δὲ ἐμετικῶν προχειρότατόν ἐστι κύπρινον· διδόναι δὲ ἀποβάπτειν τοὺς δακτύλους εἰς αὐτὸ καὶ προσάπτεσθαι τοῦ γαργαρεῶνος· κινεῖ γὰρ ἔμετον εὐτόνως. Νάρδου κελτικῆς ῥιζῶν ∠ζ', θλάσπεως σπέρματος ὀξυβάφου πλῆθος, κέστρου ῥιζῶν ∠ε' ἢ ϛ', δαφνοειδοῦς γ' φύλλα, καὶ ἄλλα πολλὰ ἅπερ ἐν ἱστορίᾳ εὑρίσκομεν, ἄνω καθαίρουσιν. Τὴν οὖν χρῆσιν τούτων ἀπαγορεύομεν μηκέτι πείρᾳ γινωσκομένην, ἀλλὰ μόνον ἱστορίᾳ κειμένην. Ῥαφανῖδες δὲ τῶν προειρημένων ἔλαττον μὲν καθαίρουσιν ἄνω, ὠφελοῦσι δὲ μᾶλλον, ὡσὰν οὐ τοῦ πλήθους τῆς ἐκκρίσεως ἀνύοντος, ἀλλὰ τῆς ποιότητος καὶ τῆς δυνάμεως αὐτῶν. Διὰ τοῦτο ὁ ἀπὸ ῥαφανίδων ἔμετος ὑπὸ πάντων τῶν ἰατρῶν ἐπὶ πάντων τῶν χρονίων νοσημάτων παραλαμβάνεται καθάπερ τις μικρὸς ἐλλεβορισμός. Δοτέον δὲ τὰς ῥαφανῖδας ἐπὶ μὲν παθῶν τῶν προειρημένων προησιτηκόσι καὶ προεμέσασι τρὶς μὲν ἢ τετράκις ἀπὸ δείπνου, νήστεσι δὲ ἅπαξ ἢ δίς. Ἔστωσαν δὲ αἱ ῥαφανῖδες δριμεῖαι σφόδρα καὶ νεαραὶ καὶ κατατετμήσθωσαν εἰς λεπτὰ πέταλα· ἀποβρεχέσθωσαν δὲ τὰ πέταλα πρὸ δύο ἢ τριῶν ὡρῶν ἐν ὀξυμέλιτι, κἄπειτα ἐσθιέτω ὅσον [ἂν] ὁ λαμβάνων δύνηται πλῆθος καὶ πλειστάκις ἐπιῤῥοφείτω τοῦ ὀξυμέλιτος· δυεῖν δὲ ὡρῶν διαγενομένων ἐν αἷς χρὴ περιπατεῖν τὸν λαβόντα, μετὰ τοῦτο χλιαρὸν ὕδωρ ἐπιπινέτω πλεῖστον ὅσον, κἄπειτα μετὰ δακτύλων ἢ πτερῶν καθέσεως ἐμείτω. Σκευάζονται δὲ καὶ ἄλλον τρόπον αἱ ῥαφανῖδες οὕτως. Ἐλλεβόρου τοῦ λευκοῦ καὶ καλοῦ ∠γ' εἰς ῥαφανῖδας καταπείρονται προδιακεντηθείσας καλάμῳ, ἔπειτα εἰς τὰ κεντήματα

1. *μετὰ κρηναίου ὕδατος* Aët.— Ib. *θερμοῦ* X. — 3. [*σὺν ὄξει*] Aët.; om. X. — 4. *ἄπιοι* Aët.; *ἄπναι* X. — 5. *ξηροῦ κοπεντος καὶ σεισθέντος* X. — Ch. 81, l. 28. *νηστικοῖς* X.— 31. [*ἂν*] om. X.— 33. *ἐμείτω* Aët.; *ἐμεῖν* X.

καθιεμένων τῶν τοῦ ἐλλεβόρου ῥιζῶν· ἄλλως γὰρ ἀδύνατον μαλακὰ ὄντα τὰ ῥιζία τοῦ ἐλλεβόρου αἰφνίδιον καταπαρῆναι· ἐμμένοντα δὲ νύκτα ἐν ταῖς ῥαφανῖσιν αὐτὰ μὲν ῥίπΊονται, αἱ δὲ ῥαφανῖδες κατατμηθεῖσαι εἰς πέταλα προαποβρέχονται ὡς προείρηται καὶ ὡσαύτως δίδονται, ὥσΊε τοῦτον τὸν ἔμετον μικτὸν καὶ οἰκειότατον τῷ ἐλλεβορισμῷ γίνεσθαι.

πβʹ. Περὶ ἀνωδύνων.

Ἀνωδύνοις ὕπνου μὲν ἕνεκα χρησΊέον τοῖς τε περιχρίσΊοις καὶ τοῖς καθιεμένοις εἰς τὰ ὦτα καὶ τὴν ἕδραν καὶ τοῖς ἐπιτιθεμένοις θώρακι καὶ κοιλίᾳ· πρὸς δὲ τὴν εὐκαιρίαν ἐπιτήδειος ἡ ἑσπέρα· εἰ δὲ καὶ τὰ ποτὰ προσαγάγοιμεν, βελτίους πάντων αἱ ἀντίδοτοι ἥ τε Φίλωνος καὶ ἡ διὰ δύο πεπέρεων· μήτε δὲ ἀρχομένων τῶν παθῶν, μήτε ἐν αὐξήσει ὄντων, ἀλλὰ μάλισΊα μὲν ἐν παρακμῇ· εἰ δὲ ἐπείγοι, καὶ ἐν ἀκμῇ. Τὰ δὲ πρὸς βῆχα καὶ δύσπνοιαν ἄρισΊον ἔχει καιρὸν τὸν μετὰ μέσην νύκτα· εἰ δὲ ἐπείγοι, τὸν μετὰ τὴν ἑσπέραν· τὰ δὲ διὰ ὀδύνην ἢ σπασμοὺς ἢ λυγμοὺς τὸν ἐν ἀκμῇ τῶν συμπΊωμάτων, κατὰ ὃν ἂν γίνηται χρόνον. Τοῖς δὲ διὰ ἕλκωσιν ἢ ῥευματισμὸν ἢ ἐποχὴν κοιλίας δοτέον πρὸ μιᾶς ὥρας τῆς τροφῆς μετὰ τὴν τοῦ σώματος ἐπιμέλειαν· τινὰ δὲ καὶ ἐν μέσῃ τῇ τροφῇ· ἐπιμιγνύμενα γὰρ τοῖς σιτίοις εἰς τὴν ἰδίαν δύναμιν μεταβάλλει, ἐάν τε καθαρτικὰ, εἰ οὕτω τύχοι, ᾖ, ἢ ἐφεκτικὰ, ἢ ἐκκριτικὰ, τὰ αὐτὰ ποιοῦσι μετὰ τοῦ καὶ, εἴ τινες ἄρα ἐκ τῶν Φαρμάκων συμβαίνοιεν κακώσεις, ἀμβλύνεσθαι. Τὰ δὲ πρὸς ῥίγη ἢ πυρετοὺς διδόμενα πρὸ δυεῖν ἢ τριῶν ὡρῶν προσφερέσθω. Δεῖ μέντοι πάντας τοὺς λαμβάνοντας ἠρεμεῖν τινα χρόνον κατακειμένους ἢ καθεζομένους· εἰ δὲ μὴ ἐπείγοιεν οἱ καιροὶ, δοτέον ἐπὶ τρεῖς ἢ πέντε ἡμέρας, εἶτα διαλιμπάνειν τὰς ἴσας καὶ πάλιν προσφέρειν· τὰ γὰρ ἐν ἔθει ἀναλογεῖ τοῖς κατὰ Φύσιν διαιτήμασιν. Διὰ τοῦτο καὶ τὰ ὠφέλιμα ἔλατΊον ὠφελεῖ, καὶ τὰ βλαβερὰ ἔλατΊον βλάπΊει. Παρασημειωτέον δὲ ὅτι τὰ ἀνώδυνα μὲν πρὸς τὰς ἀρχὰς τοῦ σΊομάχου καθάπΊεσθαι εἴωθεν, ἐθισθέντα δὲ ἀβλαβῆ τε καὶ ἴδια γίνεται. — Ἀνώδυνον ὑπνωτικὸν ἀναξηραντικὸν τροχισκάριον τρίγωνον ποιοῦν πρός τε κατασΊαγμὸν, βῆχας, ὀφθαλμῶν ῥεύματα, πρός τε τοὺς τὴν τροφὴν ἀποῤῥίπΊοντας, κοιλιακοὺς, δυσεντερικούς.] Σελίνου σπέρματος, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ∠ηʹ, ἀνίσου ∠δʹ, ὀπίου ∠αʹ. Ὕδατι χλιαρῷ λεάνας πλάσσε τροχίσκους κυαμιαίους, δίδου αʹ ἢ βʹ. — Ὁ διὰ σπερμάτων τροχίσκος.] Ἀνίσου, μαράθου, ὑοσκυάμου σπέρματος ἀνὰ ∠ϛʹ, σελίνου σπέρματος, ἄμμεως ἀνὰ ∠γʹ, ὀπίου δραχμαὶ δʹ. Ὕδατι χλιαρῷ λειοτριβήσας πλάσσε τροχίσκους θέρμων μεγέθη ἔχοντας, καὶ δίδου ὀφθαλμιῶσι μετὰ ὕδατος, δυσπνοοῦσι μετὰ ὀξυμέλιτος· εἰ δὲ πυρέτΊοιεν, διὰ ὑδρομέλιτος, κοιλιακοῖς καὶ δυσεντερικοῖς μὲν διὰ οἴνου κράματος, ἢ ῥοὸς ἀφεψήματος, ἢ ἑλίκων ἀμπέλου, πυρέσσουσι δὲ διὰ ἀφεψήματος κυδωνίων μήλων, ἢ μεσπίλων, ἢ βραβύλων, ἢ Φοινικοβαλάνων, σΊομαχικοῖς μετὰ χυλοῦ ῥοιᾶς ὀξείας ἢ σέρεως, τοῖς δὲ ὑπὸ δριμέος χυμοῦ ῥευματιζομένοις μετὰ γλυκέος. Ἐν ἄλλῳ ὁ διὰ σπερμάτων οὕτως ἔχει. Σελίνου σπέρματος ∠κʹ, ἀνίσου ∠ιϛʹ, ἄμμεως ∠ιϛʹ, ὑοσκυάμου, μαράθου ἀνὰ ∠ιβʹ, ὀπίου ∠ηʹ. Πλάσσε τροχίσκους δραχμιαίους καὶ ὀβολῶν δʹ καὶ γʹ, καὶ δίδου ἐν ποτῷ ὡς

Ch. 82, l. 16. τὰ *αὐτὰ ποιοῦσι* conj.; *αὐτὰ ποιοῦσα* X.

προείρηται, καὶ ἐπὶ τῶν δραστικωτέρων δυσεντερικῶν ἐνεμάτων πρόσπλεκε αὐτό. — Ἀνώδυνον πρός τε ἧπαρ καὶ λυγμοὺς καὶ στρόφους κοιλιακοὺς καὶ τὰ πρὸ τῶν πυρετῶν ῥίγη, ὑστερικὰς πνίγας, τεταρταίους, ὑποχονδρίων πόνους καὶ εἰς ὄμματα ῥευματιζομένους.] Σελίνου σπέρματος ∠η', ἀνίσου ∠δ', καστορίου ∠β', ὀπίου ∠β', σμύρνης ∠β', πεπέρεως ∠α'. Πλάσσε τροχίσκους ἄγοντας ἀνὰ ∠α', καὶ δίδου κοιλιακοῖς μετὰ οἴνου, τοῖς δὲ λοιποῖς μετὰ μελικράτου, περιωδυνῶσι μετὰ γλυκέος. — *Ὑπνωτικόν.*] Καρδαμώμου ∠η', πεπέρεως κόκκοι μ', σαγαπηνοῦ ∠δ', καστορίου ∠β', ὀπίου ∠β'. Ἡ δόσις ὡς δύο ὄροβοι. — *Περὶ ἀγρυπνίας.*] Πρόσταξον τρίψιν εἰς τοὺς πόδας καὶ κλύσμα τῆς κάτω γαστρὸς ἤγουν ἔνεμα καὶ νίμμα προσώπου ἀπὸ τοῦ ζωμοῦ τῶν κωδυῶν καὶ ἀνακόλλημα ἀπὸ τοῦ τροχίσκου τοῦ διὰ σπερμάτων, ἢ ὀπίου μετὰ τοῦ σπέρματος τῶν κωδυῶν· ἢ θριδακίνης σπέρμα· ἀναλάμβανε δὲ ταῦτα μετὰ κρόκων ᾠοῦ καὶ οὕτως ἐπίχριε εἰς τὰς ῥῖνας καὶ εἰς τὸ μέτωπον, εἴς τε τὰ ὦτα καὶ τὴν κοιλίαν καὶ θώρακα. — *Ὑπνωτικὰ κοκκία βηχικοῖς.*] Ὀπίου, χαλβάνης, στύρακος, σμύρνης, κρόκου ἴσα· δίδου ὀροβιαῖα κοκκία γ' ἢ δ' χωρὶς ποτοῦ. — *Ἡ διὰ δύο πεπέρεων λεξιπύρετος.*] Κινναμώμου, καστορίου, ὀπίου ἀνὰ ∠ς', σμύρνης, κόστου, πεπέρεως λευκοῦ καὶ μακροῦ, χαλβάνης ἀνὰ ∠γ', κρόκου ∠β'. Ἀναλάμβανε μέλιτι ἀπέφθῳ καὶ δίδου κυάμου μέγεθος. — *Ἡ Φιλώνειος.*] Πεπέρεως λευκοῦ ∠κ', ὑοσκυάμου σπέρματος ∠κ', ὀπίου ∠ι', κρόκου ∠ε', πυρέθρου, εὐφορβίου, ναρδοστάχυος ἀνὰ ∠α', μέλιτος ἀττικοῦ ἢ ἄλλου ἀπέφθου τὸ ἀρκοῦν. Ἀναλάμβανε, δίδου ποντικοῦ καρύου τὸ μέγεθος τελείοις, ὑποδεεστέροις δὲ κυάμου, παισὶ δὲ ἐρεβίνθου, ἡπατικοῖς διὰ ἀφεψήματος πολίου ἢ διὰ ὀξυμέλιτος, σπληνικοῖς διὰ ἀφεψήματος χαμαιπίτυος, ἢ καππάρεως ῥιζῶν ἐν ὀξυκράτῳ εἰς ἀποτρίτωσιν ἑψηθεισῶν, λιθιῶσι διὰ ἀφεψήματος σελίνου ἢ πετροσελίνου, τοῖς δὲ στραγγουριῶσι μαράθου ἀφεψήματι, δυσπνοϊκοῖς καὶ ἀσθματικοῖς μετὰ ὄξους σκιλλιτικοῦ κοχλιαρίων δ', φθισικοῖς ἐν πτισάνης χυλῷ καὶ βηχικοῖς ὁμοίως, πλευριτικοῖς μετὰ ἀφεψήματος χαμαιπίτυος, αἱμοπτοϊκοῖς μετὰ ὀξυκράτου, πρὸς δὲ τὰ ἐντὸς πάντα μετὰ ὑδρομέλιτος. Τὸ δὲ πλῆθος τοῦ ποτοῦ ἤτοι ἀφεψήματος ἔστωσαν κύ. γ'. — *Περὶ τῆς ἀθανασίας ἀντιδότου. Ἀθανασία ἀνώδυνος πλευριτική.*] Κασίας, ναρδοστάχυος, ἀμώμου, κρόκου, ὀπίου, στύρακος, κόστου, σμύρνης ἀνὰ ∠α', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Ἡ δόσις ὡς ἡ Φιλώνειος. — *Ἡ θεσπεσιανὴ πρὸς τὰς ἐν κατακαλύψει ἀποστάσεις καθόλου καὶ πύον ἀνάγοντας καὶ πρὸς δυσεντερικούς.*] Δαύκου, σίνωνος, ἴρεως ἰλλυρικῆς ἀνὰ ∠ζ, σελίνου σπέρματος, μελανθίου, ὀπίου ἀνὰ ∠γ', καστορίου ∠β', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Δίδου καρύου ποντικοῦ τὸ μέγεθος. — *Ὑπνωτικὸν μάλιστα τοῖς θώρακα ῥευματιζομένοις καὶ βήσσουσιν.*] Σμύρνης ∠β', κρόκου ∠γ', ὀπίου ∠γ', ἀνίσου ∠δ', δαύκου σπέρματος ∠δ', στύρακος ∠δ', ὑοσκυάμου σπέρματος ∠ς'. Γλυκεῖ λειώσας ἢ ὕδατι χλιαρῷ πλάσσε τροχίσκους ἀνὰ τριώβολον· δίδου ἕνα εἰς κοίτην. — *Ἀντίδοτος ἡ παιωνία.*] Πεπέρεως μέλανος ∠η', πεπέρεως λευκοῦ ∠ς', μακροῦ ∠ς', ὑοσκυάμου σπέρματος ∠κδ', λιβάνου, κρόκου, ῥέου ἀνὰ ∠ιβ', φύλλου ∠ιβ', ὀπίου ∠κδ', ἀμώμου ∠ι', στύρακος ∠ς', σμύρνης ∠η', κόστου ∠η', καστορίου ∠η', ναρδοστάχυος ∠ς', πυρέθρου ∠ς', εὐφορβίου ∠ε', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις εἰς νύκτα κυάμου μέγεθος.

ϖγ'. Περὶ ἑδρικῶν.

Πρὸς φλεγμονὰς δακτυλίου ψιμυθίου Γο δ', ϖομφόλυγος Γο α', ἢ καδμείας ἀπαλῆς, λιβάνου Γο α', σέρεως χυλοῦ κο. α'. Λεῖον ἐπιβάλλων κατὰ βραχὺ τὸν χυλὸν ἕως ἀναλωθῇ, εἶτα ϖοιήσας κηρωτὴν ἐξ ἐλαίου ῥοδίνου ⅄ α' καὶ κηροῦ Γο ϛ' καὶ ἀναξύσας μίγνυε μαλάσσων εὐτόνως. Ἔνιε δὲ διὰ ϖυουλκοῦ καὶ ἐπάνω ἔμπλασμα θεὶς καὶ ἔριον ἐπίδει. Ποιεῖ δὲ καὶ ϖρὸς ῥαγάδας φλεγμαινούσας καὶ τὰς μετὰ ϖυρώσεως ἢ δηγμοῦ ἐν ἕδρᾳ ἑλκώσεις. — Ἄλλο.] Μυρσινίνου κο. α', ψιμυθίου Γο δ', λιβάνου Γο β'. Ἑψήσας τὸ ψιμύθιον μέχρι μελιτώδους συσΊάσεως ἐπίχει ϖρολελειασμένων τῶν δύο. — Ἑδρικὸν κατουλοῦν.] Κηροῦ Γο β', καδμείας τρὶς κεκαυμένης Γο β', ψιμυθίου Γο α', μολίβδου κεκαυμένου ϖεπλυμένου Γο α', μυρσινίνου ⅄ α'. Οἴνῳ λεῖου τὰ ξηρὰ ἐπὶ ἱκανὰς ἡμέρας καὶ χρῶ. — Πρὸς ῥαγάδας καὶ φλεγμονὰς ἐν ἕδρᾳ καὶ αἰδοίῳ καὶ κονδυλώματα.] Ψιμυθίου Γο ε', λιθαργύρου Γο β' s", λιβανωτοῦ, σκωρίας μολίβδου, σΊυπτηρίας σχισΊῆς ἀνὰ Γο β'. Οἴνῳ ἀθαλάσσῳ λειώσας μίγνυε ῥοδίνῳ ἢ μυρσινίνῳ. Ποιεῖ ϖρὸς τὰ ῥυπαρὰ ἕλκη ἐν ἕδρᾳ, μάλισΊα ϖερὶ τὴν τῆς βαλάνου σΊεφάνην καὶ τὴν ϖόσθην ἃ μήτε ὑπὸ τῶν ἐμμότων καθαίρεται καὶ ὑπὸ τῶν ϖρὸς νομὰς ϖαροξύνεται, ἢ ὅταν ἀποσύρειν μὴ δύνωνται. — Πρὸς ῥαγάδας ἀπουλωτικὸν ξηρόν.] Λίθου Φρυγίου, καδμείας, ψιμυθίου, ἀλόης, λιβάνου ἀνὰ ∠δ', λεπίδος, διφρυγοῦς ἀνὰ ∠δ'. Λεῖου ἐπιμελῶς. — Ὁ διὰ ἁλικακκάβων τροχίσκος ϖρὸς ῥαγάδας καὶ κονδυλώματα, μυρμηκίας τε καὶ θύμους καὶ ϖάσας ὑπεροχὰς καὶ ϖαρωνυχίας καὶ ἐρυσιπέλατα καὶ ὦτα ϖυοῤῥοοῦντα καὶ χείλη ἐῤῥωγότα καὶ ϖέλματα.] Ψιμυθίου ∠ιϛ', λιθαργύρου ∠ιβ', ἁλικακκάβου ῥίζης φλοιοῦ ξηροῦ ∠ιβ', χαλκάνθου ∠β', σΊυπτηρίας σχισΊῆς ∠β', σινωπίδος ∠β'. Ὄξει λεῖου· ϖρὸς δὲ τὴν χρείαν ἐπὶ ἑκάσΊου ϖάθους καταλλήλως ἀνεὶς ἐπίχριε. — Ἑδρικὸν ἡ ἀμβροσία.] Κηροῦ, μέλιτος, ῥοδίνου, λιθαργύρου, ψιμυθίου, σΊέατος αἰγείου, βουτύρου ἀνὰ Γο γ', λιβάνου Γο α'. — Δακτυλικὴ ῥαγάσι καὶ κονδυλώμασι τοῖς μετὰ χειρουργίαν.] Λιβάνου Γο α', λιθαργύρου, ψιμυθίου, καδμείας ἀνὰ Γο α', σΊυπτηρίας σχισΊῆς, κρόκου, ἀλόης, μίσυος ὀπτοῦ ἀνὰ Γο β'. Λεῖου οἴνῳ σΊύφοντι ἕως ἀναλωθῇ δικοτύλιον καὶ μιγνὺς μυρσινίνου ⅄ α' χρῶ. — Πρὸς κονδυλώματα.] Χαλκίτεως, οἰσύπου, μυελοῦ ἐλαφείου, βάτου φύλλων ἀνὰ Γο β'. Μετὰ κηρωτῆς χρῶ. — Πρὸς αἱμοῤῥοΐδας. Πρόσκλυσμα αἱμοῤῥοΐδων.] Ἐν ὕδατος κοτύλαις η' ἕψεται ἀκάνθης αἰγυπΊίας, ἀρτεμισίας ἀνὰ Γο ε', ἀκτῆς φύλλων Γο ε', σιδηρίτιδος Γο δ', ἕως ἀπολειφθῇ τὸ ἥμισυ τοῦ ὕδατος· μετὰ δὲ τὴν ἕψησιν τούτων αἱ μὲν βοτάναι ῥίπΊονται, τῷ δὲ ὕδατι μίγνυται ξηρὰ ταῦτα. Μελαντηρίας ∠ι', σΊυπΊηρίας σΊρογγύλης ∠κθ', λιθαργύρου ∠δ', κηκῖδος ∠γ', μίσυος ∠β', σώρεως ∠β'. Λύσας τὸ ξηρὸν ἐν τῷ ἀφεψήματι καταιόνησον ἑπΊάκις τῆς ἡμέρας ἐξ ὡριαίου διασΊήματος, τῇ δὲ ἐπιούσῃ ἕτερον ὁμοίως σκευάσας καταιόνα, καὶ τῇ τρίτῃ ἄλλο σκευάσας ὁμοίως ϖοίει. Εἰ δὲ ἐπιμένοι τι λείψανον, τῇ τετάρτῃ κατακεντήσας τὰς αἱμοῤῥοΐδας, εἰ αἰσθάνοιτο ἢ αἱμάσσοι, τὸ μὲν ἀφέψημα ὁμοίως ϖοίει, τοῦ δὲ ξηροῦ τὸ ἥμισυ μίσγε, καταιονήσας δὲ ϖαράπΊου τῷ ξηρῷ ἵνα ἀκριβῶς κανθῶσι,

Ch. 83, l. 34. ἐπιμείνοι X.

διὰ δὲ τὴν φλεγμονὴν ἄρτῳ ἔξωθεν κατάπλασσε. Τοῦτο καίει ταχέως, τῷ δὲ καταπλάσματι ἐντὸς τῆς ζ' ἀποπίπτουσιν αἱ ἐσχάραι.

πδ'. Περὶ αἰδοιικῶν.

Τὸ τέταρτον ἐν τοῖς ἑδρικοῖς ποιεῖ πρός τε ῥαγάδας τὰς περὶ τὴν πόσθην καὶ τὰ περὶ τὴν στεφάνην ῥυπαρὰ ἕλκη, καὶ μάλιστα ὅταν ἀποσύρειν μὴ δύνωνται, ἀνίεται δὲ τὰ ξηρὰ οἰνελαίῳ. — Ἄλλο εἰς τὰ αὐτά.] Λίθου Φρυγίου κεκαυμένου τρὶς καὶ ἐσϐεσμένου τὸ μὲν πρῶτον βουτύρῳ ἢ ῥοδίνῳ, τὸ δὲ δεύτερον οἴνῳ, τὸ δὲ τρίτον μέλιτι Γο β', ῥόδων ἄνθους Γο α', σιδίων Γο δ'. — Τὸ διὰ χάρτου πρὸς νομάς.] Λεπίδος χαλκοῦ Γο α's", χάρτου κεκαυμένου Γο α', ἀρσενικοῦ, σχιστῆς ∠ς', θείου ἀπύρου ∠ς', μολίϐδου κεκαυμένου ∠γ'. Ἐπὶ τῶν νομῶν ξηρὸν ἔμπασσε, ἢ μότῳ ἐπίχριε μέλιτι μίξας καὶ βραχεῖ ῥοδίνου. Εἰ δὲ ἐπιπόλαιοι εἶεν αἱ νομαί, μόνῳ ῥοδίνῳ φυρῶν τὸ ξηρὸν ἐπιτίθει. Καθόλου δὲ πᾶσαν νομὴν καὶ τὴν ἐπὶ αὐτῶν φλεγμονὴν κατάπλασσε φακῷ ἑφθῷ μετὰ σιδίων σὺν μέλιτι καὶ βραχεῖ ῥοδίνῳ· εἰ δὲ σφόδρα φλεγμαίνοι, φακῷ ἑφθῷ μετὰ ἄρτου βεϐρεγμένῳ ἤτοι τὸ ἴσον, ἢ τὸ τρίτον, ἢ τὸ ἥμισυ. — Κόραξ πρὸς νομὰς τὸ διὰ ὀξυμέλιτος.] Κηκίδων Γο β', λεπίδος Γο α's", χαλκίτεως, λιϐάνου ἀνὰ Γο α'. Λείου ὄξει ἐπὶ ἱκανὰς ἡμέρας, καὶ ἐπὶ τέλει μῖξον μέλιτος Γο ε', χωρὶς δὲ ποιήσας κηρωτὴν ἀπὸ μυρσινίνου Γο ιη' καὶ ταυρείου στέατος Γο η' καὶ κηροῦ Γο δ' καὶ τερεϐινθίνης Γο α' μίξας συλλέαινε καὶ χρῶ ὡς τὸ διὰ χάρτου, διά τε πυουλκοῦ ἐνιε καὶ διὰ μότου παρατιθείς, ἐπάνωθεν δὲ καταπλάσσων ἢ κηρωτὴν ἐπιτιθεὶς ἔχουσαν κηκῖδος βραχὺ ἢ σιδίων, ἢ σπόγγον καὶ πόλτον ἐξ οἴνου. — Ῥαγάσιν, ἕλκεσιν αἰδοίων αὐτομάτοις.] Ἀλόην ξηρὰν ἐπίπασσε· εἰ δὲ στύφοιτο, μίγνυε καδμείας τρὶς κεκαυμένης τὸ ἴσον, ἢ πλέον, ἢ ἔλαττον. — Ῥαγάσι δακτυλίου, αἰδοίου γυναικείου, ἢ πόσθης.] Ψιμυθίου, μολιϐδαίνης, κηκῖδος, μυρσίνης ἢ σμύρνης ἴσα. Ξηρῷ χρῶ, ἢ μετὰ οἴνου. — Θύμων ἐν αἰδοίοις ξυράφιον.] Χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ ἀνὰ Γο α's", στυπτηρίας σχιστῆς Γο α', λεπίδος χαλκοῦ Γο β'. Ξηρὸν ἐπίπασσε προϋγράνας οἴνῳ τοὺς τόπους. — Θαυμαστὸν πρὸς νομὰς αἰδοίων.] Χαλκῖτιν καύσας χρῶ ξηρῷ. — Ἄλλο.] Ῥόδων ἄνθους Γο β', ἀλόης Γο α'. Ξηρὸν προαποπλύνας οἴνῳ ἐπίπασσε.

πε'. Περὶ τοῦ εἰς ὄσχεον κατολισθήσαντος ἐντέρου καὶ μέλλοντος εἰλεὸν ἀπεργάζεσθαι.

Πειρατέον εὐθὺς σχηματίσαντας αὐτοὺς ἀναῤῥεπεῖς ἀναθλίϐειν εἰς βουϐῶνας τὰ κατολισθήσαντα τῶν ἐντέρων· γενόμενα δὲ ἐπὶ χώραν ἐπιδέσμοις παρακρατητέον. Εἰ δὲ περιῳδηκότων ἤδη μετὰ φλεγμονῆς τῶν περὶ τὸν ὄσχεον τόπων στρόφοι καὶ ἐμπνευματώσεις γίνοιντο, τὴν ἀνάθλιψιν παραιτησόμεθα· μείζονος γὰρ ἐστὶ φλεγμονῆς αἰτία· φλεϐοτομήσομεν δὲ καὶ συστελοῦμεν ἄχρι τῆς πρώτης διατρίτου, ἐμβρέχοντες τὰ περὶ τὸν ὄσχεον κατὰ μὲν τὰς ἀρχὰς οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου, ὕστερον δὲ καταπλάσσοντες καὶ κατασχάζοντες κατὰ κύκλον τὰ περιοιδοῦντα τῶν μερῶν·

Ch. 84, l. 22. μυρσίνης ἢ om. Aët. — Ch. 85, l. 28. χώρας Aët. — 33. περιοιδοῦντα τῶν ex em.; περιοιδούντων X; περιῳδηκότα τῶν Aët.

ἀμεληθέντα γὰρ κατὰ νέκρωσιν ἀναιρεῖ πολλάκις. Παρακμῆς δὲ γενομένης κηρωταῖς χρησίέον καὶ τῇ Μνασέου ἀνιεμένῃ, ἐπιδέσει δὲ χρησόμεθα ἐπὶ πλείους ἡμέρας. — Ἀνακόλλημα ἐντέρων.] Σιδίων ∠ι', κηκῖδος ὀμφακίτιδος ∠ε'. Ἑψήσας ἐν οἴνῳ αὐσίηρῷ κυάθους τρεῖς λειώνας τε ἐπιτίθει προαναθλίψας τὸ ἔντερον καὶ προκαταντλήσας ὕδατι ψυχρῷ, εἰ μὴ χειμὼν εἴη παγετώδης, ἐπίλυε δὲ διὰ ἡμερῶν ι', μένοντος ἐπὶ κλίνης τοῦ θεραπευομένου ἐπὶ ἡμέρας λ', καὶ πίνοντος κυπαρίσσου ἀφέψημα μετὰ οἴνου. Τὸ δὲ φάρμακον ἐπὶ παίδων ποιεῖ. Ἐν ἄλλῳ ἀντιγράφῳ πότιζε, φησί, σφαιρίων κυπαρίσσου τριώβολον ἐν κράματι. — Ἄλλο ἀνακόλλημα ἐντέρων.] Κηροῦ, πιτυίνης, πίσσης, ἀσφάλτου, θείου ἀπύρου ἴσα. Προαναθλίψας ἐπιτίθει καὶ ἐπάνω σπλήγμα καὶ ἐπίδεσμον. — Ἄλλο.] Κηροῦ ∠η', ταυροκόλλης ∠ς', ἀλόης ∠ε', τερεβινθίνης ∠γ', ἀσφάλτου ∠γ', μάννης τριώβολον χειμῶνος καὶ μυρσινίνου κοχλιάριον. Τερεβινθίνης Γο α'ς", κηροῦ, λιβάνου, σμύρνης, ἰχθυοκόλλης, κοχλιῶν ὀσίρακων, μαρμάρου ἀνὰ Γο α'. Τὴν ἰχθυοκόλλαν ὄξει πρόβρεχε ἐπὶ ἡμέρας γ' καὶ λεάνας καὶ ἑψήσας καὶ πάλιν λειῶν ἀνάλαβε αὐτῇ τὰ λοιπά. — Ἐντεροκήλαις διὰ ἰξοῦ.] Πίσσης ξηρᾶς, τερεβινθίνης ἀνὰ λ° α', κολοφωνίας Γο β', ἰξοῦ δρυΐνου Γδ ς', προπόλεως Γο δ', χαλβάνης Γο β'. Τήκεται ἅμα πίσσα, κολοφωνία, τερεβινθίνη, εἶτα οὕτως ἐπιβάλλεται ὁ ἰξὸς καὶ ταχέως ἀρθέντα ἀπὸ τοῦ πυρὸς σπαθίζεται ἕως ψυγῇ. Ποιεῖ καὶ πρὸς χοιράδας, μελικηρίδας, ἀποσίήματα ἢ βουβῶνας ἢ τράχηλον· ἐξικοῖ γὰρ καὶ παρακολλᾷ· ποιεῖ καὶ ἐπὶ ἄρθρων ἐψυγμένων. Κηροῦ, κηκίδων, σιδίων, ἀκάνθης αἰγυπίίας. Ἀναλάμβανε ὑγρᾷ πίσσῃ καὶ χρῶ. — Πρὸς ὑδροκήλας.] Ἄσβεσίον γλοιῷ ἀναλαβὼν ἐπιτίθει [σὺν] κηρωτῇ, καὶ βραχὺ νίτρου μίξας τῇ ἀσβέσίῳ. Ποιοῦσι καὶ αἱ ἐπισπασίικαί. — Πρὸς ὑδροκηλικούς.] Ῥίζας κράμβης καύσας ἀνάλαβε τὴν σποδιὰν σίέατι χοιρείῳ παλαιῷ τετηκότι καὶ ἐμπλάσας ἐπιτίθει, ἐπίλυε δὲ διὰ γ' ἡμερῶν. Πρὸς δὲ τὸ μὴ πάλιν συλλογὴν ὑγροῦ γενέσθαι χρῶ μαλάγματι τούτῳ. Κηροῦ λ β', πίσσης ξηρᾶς Γο θ', ἀμμωνιακοῦ θυμιάματος Γο κα', σίυπίηρίας ὑγρᾶς Γο α'ς" ἢ καὶ β'. Ποιεῖ εἰς τοῦτο καὶ ἡ διὰ αἰρῶν· ἔσίι δὲ αὕτη. — Ἡ διὰ αἰρῶν.] Πίσσης λ β', πιτυίνης ξηρᾶς Γο θ', κηροῦ λευκοῦ Γο γ', κοινοῦ Γο γ', ἐλαίου παλαιοῦ Γο ε', ἀσφάλτου Γο β'ς", αἰρῶν ἀλεύρου λεπίοτάτου ἡμιχοινίκιον, ὅ ἐσίιν Γο ιδ'. Τοῖς τηκτοῖς ἐπαρθέντων ἐκ τοῦ πυρὸς ἐμπάσσεται ἡ ἄσφαλτος λειοτάτη· χλιαροῖς δὲ γενομένοις τὸ αἴρινον, καὶ ἐπιῤῥαίνεται ὄξος δριμὺ Γο δ'. Ποιεῖ καὶ πρὸς τὰς ἐν μασθοῖς κακοήθεις σκληρίας· ἔσίι δὲ πάνυ ξηραντικὴ καὶ ἀνώδυνος. — Πρὸς ὀρχεων φλεγμονάς.] Κηροῦ, πιτυίνης, ἀνηθίνου ἐλαίου, ναρκισσίνου ἀνὰ Γο ι', κυμίνου λειοτάτου Γο ε', ὀνίδας ε'. Καὶ τὰς ὀνίδας ξηρὰς μὲν κόπίε καὶ σῆθε, νεαρὰς δὲ συλλέαινε τῷ κυμίνῳ καὶ ἀναξύσας τὴν κηρωτὴν ἀναμάλασσε ἅμα πάντα καὶ χρῶ ἐμπλάσσων, ἄνωθεν δὲ τοῦ ἐμπλάσματος ἐρίοις χρῶ ἐλαίῳ ναρκισσίνῳ δεδευμένοις, ἢ μηλίνῳ ἢ ῥοδίνῳ. — Ἄλλο.] Κύμινον κηρωτῇ ἀναλαβὼν χρῶ· ἢ σίαφίδι ἄνευ τῶν γιγάρτων διπλάσιον ἀναλαβὼν λεῖον κύμινον, ἢ λινόσπερμον ἐν κράματι ἑφθῷ· ἢ τήλινον σὺν μελικράτῳ· ἢ κρίνου ῥίζαν ἐν οἴνῳ, καὶ λεάνας μίσγε βραχὺ μέλιτος. Ποιεῖ καὶ ἡ δύναμις αὕτη. Σταφίδος ἄνευ γιγάρτων ∠κε', κυμίνου ὀξύβαφον, πιτυίνης ἴσον. Δοκεῖ δέ μοι πιτυίνης Γο γ', μέλιτος τὸ αὔταρκες.

20. [σύν] Paul.; om. X.

Χρονίου δὲ οὔσης τῆς σκληρίας, σικύου ἀγρίου ῥίζαν ἑψήσας ἐν μελικράτῳ καὶ λειοτριβήσας κατάπλασσε μετὰ ὀροβίνου ἀλεύρου. — Ἄλλο εἰς ὄρχεων φλεγμονάς.] Ἠριγέροντα χλωρὸν κατάπλασσε, ἢ κολίανδρον χλωρὸν μετὰ σταφίδων, ἕκαστον ἐξῃρημένον τὰ γίγαρτα, ἢ ἐρεβίνθων ἄλευρον σὺν μελικράτῳ ἑφθῷ, ἢ κολόκυνθα ὠμὴ ἢ κυδώνια ἑφθά. Φλεβοτομία ἀπὸ σφυροῦ βοήθημα ὄρχεων φλεγμαινόντων. — Πρὸς κνησμοὺς περὶ ὄρχεις.] Νίτρου, σταφίδος ἀγρίας, στυπτηρίας ὑγρᾶς. Ὄξει λειοτριβήσας καὶ ῥοδίνῳ κατάχριε ἐν βαλανείῳ, μετὰ δὲ τὸ λούσασθαι ἐπικαταχριέσθω ᾠοῦ τὸ λευκὸν μετὰ μέλιτος. — Ἄλλο.] Τρύγα ὄξους ξηρὰν οἴνῳ φυράσας χρῶ ὥσπερ τῷ προτέρῳ καὶ μετὰ ταῦτα ᾠοῦ τὸ λευκὸν ἐπίχριε.

πϛʹ. Περὶ ἰσχαίμων.

Μάννα λιβανωτοῦ ἐμπασσομένη ἐπέχει αἱμορραγίας, ἢ λιβανωτός, μᾶλλον δὲ ὁ κεκαυμένος. Μήνιγγος αἱμορραγούσης χρηστέον λιβανωτῷ, ἢ σαμίᾳ γῇ ἀστέρι λεγομένῃ. Ὀφθαλμῶν αἱμορραγούντων ὕδωρ ψυχρὸν ἐγχυματιστέον καὶ τὰς διὰ κολλυρίων ἐγχύσεις ψυχρὰς προσοιστέον· ἁρμόζει δὲ πάντων μᾶλλον τό τε ἡμέτερον χιακὸν καὶ τὸ διὰ θαλλίας, τό τε διὰ ἐρείκης καὶ τὰ διὰ ῥόδων. — Ἡ ῥοδία ἴσχαιμος.] Κηκῖδος ὠμῆς ∠λβʹ, κηκῖδος κεκαυμένης καὶ ἐσβεσμένης οἴνῳ σποδιᾶς ∠ιβʹ, λεπίδος χαλκοῦ, εἴτε μέλανος, ἢ ἐρυθροῦ ∠μηʹ, χαλκάνθου ∠κδʹ, στυπτηρίας σχιστῆς ∠ιϛʹ. Λείου μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας. Ποιεῖ δὲ καὶ πρὸς νομὰς καὶ ἐπουλίδας, καταστέλλει καὶ τὰ ὑπερσαρκοῦντα, χνοῦς δὲ διὰ μήλης στιμμιζόμενος κατουλοῖ. — Ἄλλο ἴσχαιμον.] Μίσυος ὠμοῦ ℥ αʹ, πολυγόνου χυλοῦ ξηροῦ ℥ αʹ, στυπτηρίας σχιστῆς Γο γʹ. Ὄξει συλλεάνας ποίει τροχίσκους, πρὸς δὲ τὴν χρείαν ὄξει λύσας βρέχε σπόγγον καὶ ἐπιτίθει τῷ αἱμορραγοῦντι ἕλκει. — Ἄλλο ῥᾳδίως κατέχον αἱμορραγίας.] Χαλκίτεως ∠κʹ, λιβανωτοῦ ἢ μάννης ∠ιϛʹ, ῥητίνης ξηρᾶς ∠ηʹ, γύψου προσφάτου ∠ηʹ. Τὰ μὲν ἄλλα κόψας καὶ σήσας ἀπόθου ἐν πυξίδι χαλκῇ ἢ σιδηρᾷ, τὴν δὲ γύψον, ὅταν μέλλῃς τῷ φαρμάκῳ χρῆσθαι, τότε λειώσας μίγνυε. — Ἄλλα ἴσχαιμα ἁπλᾶ.] Αἱμορραγίαν ἵστησιν ἕκαστον τούτων κατὰ αὐτό· ἀλόη, λιβανωτός, ἰὸς σιδήρου, κόπρος αἰγεία ξηρά, ὀνεία, ἱππεία. Καὶ καυθεῖσαι δὲ ποιοῦσιν ἄσφαλτος, βατράχου κεκαυμένου σποδός, φρύνου, ὀθονίου κεκαυμένου σποδός, διφρυγοῦς λίθου καὶ κηκίδων διφρυγῶν ὄξει ἐσβεσμένων, στυπτηρία πᾶσα, μυρσίνη ξηρά, χαλκῖτις, σπόγγος βραχεὶς ὑγροπίσσῃ καὶ καυθείς, ἀμπέλου φλοιὸς ἢ φύλλα ξηρά.

πζʹ. Περὶ αἱμορραγίας μυκτήρων.

Μυκτήρων αἱμορραγίαν στέλλει ὀξυσχοίνου καρπὸς ταῖς ῥισὶν ἐντιθέμενος, κνίδης φύλλων χυλός, χαλκῖτις ἐλλυχνίῳ ἀναληφθεῖσα, ἀνθυλλὶς κεκαυμένη ξηρά, νάρθηκος

2-3. Ἠριγέροντα Aët., Paul.; Ἠρίγερον X. — 3. κοριαννόν (sic) Paul. Conf. p. 591, l. 28. — 6. ὄρχεων X. — Ch. 86, l. 16. εἴθε X. — 18. μήλης στιμμιζόμενος Aët. XIV, 36; μῆ (reliqua erasa sunt) X.

τὸ ἐντὸς σὺν ὄξει, ὀνὶς ξηρὰ, ἢ ὑγρὰ μετὰ ὄξους· τῷ δὲ μετώπῳ ἐμπλάσσεται γύψος μετὰ ὄξους, ἢ ὕδατος, ἢ ᾠοῦ τοῦ λευκοῦ· ὡσαύτως βολϐοὶ σὺν χυλῷ πράσου, ἢ σὺν ὄξει. Πρὸ δὲ τούτων ἁρμόζει διάδεσις χειρῶν καὶ σκελῶν καὶ ἀναγαργαρισμὸς ὕδατος ψυχροῦ κεκραμένου ὄξει. — Ἄλλο.] Μυκτήρων αἱμοῤῥαγίαν στέλλει πράσου χυλὸς ἐλλυχνίῳ ἀναληφθεὶς μετὰ λιϐανωτοῦ κεκαυμένου. — Ἄλλο ἴσχαιμον.] Σπόγγον καινὸν ὑγρᾷ πίσσῃ διαϐρέξας καῦσον ἐν χύτρᾳ καὶ τῇ σποδιᾷ μῖξον ἴσον ἑκάστου μίσυος, χαλκίτεως, χαλκάνθου κεκαυμένων πάντων. — Ἴσχαιμον καθόλου πρὸς πᾶσαν διαίρεσιν.] Θεῖον ἄπυρον μετὰ ἴσου λιϐανωτοῦ· ποιεῖ δὲ καὶ κατὰ αὐτὸν ὁ λιϐανωτός. — Ἴσχαιμον ἀφλέγμαντον ποιοῦν, πολλάκις δὲ καὶ τὰς ἀπὸ ἀρτηριῶν αἱμοῤῥαγίας ἔστησεν.] Ἀλόην μετὰ λιϐανωτοῦ διπλασίονος λεάνας σὺν τῷ λευκῷ τοῦ ᾠοῦ καὶ ἀναλαϐὼν λαγῴαις θριξὶν ὡς ὅτι πλεῖστον ἐπιτίθει. — Ἴσχαιμον παρὰ Πλατυστήμου, ποιεῖ δὲ καὶ πρὸς νομὰς τάς τε ἐν αἰδοίοις καὶ τὰς λοιπὰς, περιαιρεῖ τε τύλους καὶ χοιράδας μέλιτι καὶ ἐλαίῳ φυραθέν.] Θείου ἀπύρου, ἀρσενικοῦ, σανδαράκης, ἀσϐέστου ζώσης ἴσα πάντα. — Ἴσχαιμον ἰσχυρόν.] Πιτυΐνην ξηρὰν λειώσας ἐπιτίθει ἤτοι κατὰ αὐτὴν, ἢ μετὰ μάννης. Θρόμϐους τοὺς ἐν βάθει διαλύει πινόμενον, ἢ ἐν κοιλίᾳ, ἢ ἐν κύστει κονία συκίνη μετὰ ὕδατος, θύμος ἐν ὀξυκράτῳ ἢ θύμϐρα, σίλφιον μετὰ ὀξυκράτου, ὀποῦ παρθικοῦ ὀροϐιαῖον μέγεθος.

πη΄. Ἔμπλαστροι ἔναιμοι πρὸς νευροτρώτους, αἱ δὲ αὐταὶ ποιοῦσι καὶ πρὸς τὰς περιθλάσεις τῶν νεύρων.

Τὸ κίσσινον πρὸς νευροτρώτους καὶ νύγματα, καὶ μάλιστα ἐπὶ τῶν χρονισάντων καὶ ἤδη μερικὰς ἀποστάσεις ποιούντων, ποιεῖ δὲ καὶ πρὸς τὰ μετὰ ἐκϐυρσώσεως κατάγματα.] Λεπίδος ἐρυθρᾶς Γο δ΄, λιϐάνου Γο γ΄, μίσυος Γο α΄s", χαλκίτεως Γο δ΄, ὄξους κο. ϛ΄. Λείου ἐν ἡλίῳ θερινῷ ἕως τὸ πλεῖστον τοῦ ὄξους ἀναλωθῇ, εἶτα ἐπίϐαλλε τὸν λιϐανωτὸν καὶ πάλιν συλλέαινε· ἐπειδὰν δὲ τὸ ὄξος ἀναλωθῇ, ποίει κηρωτὴν ἀπὸ κηροῦ Γο ιγ΄ καὶ ἐλαίου Γο ιη΄, καὶ χαλϐάνης Γο β΄, καὶ ἀναξύσας μίγνυε μαλάσσων. Εἰ δὲ μὴ νύγματα εἴη, ἀλλὰ διαίρεσις, καὶ μάλιστα ὅπου νεῦρα γυμνά ἐστιν, ἀντὶ χαλϐάνης τερεϐινθίνης Γο β΄ βάλε, ἔμπλασσε καὶ θεράπευε δὶς τῆς ἡμέρας ἄνωθεν ἔρια διὰ ὀξελαίου ἐπιτιθείς, πρὸς δὲ τὰς ἁπλᾶς διαιρέσεις ἡ κηρωτὴ ἔστω ἀπὸ κηροῦ Γο ιϛ΄ καὶ ἐλαίου λ β΄s". Τοῦτό ἐστι τὸ κίσσινον. — Ἡ ἰνδή.] Ἰοῦ ξυστοῦ Γο ϛ΄, κηκῖδος, χαλκάνθου, μίσυος, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, χαλκίτεως ὀπτῆς, λεπίδος χαλκοῦ ἀνὰ Γο γ΄, ἀλόης Γο α΄s", σμύρνης Γο α΄, λεπίδος σιδήρου Γο ε΄, ψιμυθίου Γο ϛ΄, λιθαργύρου λ α΄, κηροῦ, κολοφωνίας, πίσσης, ἀσφάλτου ἀνὰ Γο ιε΄, ἐλαίου λ α΄, ὄξους τὸ ἀρκοῦν. — Ἡ φαιὰ Γαληνοῦ, ἤτοι κιῤῥά.] Ἐλαίου παλαιοῦ λ δ΄, λιθαργύρου λ γ΄, ὄξους λ β΄, λεπίδος χαλκοῦ μελαίνης Γο β΄, χαλκίτεως Γο β΄. Τὰ ξηρὰ λείου ἐπὶ ἱκανὰς ἡμέρας, τὴν δὲ λιθάργυρον ἐν τῷ ὀξελαίῳ ἕψει ἕως ἐπὶ ποσὸν συστῇ, καὶ τότε ἐπίϐαλλε τὰ λειωθέντα ἐν τῷ ὄξει μεταλλικὰ καὶ ἕψε μαλακῶς ἕως ἀμολύντου. Τὸ ἐν τῇ λειώσει ὄξος οὐ χρὴ τοῦ ἐν τῇ ἑψήσει ὑφαιρεῖν. Αὕτη κόλπους μὲν κολλᾷ καὶ σύριγγας ξηραίνει, τηκομένη

2. τὸ λευκόν X. Conf. Aët. VI, 94. — 9. ἀρτηρίαν X. — 12. περιαίρει X.

δὲ μετὰ ἐλαίου καὶ τῶν ἑλκῶν τὰ δυσαλθῆ ἐκπέσσει καὶ πυοποιεῖ. Δῆλον δὲ ὅτι τὸν ἐπίδεσμον ἐπὶ τῶν κόλπων ἀπὸ τοῦ πυθμένος ἀρχόμενοι ἄξομεν ἐπὶ τὸ σ7όμα. — Τὸ μελάγχλωρον νύγμασι, νευροτρώτοις καὶ πᾶσι τοῖς ἐναίμοις· κολλᾷ γὰρ ἀφλέγμαντα τηρῆσαν, ποιεῖ δὲ καὶ πρὸς χρόνια ἕλκη πρεσβυτικά τε καὶ εὐνούχων, ἔτι δὲ πρὸς τὰ περὶ ἕδραν, μασχάλας, βουβῶνας, τράχηλον, αἰδοῖον.] Χαλκοῦ κεκαυμένου, κηκῖδος, ἀρισ7ολοχίας σ7ρογγύλης, ἁλὸς ἀμμωνιακοῦ, λεπίδος χαλκοῦ, σ7υπ7ηρίας σχισ7ῆς καὶ ὑγρᾶς ἢ σ7ρογγύλης, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυσ7οῦ, καδμείας, ἀλόης, σμύρνης, λιβάνου, πάνακος ῥίζης, λιθαργύρου, ψιμυθίου ἴσα πάντα. Λειοῦται ἐν ἡλίῳ θέρους ὥρᾳ μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας καὶ πλάσσεται εἰς τροχίσκους, καὶ ἐπὶ τῆς χρείας λειοῦται ὄξει διούγγιον τοῦ φαρμάκου καὶ ἀναλαμβάνεται κηρωτῇ ἐχούσῃ κηροῦ Γο ϛ', κολοφωνίας τῆς φρυκτῆς καλουμένης Γο ϛ', ἐλαίου ἐπὶ μὲν τῶν ἁπλῶν τραυμάτων καὶ τῶν λοιπῶν ἑλκῶν μυρσινίνου Γο η', ἐπὶ δὲ τῶν νευροτρώτων παλαιοῦ. — Ἡ διὰ ὀξελαίου.] Λιθαργύρου ʒ β', ὄξους ʒ δ', ἐλαίου παλαιοῦ ʒ δ'· εἰ δὲ τοῦ ἐλαίου καὶ τοῦ ὄξους ἀνὰ ʒ ϛ' λάβοι, διὰ ὅλης μὲν ἡμέρας ἕψεται καὶ μέλαν ἀποτελεῖται ὥσπερ ἄσφαλτος, ξηραντικώτατον δὲ γίνεται ὡς καὶ σύριγγας τὰς περὶ τράχηλον ἰᾶσθαι καὶ χοιράδας ἔναιμά τε κολλᾷν καὶ τὰ λοιπὰ κατουλοῦν. — Ἡ σαῖτις καταγματική, ἔναιμος, κεφαλική, κόλπων κολλητική.] Λιθαργύρου, σ7έατος ταυρείου, πίσσης ξηρᾶς ἀνὰ Γο κ'· οἱ δὲ Γο ιϛ'· ἐλαίου κικίνου, ἢ σικυωνίου, ἢ παλαιοῦ Γο ι', τερεβινθίν ς Γο η', μάννης ἢ λιβανωτοῦ Γο η', ὄξους Γο ιϛ', κηροῦ Γο δ', ὀποπάνακος, χαλβάνης, ἰοῦ ξυσ7οῦ ἀνὰ Γο α'. Ἕψε ἔλαιον, λιθάργυρον, σ7έαρ ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε πίσσαν, τερεβινθίνην, κηρόν, εἶτα χαλβάνην, μάννην, τὰ δὲ λοιπὰ ὄξει συλλειώσας, καὶ ἐπάρας τὸν κάκκαβον ἐκ τοῦ πυρὸς καὶ ποσῶς ψύξας κατὰ σ7αγόνα ἐπίβαλλε, ἐπισ7ήσας δὲ πάλιν ἕψε ἕως ἀμολύντου. — Βάρβαρος ἔναιμος πρὸς τὰς ἀξιολόγους διαιρέσεις, μάλισ7α ἐν κεφαλῇ, ὀσ7έα διακεκομμένα, χόνδρους, ἡπατικούς, σπληνικούς, αἷμα ἀνάγοντας, πρός τε κυνόδηκτα, ἀνθρωπόδηκτα, κόλπους.] Κηροῦ, πίσσης ξηρᾶς, ἀσφάλτου, πιτυίνης ἀνὰ ʒ α', μάννης Γο ϛ', ψιμυθίου, χαλκάνθου ἀνὰ Γο δ', ὀποπάνακος Γο β', ἐλαίου Γο ε', ὄξους ʒ β'. Τὰ τηκτὰ τήξας ἐπάρας τε ἀπὸ τοῦ πυρὸς ἔνσ7αζε τὸν χάλκανθον διειμένον ὄξει, καὶ ἐπισ7ήσας ἕψε, εἶτα ἐπάρας πάλιν ἐπίβαλε τὸ ψιμύθιον λελειωμένον ὄξει καὶ πάλιν ἕψε, ἐπὶ τέλει δὲ μάνναν καὶ ὀποπάνακα, καὶ εὐθέως περισπάθιζε ἕως ψυγῇ καὶ χρῶ. — Ἡ Ἀθηνᾶ.] Σιδίων, χαλκοῦ κεκαυμένου, ἀρισ7ολοχίας σ7ρογγύλης καὶ μακρᾶς, ἁλὸς ἀμμωνιακοῦ, λεπίδος χαλκοῦ, νίτρου, σ7υπ7ηρίας σχισ7ῆς καὶ σ7ρογγύλης, ἴρεως ἰλλυρικῆς, μίσυος, χαλκάνθου, χαλκίτεως, ἰοῦ ξυσ7οῦ, καδμείας, ἀλόης, σμύρνης, λιβάνου, προπόλεως, ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ Γο α', κηροῦ, πίσσης ἀνὰ ∠ρ', φρυκτῆς κολοφωνίας τῆς καλουμένης ∠ν', ἐλαίου Γο ϛ'. Ὄξει λειούσθω τὰ ξηρὰ ἐν ἡμέραις πολλαῖς καὶ οὕτως ἐπιχείσθω τὰ τηκτά. Ἔσ7ι δὲ ἐμπλασ7ὴ ἔναιμος, τραυματική, ἀφλέγμαντος, κολλητική, διεθεῖσα δὲ ἔμμοτος πρός τε νευρότρωτα καὶ νύγματα μυῶν τε διακοπάς. Ἔσ7ι δὲ καὶ κεφαλική, ποιεῖ καὶ πρὸς τὰ δυσεπούλωτα καὶ τὰ περὶ βουβῶνας καὶ μασχάλας ἐξ ἀποσ7άσεως τετμημένα, καὶ καθόλου ξηραντικωτέρα ἐσ7ὶ πάσης δυνάμεως. Ἡ δὲ πίσσα βρυτία ἔσ7ω·

30. παρασπάθιζε X. — 32. καί Paul.; ἀρισ7ολοχίας Aët.; om. X.

εἰ δὲ μὴ παρείη, κοινή· ἡψήσθω δὲ κατὰ αὐτὴν μετὰ ὄξους Γο ιη' ἕως τὸ ὄξος ἀναλωθῇ. — Ἡ διὰ ἰτεῶν.] Χαλκάνθου, μίσυος, μελαντηρίας, χαλκίτεως, ἰοῦ ξυσΊοῦ, ψιμυθίου, κηκῖδος, σΊυπΊηρίας σχισΊῆς καὶ σΊρογγύλης ἀνὰ Γο ς', ἰτέας φύλλων ἁπαλῶν ϗ β', ὄξους κο. ιβ', κηροῦ, πιτυΐνης, πίσσης, ἀσφάλτου ἀνὰ ϗ β', ἐλαίου τὸ ἀρκοῦν. Εἰς τὰ τηκτὰ ἕψεται τὰ τῆς ἰτέας φύλλα εἰς ἀποτρίτωσιν μετὰ ὄξους, καὶ αὐτὰ μὲν ἐκπιασθέντα ῥίπΊεται, ἐν δὲ τῷ ὄξει λειοῦνται τὰ ξηρὰ ἕως τὸ ὄξος ἀναλωθῇ, καὶ λοιπὸν τὰ τηκτὰ ἐπικατερᾶται. ἜσΊι δὲ ἔναιμος, κολλητική, πρός τε αἱμοπΊοϊκοὺς καὶ ἄρθρα ξηραντική. — Νευροτρώτων ἐμμέθοδος θεραπεία ἐκ τῶν Γαληνοῦ ἡ καὶ τοῖς νευροθλάσΊοις ἁρμόζουσα.] Οἱ παλαιοὶ πάντες ἰατροὶ τῇ καλουμένῃ συνήθως ἐναίμῳ [καὶ] κολλητικῇ ἀγωγῇ ἐθεράπευον καὶ τοὺς νευροτρώτους· κατὰ ἀρχὰς γὰρ ἐπετίθουν τι φάρμακον τῶν ἐναίμων καλουμένων πειρώμενοι κολλᾷν τὰ χείλη τοῦ τραύματος· εἰ δὲ ἐφλέγμηνεν, ὕδατι κατήντλουν θερμῷ καὶ δαψιλεῖ ἔλαιον παραχέοντες, καταπλάσματά τε προσέφερον ἄλευρον πύρινον ἡψημένον ἐν ὑδρελαίῳ. Καὶ τοὺς μονομάχους δὲ ὅσοι κατὰ τῆς μύλης ἐτρώθησαν, ἀνωτέρω τε ταύτης κατὰ τὸν πλατὺν καὶ λεπΊὸν τένοντα ὡσαύτως ἐθεράπευον, ὀλίγοι δὲ ἐξ αὐτῶν χωλούμενοι διεσώζοντο. Ἐνήργουν δὲ κἀπὶ τῶν τῆς χειρὸς δακτύλων ὡσαύτως ὥσΊε σήπεσθαι τὰ βλαβέντα καὶ θλασθέντα νεῦρα οὕτως ὡς ἐοικέναι τοῖς ἡψημένοις. Δεῖ τοίνυν ἀπέχεσθαι τῆς ἀγωγῆς ταύτης ἐπὶ νευροτρώτων ἢ νευροθλάσΊων, θεραπεύειν δὲ τρόπον ὃν ὁ Γαληνὸς ἐξεῦρεν οὕτως, ἐπιτιθέντα μὴ σκληρὸν, ἀλλὰ ὥσπερ ἔμμοτον ἀνιέμενον φάρμακον, ὁποῖόν ἐσΊι τό τε ὑπὸ ἡμῶν καλούμενον κίσσινον καὶ τὸ ἐμφερὲς αὐτῷ τὸ γαλήνειον καὶ τὸ μελάγχλωρον, ἥ τε Ἰνδὴ καὶ ἡ Ἀθηνᾶ ἀνεθεῖσα, ἤ τι τῶν ὁμοίων, ἐπάνω τε ἔρια ἐλαίῳ θερμῷ διάβροχα, θεραπεύειν δὲ δὶς τῆς ἡμέρας, ὄρθρου καὶ ἑσπέρας, καταιονοῦντα ἐλαίῳ θερμῷ ῥέποντι ἐπὶ τὸ μετρίως θερμότερον· τὸ γὰρ χλιαρὸν ἐμπλασσόμενον οὐκ ἐπιτρέπει τοῖς σώμασι διαπνεῖσθαι. Δεῖ δὲ καὶ διὰ τετάρτης ἀλλάσσειν τὸ ἔλαιον, ὅπως ἀμιγὲς ὂν ῥύπου καὶ ἰσχνὸν γνησιώτερον τυγχάνῃ τῶν πεπονθότων. Ὕδατος δὲ προσαγωγὴν ἐν ὅλῃ τῇ θεραπείᾳ παραιτεῖσθαι μέχρι τοῦ μηδὲ ἅψασθαι τοῦ ἕλκους, ὥσΊε κἂν ἐν ἀρχῇ δέῃ τὸ αἷμα τοῦ τετρωμένου ἀποκλῦναι, διὰ ἐλαίου τοῦτο πράτΊειν ἀναγκαῖον, ἀλλὰ καὶ ὅταν μετρίως ἔχοντες οἱ κάμνοντες λούωνται, μηδὲ τότε ἐπιτρέπειν αὐτοῖς, εἰ δυνατὸν εἴη, εἰς ὕδωρ βρέχειν τὸν πεπονθότα τόπον· ὡς τὸ πολὺ γὰρ ἐν ἄκραις ταῖς χερσὶν οἱ νευρότρωτοι γίνονται. Τῶν δὲ καλῶς ἐπιμεληθέντων οἱ τὴν ἑβδόμην ἀφλέγμαντον ὑπερβάντες ὡς μήτε ὀδύνην τινὰ ἔχειν, μήτε τάσιν, βεβαίως καὶ ἀσφαλῶς ὑγιαίνουσιν. — Πρὸς μερικὰς ἀποσΊάσεις ἐπὶ νευροτρώτων.] Κηροῦ, κολοφωνίας, βουτύρου ἀνὰ ϗ α', πίσσης ξηρᾶς, μέλιτος ἀνὰ Γο ς', ἰοῦ Γο γ', ὄξους τὸ ἀρκοῦν. Συννόει πῶς αὐτὸ σκευάσεις. — Ἔναιμος κολλητικὴ πυκτική.] Ἐλαίου ϗ β', λιθαργύρου ϗ α', μολιβδαίνης ϗ α', λεπίδος χαλκοῦ, χαλκάνθου, ἰοῦ ξυσΊοῦ, χαλβάνης ἀνὰ Γο β', κηροῦ, κολοφωνίας ἀνὰ ϗ β'. — Ἀποχύματος σκευασία.] Πίσσης ξηρᾶς ϗ α', κηροῦ Γο δ', πιτυΐνης Γο ς', πίσσης ὑγρᾶς ∠δ'. Τήξας ἅμα διήθει εἰς λεκάνιον ἔχον ὕδωρ καὶ ἀνα-

6-7. ἐπικατερᾶται ex em.; ἐπικατερρεται X; ἐπικατάχει *Synops.*; Cf. Gal. *Sec. gen.* IV, 13, t. XIII, p. 741. — 9. [καὶ] Gal.; om. X. — 21. ἤ τι ex em.; εἴτε X. — 24. καὶ ὃ. τ. καὶ ἀλλ. X. — 25. προσαγωγὴν ex em.; προσαγωγῆς X.

μαλάξας ταῖς χερσὶν ὡς πάσ7ελλον χρῶ. — Ξυσ7ικόν.] Ἀποχύματος ƛ γ', κηροῦ, πίσσης, σ7έατος ταυρείου ἀνὰ Γο ς', ὀποπάνακος Γο γ'. Οἴνῳ [ὁ] ὀποπάναξ λειοῦται.— Μαλακτικὴ ἐπισπασ7ική.] Ἐλαίου παλαιοῦ ƛ β', λιθαργύρου λίτρα α', προπόλεως Γο γ', ἀμμωνιακοῦ Θυμιάματος Γο γ', Φρυκτῆς Γο γ', Θείου ἀπύρου Γο α'. — Ἡ αἰχμάλωτος.] Ἐλαίου παλαιοῦ ξ β', ἀλῶν κοινῶν, ψιμυθίου ἀνὰ Γο ις', χαλβάνης, ἀρισ7ολοχίας μακρᾶς ἀνὰ Γο δ', προπόλεως Γο ε', πάνακος Γο β'.

πθ'. Πρὸς ἄρθρα ῥευματιζόμενα καὶ ἕλκη κακοήθη καὶ δυσεπούλωτα.

Λιθαργύρου Γο ε', πίσσης Γο ις', ἀμμωνιακοῦ Γο γ', εὐφορβίου Γο γ', χαλβάνης Γο α', κολοφωνίας Γο ς', σ7έατος χοιρείου Γο ς', κόπρου περισ7ερᾶς Γο δ', ἀλῶν Γο β'. — Χαλασ7ικὴ κηρωτὴ ξυσ7ική.] Κηροῦ, κολοφωνίας, ταυρείου σ7έατος, πιτυΐνης ἴσα, ὅτε χρησ7έον ταύτῃ. — Τὸ ἑξαφάρμακον πρὸς χειμέθλας ἡλκωμένας.] Ἐλαίου Γο κ', ταυρείου σ7έατος, κηροῦ ἀνὰ ƛ α', λιθαργύρου Γο ς', κολοφωνίας Γο δ', μέλιτος Γο ς'. — Ἡ χείρ.] Ταυρείου σ7έατος Γο ε', κηροῦ Γο α', τερεβινθίνης Γο γ', βουτύρου Γο β', ὑσσώπου Γο α'. — Ἡ διὰ αἰρῶν.] Πίσσης λίτρας β', πιτυΐνης Γο θ', κηροῦ κοινοῦ Γο γ', τυῤῥηνικοῦ Γο γ', ἐλαίου παλαιοῦ Γο ε', ἀσφάλτου σεσησμένης Γο β's", αἰρίνου ἀλεύρου ξ α', ὄξους κυπρίνου κο. β'.

ϟ'. Περὶ Φλεγμονῆς. Voy. t. III, p. 558-564; XLIV, 5.

— Ἡ τετραφάρμακος.] Κηροῦ, πίσσης ξηρᾶς, σ7έατος ταυρείου, κολοφωνίας ἴσα. Ἀνίεται ἐλαίῳ ῥοδίνῳ. — Ἡ τοῦ Ἀζανίτου.] Στέατος ὑείου τετηκότος ƛ α', πευκίνης ῥητίνης, ἢ πιτυΐνης Γο ι', κηροῦ, ταυρείου σ7έατος, οἰσύπου, πίσσης ξηρᾶς Γο γ'. — Μακεδονικόν.] Κηροῦ, κολοφωνίας, πίσσης, ταυρείου σ7έατος, λιβανωτοῦ ἴσα. Τήξας καὶ ἐπάρας ἀπὸ τοῦ πυρὸς τότε ἔμπασσε τὸν λιβανωτὸν καὶ χρῶ. — Ἀντεμβροχή.] Τῆς διὰ χυλοῦ ƛ β', ἐλαίου ƛ β', κολοφωνίας ƛ α', πιτυΐνης ƛ α', οἴνου ƛ α's". Τήξας καὶ σπαθίσας ἕως ψυγῇ ἐπίβαλλε μετὰ τὸ ψυγῆναι τὸν οἶνον.—Πεντάθετος ἀντεμβροχή.] Κηροῦ, κολοφωνίας, πιτυΐνης, πίσσης, ἀσβέσ7ου ἴσα. Ἐπάρας τὰ τηκτὰ ἔμπασον τὴν ἄσβεσ7ον· ἡ δὲ χρῆσις τοιαύτη. Τήκεται κηρὸς ἐν ἑπ7απλασίονι ἐλαίῳ καὶ ἐπιβάλλεται τοῦ Φαρμάκου ἴσον τῷ κηρῷ, τακέντος δὲ αὐτοῦ ἄφελε ἀπὸ τοῦ πυρὸς καὶ σπάθιζε· ψυγέντι δὲ μιγνύων οἶνον κατὰ βραχὺ ὡς τὸ τρίτον τοῦ ἐλαίου ἀνάκοπ7ε ἐπιμελῶς. Ποιεῖ καὶ πρὸς τοὺς ἐν δικασ7ηρίῳ ξεσθέντας καὶ ξύλοις τυφθέντας ἐμφερῶς τῇ πρὸ αὐτῆς.— Πιλάριον τὸ διὰ ἑλκύσματος πρός τε ἀποσύρματα καὶ τὰ ὅμοια.] Ταυρείου σ7έατος, κηροῦ ἀνὰ Γο ι', ἑλκύσματος Γο ς', κολοφωνίας Γο δ', πίσσης Γο β', ἐλαίου ƛ β's". Ἐνίοτε τὸ ἕλκυσμα ξηρὸν λειοῦται οἴνῳ ἢ χυλῷ τήλεως. Μὴ παρόντος ἑλκύσματος, μολιβδαίνῃ χρώμεθα. — Ἡ διὰ ᾠῶν.] Κηροῦ Γο ς', ψιμυθίου, λιθαργύρου, ἀμύλου ἀνὰ Γο ς', ᾠὰ ὠμὰ δ', ῥοδίνου τὸ ἀρκοῦν. — Ἕτερον πάρυγρον.] Λιθαργύρου, ψιμυθίου ἀνὰ Γο γ',

2. [ὁ] om. X. — Ch. 89, l. 11. κηροῦ] χολῆς Paul.; ὑοσκυάμου χυλοῦ Aët. Conf. p. 620, l. 12.— Ch. 90, l. 18. οἰσύπου Gal., Paul.; ὑσσώπου X.

κηροῦ Γο ς', ἐλαίου ῥοδίνου λ α's″, ἀμύλου Γο β'. — Ἡ ἀνθηρά.] Ἀσϐέσlου ζώσης καὶ ψιμυθίου ἀνὰ Γο α's″, κηροῦ Γο δ', κολοφωνίας Γο θ', λίπους ὑείου Γο ζ', λινοσπέρμου χυλοῦ κο. α'. Ἡ κοτύλη τοῦ ἐλαίου ἄγει σlαθμῷ Γο ι'. Λείου τὴν ἄσϐεσlον καὶ τὸ ψιμύθιον μέρει τοῦ χυλοῦ, εἶτα καὶ ὅλον ἐπίϐαλλε τὸν χυλὸν, τὰ δὲ τηκτὰ θερμὰ καταχέας λειοτρίϐει ἕως ψυγῇ. Θαυμασlῶς ποιεῖ πρὸς πτερνῶν ῥαγάδας, ἐπὶ δὲ ἑλκῶν φυλάσσου· δυσῶδες γὰρ ἀποτελεῖται. — Ἡ διὰ χυλοῦ.] Λιθαργύρου λ ς', ἐλαίου παλαιοῦ χειμῶνος μὲν λ θ', θέρους δὲ λ ζ's″, χυλῶν λ ε'. Ἕψε ὁμοῦ πάντα ἕως ἀμολύντου· οἱ δὲ χυλοὶ γίνονται οὕτως. Ὕδατος ξ κ', μολόχης ἀγρίας ῥιζῶν λ δ', τήλεως ξ α', λινοσπέρμου λ α'. Βρέχεται ἡ ῥίζα α', τῇ δὲ ἑξῆς ἐπιϐάλλεται ἡ τῆλις, τῇ τρίτῃ τὸ λινόσπερμον καὶ ἕψεται ἕως παχύτατος γένηται ὁ χυλός. Ἐγὼ ιβ' ξ ὕδατος βάλλω. — Τὸ βρόμιον.] Τήλεως, λινοσπέρμου χυλοῦ λ α', ἐλαίου λ α'. Ἕψε ὁμοῦ ἕως ἀναποθῇ ὁ χυλὸς, εἶτα ἐπίϐαλλε πιτυΐνης Γο γ', κηροῦ Γο ς', κολοφωνίας Γο γ' χαλϐάνης Γο δ'. — Πάρυγρος.] Κηροῦ Γο ς', ῥοδίνου ἢ ὀμφακίνου λ β's″. Τήξας μετὰ τὸ ἐπᾶραι ἐπίϐαλλε τῆς διὰ χυλοῦ λ α', καὶ σπάθιζε ἕως ψυγῇ καὶ ἐπίσlαζε οἴνου Γο ς', ἢ ἀντὶ οἴνου χυλοῦ σέρεως ἢ ψυλλίου, μάλισlα ἐπὶ τῶν περὶ ἕδραν παθῶν καὶ ἐρυσιπελάτων.

ζα'. Χοιραδικὸν· παρὰ Προεχίου.

Κάχρυος Γο δ', ἀμμωνιακοῦ θυμιάματος Γο γ', νίτρου, προπόλεως, ἰξοῦ δρυΐνου, χαλϐάνης, τερεϐινθίνης ἀνὰ Γο α', λίθου πυρίτου ∠ δ', κόπρου περισlερᾶς ∠ δ'. Τὸ φάρμακον κοπτόν ἐσlιν· οὐ δεῖ γὰρ αὐτὸ τήκειν. — Ἡ διὰ γλοιοῦ χοιράδων διαφορητικὴ, δοθιήνων, παρωτίδων, ἀφλέγμαντος, τραυματικὴ ἐπὶ μεγάλων τραυμάτων.] Γλοιοῦ διυλισθέντος λ γ's″, θαλάσσης πελαγίας λ α'. Ἕψε ὁμοῦ κινῶν ὑγρῷ καλάμῳ ἕως ἀναλωθῇ ἡ θάλασσα, εἶτα ἐπίϐαλλε κικίνου ἐλαίου ἢ παλαιοῦ λ β', ἢ κοτύλας β', καὶ ἕψε ἕως ἂν δοκῇ ἀμόλυντος γεγονέναι, εἶτα ἐπίϐαλλε κολοφωνίας λ β', κηροῦ λ α', χαλκοῦ κεκαυμένου Γο β', ἀμμωνιακοῦ θυμιάματος Γο β', καὶ ἕψε ἕως ἀμολύντου συστάσεως. Ποιεῖ καὶ ἐπὶ σκληριῶν. — Τὸ διὰ ζύμης.] Πιτυΐνης λ α', κηροῦ Γο η', ζύμης Γο δ', ἐλαίου Γο γ', ἁλῶν Γο γ'. Τοὺς ἅλας λείους μάσσε σὺν τῇ ζύμῃ, τὴν δὲ κηρωτὴν ἀναξύσας μίγνυε εὐτόνως καὶ χρῶ. — Πρὸς χοιράδας ἡλκωμένας καὶ ἀνελκώτους.] Κηροῦ, πιτυΐνης, σlέατος ἀνάλου, πρασίου, ἰοῦ ξυσlοῦ ἀνὰ Γο ς'. Συννόει πῶς σκευάσεις.

ζβ'. Πρὸς μελικηρίδας.

Ἁλῶν ὀρυκτῶν, ψιμυθίου, λιθαργύρου ἀνὰ λ α', μίλτου Γο ς', ἐλαίου παλαιοῦ λ γ', χαλϐάνης, ὀποπάνακος, κηροῦ, τερεϐινθίνης ἀνὰ Γο α'. Ὁ ὀποπάναξ ὄξει λειοῦται. — Διαφορητικὴ χοιράδων, σκληριῶν ἐν μασχάλαις, βουϐῶσι, τραχήλῳ.] Μήκωνος κερατίτιδος φύλλα λεάνας μετὰ ὀξυγγίου καὶ προπόλεως λιπαρᾶς ἐμπλάσας ἐπιτίθει. — Ἡ διὰ ἁλῶν.] Ἐλαίου παλαιοῦ λ α's″, λιθαργύρου λ β', ψιμυθίου λ β', ἁλῶν εἴθε μὲν ἀμμωνιακῶν, εἰ δὲ μὴ, κοινῶν λ β'. Ἕψε πάντα ὁμου ἕως ἀμολύντου· οἱ δὲ ἅλες λειότατοι ἐσlωσαν· ἐν ἐλαίῳ γὰρ τήκεσθαι οὐ πεφύκασιν.

ϞΓʹ. Κοινοτέρως αἱ ἐπισπαστικαὶ σκληρίας διαλύουσι, ὁμοίως καὶ τὰς σκιῤῥωθείσας φλεγμονάς.

Ποιοῦσι δὲ καὶ πρὸς δοθιῆνας καὶ φύματα, χοιράδας, παρωτίδας, θηριόδηκτα, λυσσόδηκτα, περιθλάσεις, περὶ κεφαλὴν ἀποσΊήματα, νυγέντα μόνον καὶ φύγεθλα· κολλῶσι καὶ κόλπους, καὶ μάλισΊα οἷς ἐῤῥακωμένα καὶ λαγαρὰ ἐπίκειται σώματα. Καὶ ποδαγρικοῖς ποιοῦσιν ἐν παρακμῇ, ἀρθρων τε ῥεύματα ἐξηκοῦσιν. — ἘπισπασΊική.] Κηροῦ, τερεβινθίνης, ἐλαίου παλαιοῦ ἀνὰ ℔ α', ἀφρονίτρου λευκοῦ Γο ϛ', νίτρου ἐρυθροῦ Γο ϛ', προπόλεως, χαλβάνης, ἀρισΊολοχίας σΊρογγύλης ἀνὰ Γο ϛ'. Τὸ νίτρον λεῖον μετὰ τοῦ ἐλαίου καὶ τοῦ ἀφρονίτρου ἕψε, εἶτα ἐπίβαλλε κηρὸν, τακέντος δὲ αὐτοῦ τὴν τερεβινθίνην, εἶτα χαλβάνην, πρόπολιν προολμοκοπηθέντα, καὶ εὐθέως ἀφελὼν ἀπὸ τοῦ πυρὸς ἐπίπασσε τὴν ἀρισΊολοχίαν καὶ σκάθιζε. Ποιεῖ ἐξόχως, καὶ μάλισΊα πρὸς τὰ περὶ κεφαλὴν θλάσματα, νύγματα καὶ δοθιῆνας καὶ τοὺς πλαδαρωτάτους κόλπους. — Ἡ διὰ νίτρου.] Ψιμυθίου Γο ιϛ', νίτρου Γο ιϛ', ἐλαίου παλαιοῦ κο. δ', προπόλεως, χαλβάνης, ἀρισΊολοχίας σΊρογγύλης ἀνὰ Γο γ'ς''. Σκεύαζε ὡς τὴν πρὸ αὐτῆς καὶ χρῶ εἰς τὰ αὐτά. — ἘπισπασΊική.] Ἀμμωνιακοῦ θυμιάματος Γο ϛ', κηροῦ Γο δ', τερεβινθίνης Γο δ', θείου ἀπύρου Γο γ', νίτρου Γο γ', ἐλαίου Γο δ'. — Ἄλλο συνάγον καὶ διαχέον καλὸν καὶ πρὸς χοιράδας.] Χαλβάνης, κηροῦ, θείου ἀπύρου Γο α', ἀμμωνιακοῦ θυμιάματος Γο α'. Ἐὰν ᾖ σκληρὸν, προσλαμβάνει ἰρίνου. — Ῥηκτικόν.] Πίσσης ὑγρᾶς, πίσσης ξηρᾶς, προπόλεως λιπαρᾶς ἴσα. Τοῦτο ῥήσσει καὶ ἀπουλοῖ. — ἘπισπασΊικόν.] Ναρκίσσου ῥίζαν λειοτριβήσας ἐν μελικράτῳ μετὰ ἰρίνου ἑψήσας κατάπλασσε· ἢ καλάμου ῥίζας λειοτριβήσας μετὰ μέλιτος· εἰ δὲ σκληρία εἴη, μετὰ μελικράτου· ἢ ἀρισΊολοχίαν μετὰ μέλιτος. — Τὸ Μνασέου.] Λιθαργύρου, ἐλαίου παλαιοῦ, πιμελῆς ὑείας παλαιᾶς ἴσα ὁμοῦ ἕψε. Τινὲς τῷ ἐλαίῳ καὶ τῷ λίπει προσέψουσιν ἕως ψυγῇ ἀλθαίας ℔ α' ἢ Γο ϛ'. — Πρὸς μελικηρίδας.] Ἁλῶν ὀρυκτῶν, ψιμυθίου, λιθαργύρου ἀνὰ ℔ α', μίλτου Γο =', ἐλαίου παλαιοῦ ℔ γ', χαλβάνης, ὀποπάνακος, κηροῦ, τερεβινθίνης ἀνὰ Γο α'. Ὁ ὀποπάναξ ὄξει λειοῦται. — Ἄλλο εἰς μελικηρίδας.] Σταφίδας ἐκγεγιγαρτισμένας κ', λεπίδος, μάννης ἀνὰ ∠δ'. Προπυριῶν ἐπιτίθει.

ϞΔʹ. Προς βουβῶνας καὶ φύματα.

Ψύλλιον ὕδατι βρέξας ἀναλαβὼν ὀθονίῳ χλιαρὸν ἐπιτίθει.

ϞΕʹ. Πρὸς ἀγκυλώματα μάλαγμα.

Βδελλίου, σΊέατος μοσχείου, λιβάνου, ἴρεως ξηρᾶς, κάχρυος ἀνὰ Γο ι', ἀμμωνιακοῦ θυμιάματος ∠ρ', ὀποπάνακος, χαλβάνης, σΊύρακος ἀνὰ Γο ε', πεπέρεως κόκκους ω', τερεβινθίνης ℔ γ'ς'', κηροῦ Γο γ'ς''. Βδέλλιον, πέπερι, ἀμμωνιακὸν, ὀποπάνακα,

CH. 93, tit. Κοινοτέρως αἱ ex em.; Κοινότεραι X. — 3. πλαδαρὰ Aët. — 4. ἐξηκοῦσιν ex em.; ἐξσήκουσιν X; ἐκσήκουσιν Aët. — 26. ἐπίτιθε X, et sic sæpius.

κάχρυν κόπτε, εἶτα κηρὸν, ῥητίνην, χαλϐάνην, καὶ σῖέαρ παραχέων ἴρινον. — Ἄλλα ἁπλᾶ χοιραδικά.] Κόμης ῥοδε τῆς εἰς τὰς ἀρτύσεις τῶν ὄψων Γο α΄ βρέχε ἐν ὄξει ἐπὶ ἡμέρας τρεῖς καὶ ἑψήσας ἐμπλασῖρωδῶς ἐπιτίθει. — Χοιράσιν.] Ἄσϐεσῖος μετὰ γλοίου, ἢ μετὰ ὑείου σῖέατος· αἰγεία κόπρος σὺν ὄξει ἑφθὴ ἢ οἴνῳ· βοεία ὡσαύτως· ἀρνόγλωσσον μετὰ ἁλῶν· ἀδίαντον μετὰ ἁλῶν· ὀρόϐινον ἄλευρον βραχὲν οὔρῳ παιδὸς ἀφθόρου καὶ ἀναληφθὲν πίσσῃ καὶ κηρῷ καὶ ἐλαίῳ τετηκόσιν· αἴρινον ἄλευρον σὺν λινοσπέρμῳ καὶ κόπρῳ περισῖερᾶς ἐν οἴνῳ ἑφθῷ· ἢ σίλφιον μετὰ κηρωτῆς· ὄλυνθοι ἐρινεοὶ ἑφθοί.

λς΄. Πρὸς κηρία.

Σταφίδες μετὰ πηγάνου, συκῆς τὰ ἁπαλώτατα φύλλα μετὰ μέλιτος, κάρδαμον μετὰ λινοσπέρμου σὺν μέλιτι, σικύου ἡμέρου ῥίζα μετὰ μέλιτος, θεῖον ἄπυρον μετὰ κηρωτῆς ἢ τερεϐινθίνης. — Ἔμπλασῖρος παρὰ Εὐτυχιανοῦ διαφορητικὴ καὶ καλλιστική.] Ἐλαίου παλαιοῦ Γο ιγ΄, λιθαργύρου Γο ιγ΄, πίσσης Γο ς΄, ὀπίου ∠δ΄, χαλϐάνης ∠δ΄, λεπίδος ∠α΄, χαλκοῦ κεκαυμένου ∠η΄. Εἰ δὲ ἐμμότῳ βούλει χρῆσθαι, ἀνάλυε οἰνελαίῳ. — Ἡ διονυσιὰς πρὸς μασθοὺς καὶ βουϐῶνας ἐπισπασῖικὴ διὰ τῶν ἀδήλων πόρων διαφοροῦσα.] Ἐλαίου παλαιοῦ ϗα΄, ὕδατος ϗα΄. Ἑψήσας τὸ ὑδρέλαιον ἐπὶ ὀλίγον ἐπίϐαλλε νίτρου Γο ς΄, μίσυος Γο α΄, καὶ ἕψε ἕως ἀμολύντου, εἶτα ἐπίϐαλλε μάννης λιϐανωτοῦ Γο ς΄, κηροῦ Γο ε΄, τερεϐινθίνης Γο ς΄.

λζ΄. Γαγγλίων διαλυτικόν.

Ψιμυθίου, πιτυΐνης, ἐλαίου παλαιοῦ ἀνὰ Γο α΄, κηροῦ Γο β΄, ἀμμωνιακοῦ θυμιάματος, χαλϐάνης ἀνὰ Γο α΄. Ἐν ἀντιγράφῳ πιτυΐνης Γο ε΄, κηροῦ Γο δ΄. — Χοιραδικόν.] Ἐλαίου παλαιοῦ Γο η΄, λιθαργύρου Γο ς΄, ἰοῦ σιδήρου Γο α΄ s″, ἀμμωνιακοῦ θυμιάματος Γο η΄. Ἕψε ἕως ἀμολύντου. — Ἡ ἀνίκητος πάγχρησῖος ἐξαίρετος πρὸς νεύρων τρώσεις καὶ ἀγκυλώσεις, κἂν ἐξ οὐλῆς ὁ δεσμὸς γεγόνῃ, πρός τε ἄρθρα ἀλγοῦντα οἷον ὤμους, κόρωνα καὶ πρὸς τὰς ἐν πέλμασι ῥαγάδας.] Δαφνίδων, ἴρεως ξηρᾶς, λιϐάνου ∠ξ΄, χαλκοῦ κεκαυμένου ∠κ΄, νίτρου, ἁλῶν ἀμμωνιακῶν ἀνὰ ∠ις΄, πυρέθρου, σῖαφίδος ἀγρίας, κάχρυος, κόκκου κνιδίου, νάπυος, περισῖερῶν κόπρου, ἀρισῖολοχίας, κυμίνου, ἰοῦ ξυσῖοῦ, κυπέρου, εὐζώμου σπέρματος ἀνὰ ∠η΄, ὄξους κο. ιβ΄. Λειοτρίϐει τοῖς ὑπὸ κύνα καύμασιν ἕως πᾶν τὸ ὄξος ἀναλωθῇ ξηρανθὲν, καὶ μετὰ ταῦτα ποίησον οὕτως. Λαϐὼν σῦκα λιπαρὰ ϗ ιβ΄ ἕψησον εἰς ὕδατος ξ ιβ΄, ἕως λειφθῇ τὸ τρίτον, καὶ ἐκθλίψας μετακένου τὸ ὑγρὸν ἐν χαλκῷ ἀγγείῳ ὡς μὴ διουρίσῃ καὶ μίξας τῷ φαρμάκῳ πλάσσε τροχίσκους καὶ ξήραινε. Ἐν δὲ τῇ θεραπείᾳ λειώσας μέρος τοῦ φαρμάκου ἐν ὄξει ἀναλάμϐανε ῥητινοκήρου ἐξ μέρεσιν ἀναξυσθέντος· ἔσῖι δὲ τὸ μὲν ἄκρατον ῥητινόκηρον τοῦτο. Κηροῦ μέρος ἓν πρὸς τρία ῥητίνης μετὰ βραχυτάτου ἐλαίου τακέν· τὸ δὲ μέσον κηροῦ μέρος ἓν πρὸς δύο ῥητίνης, τὸ δὲ ἀνιέμενον κηροῦ καὶ κολοφωνίας ἴσα· τὸ δὲ ἐκλελυμένον ῥητίνης μέρος ἓν, κηροῦ τὸ διπλάσιον. — Τὸ ψιττάκιον.]

7. ἐν *Synops.*, Paul.; καί X. — Ch. 97, l. 33. ἀνειμένον Gal.

Κηροῦ, κολοφωνίας, πιτυΐνης, ὀξυγγίου, ὑοσκυάμου φύλλα ἴσα. — Ἄλλως τὸ ψιττάκιον.] Κηροῦ, κολοφωνίας, ὀξυγγίου, ὑοσκυάμου φύλλων ἴσα.

ζη'. Περὶ ἀποστημάτων. Orib. t. III, XLIV, 6, p. 564-567; XLIV, 7, p. 568-570; XLIV, 8, p. 570-577.

ζθ'. Ἀνακαθαρτικὰ ἑλκῶν.

Μέλι μετὰ ἴσης τερεβινθίνης καὶ ῥοδίνου, ἢ ἀντὶ ῥοδίνου βουτύρου, ὀρόβινον μετὰ μέλιτος· πρὸς δὲ τὰ νευρώδη ἢ μυώδη τερεβινθίνη ἐν διπλώματι τακεῖσα σὺν βουτύρῳ. Τοῖς δὲ ἄγαν ῥυπαροῖς ἢ καὶ νεμομένοις ποιεῖ πράσιον μετὰ μέλιτος· τοῦτο δὲ καὶ ἐσχάρας ἐκβάλλει. — Ἡ αἰγυπτία.] Ἰοῦ Γο α', μέλιτος Γο θ'. Ἕψεται μαλθακῷ πυρὶ ἕως ἐπὶ τὸ κιῤῥότερον μεταβάλῃ. Καθαίρει ἕλκη φακὸς μετὰ μέλιτος, ἀριστολοχία μετὰ μέλιτος, νίτρου ἀφρὸς σὺν μέλιτι καυθεὶς βραχὺ προσλαβὼν ἴρεως, κολυμβάδες ἐλαῖαι. Ἐσχάρας ἀπὸ καύσεως ἀφίστησι πράσα καρτὰ μετὰ ἁλῶν λεῖα καταπλασσόμενα, ὄροβοι ἑφθοί, ἀρνογλώσσου φύλλα, θαλλία, σῶρι κεκαυμένον, ἄρου ῥίζα. Ἀνακαθαίρουσιν αἱ διὰ ἁλῶν κηρωταὶ συντακεῖσαι, ἥ τε ἰνδικὴ καὶ ὁ μελάγχλωρος τροχίσκος καὶ ἡ Ἀθηνᾶ, καὶ αἱ χλωραὶ ἀνιέμεναι. — Ἀνακαθαῖρον ἰσχυρῶς.] Ἀμόργης ἑφθῆς, μέλιτος ἀπηφρισμένου, στυπτηρίας φορίμης ἴσα. — Τὸ διὰ ὀρόβων ξηρὸν κεφαλικὸν ἀνακαθαῖρον καὶ σαρκοῦν.] Ὀρόβου κιῤῥοῦ Γο δ', ἀριστολοχίας μακρᾶς Γο α', ἴρεως Γο β', λεπίδος χαλκοῦ Γο α', μάννης ἢ λιβάνου Γο α'. — Τὸ διὰ κισσήρεως.] Κιμωλίας, κισσήρεως κεκαυμένης καὶ ἐσβεσμένης ὄξει ἀνὰ Γο ε', λεπίδος χαλκοῦ καὶ χαλκοῦ κεκαυμένου ἀνὰ Γο β', κηροῦ Γο θ', μυρσινίνου ⅄ α'. Λειοῦται μετὰ ὄξους τὰ ξηρὰ ἐπὶ ἱκανὰς ἡμέρας, καὶ παχυνθέντα εἰς γλοιώδη σύστασιν ἀναλαμβάνεται τῇ κηρωτῇ. Ἐπὶ μὲν οὖν χειρωνείων πλατύσματι χρώμεθα, ἐπὶ δὲ αἰδοίων καὶ τῶν λοιπῶν ἑλκῶν πρὸς μέρος τοῦ φαρμάκου ῥοδίνης κηρωτῆς ἢ μυρσινίνης ἑπτὰ μέρη μίγνυμεν. — Ἡ αἰγυπτία ἀνακαθαρτική.] Μέλιτος κο. α', ὄξους ξ α', λεπίδος Γο α', ἰοῦ ξυστοῦ ∠δ'. Ἕψε τὸ μέλι καὶ τὸ ὄξος ἕως μελιτῶδες γένηται καὶ ἐπίπασσε τὰ ξηρά. — Πληρωτικὸν ἑλκῶν ἡ τροφός.] Ῥοδίνου, τερεβινθίνης, μέλιτος ἀνὰ Γο β', ψιμυθίου, βουτύρου ἀνὰ Γο α'· οἱ δὲ καὶ λιβάνου Γο δ'. — Ξηρὸν πληροῦν κεφαλικόν.] Ὀροβίνου ἀλεύρου, ἄλικος, ἀμύλου, λιβάνου, διαφανοῦς κεκαυμένου ἴσα. Τὸ διαφανὲς ῥωμαϊστὶ σπεκλάριον καλεῖται. — Ἄλλο.] Ἀμύλου, μάννης, ἄλικος ἴσα κόψας καὶ σήσας χρῶ. — Ἄλλο. Ἡ μελιτηρά.] Χαλκίτεως, λεπίδος, κηκῖδος, βαλαυστίων, ἀριστολοχίας μακρᾶς ἀνὰ Γο α', σιδίων, σχιστῆς ἀνὰ ∠δ'. — Κατασταλτικά.] Ἡ ῥοδία ἴσχαιμος καταστέλλει τὰ ὑπερσαρκοῦντα· προγέγραπται ἐν τῷ περὶ αἱμοῤῥαγίας χωρίῳ. Καταστέλλον ἰσχυρῶς ποιοῦν καὶ πρὸς νομὰς καὶ ὦτα πυοῤῥοοῦντα· ἔστι δὲ καὶ ἴσχαιμον.] Χαλκίτεως, μίσυος ἀνὰ ∠κ', λεπίδος σιδήρου ∠ις', κηκῖδος ὀμφακίτιδος ∠η'. — Πάγχρηστον καταστέλλον.] Λεπίδος ∠δ', ἰοῦ ∠α'. Ποιεῖ δὲ καὶ κατὰ αὐτὴν ἡ λεπίς. — Ἄλλο.]

CH. 99, l. 12. ἑφθῆς Paul.; ἑφίσης X. οἴνῳ Gal., Paul. — 26. Ἡ ex em.; Ἀλωῇ — 15. κισσήρεως X utrobique. — 16. ὄξει] X. Conf. Paul. IV, 43 et VII, 13.

Ἀσϐέσ7ου, λεπίδος χαλκοῦ, μάννης ἴσα. Ποιεῖ τοῦτο καὶ πρὸς τὰ κακοηθευόμενα καὶ ταῖς μύκαις ὅμοια, ἀνακαθαίρει τε μετὰ μέλιτος καὶ πληροῖ μετὰ κηρωτῆς. — Τὸ ἡλιοκαὲς ξηρίον, κατασ7έλλον ἰσχυρῶς, ἄδηκτον· ποιεῖ καὶ πρὸς νομὰς καὶ τὰς ἐν σ7όματι σηπεδόνας, καὶ μάλισ7α ἐπουλίδας· λευκαίνει δὲ καὶ τοὺς ὀδόντας.] Ἀσϐέσ7ου λ α', ἀρσενικοῦ Γο ς'. Λείου ἐπιμελῶς τὸ ἀρσενικὸν ξηρὸν καὶ πλύνας τὴν ἄσϐεσ7ον ὡς καδμείαν μῖξον ξηράνας καὶ χρῶ. Εἰ δὲ βούλει, λειώσας τὸ ἀρσενικὸν μετὰ ὕδατος καὶ τότε μίξας τὴν ἄσϐεσ7ον εἰς ὀσ7ρακίνην βαλὼν αὐτὸ λεκάνην ἔμϐαλε ὕδωρ πληρώσας τὴν λεκάνην, καὶ τούτου ξηρανθέντος πάλιν γέμισον δὶς καὶ τρὶς ξηράνας πάνυ, καὶ τότε ἀπόθου αὐτὸ ἐπιμελῶς λειώσας ἐν ὀσ7ρακίνῳ ἀγγείῳ ἐπὶ ξηροῦ καὶ ἀνοτίσ7ου τόπου. — Ἀπουλωτικά. Λευκὴ ἔμπλασ7ρος ἀπουλωτικὴ πρὸς τοὺς ἁπαλόχρωτας καὶ γυναῖκας, ἔτι δὲ καὶ εὐνούχους καὶ παιδία· καλὴ δὲ καὶ ἐπὶ τῶν αὐτομάτων ἑλκῶν καὶ ἀποσυρμάτων· ποιεῖ δὲ καὶ πρὸς πυρίκαυτα.] Λιθαργύρου Γο ις', ψιμυθίου λ α', κηροῦ Γο ε', λιϐάνου ἢ τῆς μάννης Γο ε', τερεϐινθίνης Γο α', ἐλαίου λευκοτάτου λ β's", ὕδατος θαλασσίου λ β' ἢ κοτύλας δύο. Ἕψε ἔλαιον, λιθάργυρον, ψιμύθιον διηνεκῶς κινῶν, ἀναλωθέντος δὲ τοῦ ὕδατος καὶ ἀμολύντου γενομένου τοῦ φαρμάκου ἐπίϐαλλε ῥητίνην, εἶτα κηρὸν, καὶ ἐπάρας ἐκ τοῦ πυρὸς τὸν κάκκαϐον ἔμπασον τὸν λιϐανωτόν. — Πρὸς τὰ τῶν γυναικῶν καὶ τὰ τῶν ἁπαλοσάρκων ἕλκη κακοήθη.] Κηροῦ τυῤῥηνικοῦ ∠η', τερεϐινθίνης, σ7έατος ταυρείου, μολίϐδου κεκαυμένου καὶ πεπλυμένου ἀνὰ ∠δ'. Χρῶ ἐμμότῳ ἀνιεὶς διὰ ῥοδίνου ἢ μυρσινίνου. — Πρὸς τὰ δυσεπούλωτα.] Λεπίδος σ7ομώματος ∠δ', χρυσοκόλλης ∠δ', χαλκάνθου ∠β', ἰοῦ ξυσ7οῦ ∠β', κηροῦ ∠κς', τερεϐινθίνης ∠ις'. Ἐνίοτε ξηρὰ ἀναλαμϐάνεται τῇ κηρωτῇ, ἔσ7ιν ὅτε δὲ ὄξει προλειωθέντα. — Ξηρὸν ἀπουλοῦν.] Ὀσ7ρέων ἐν χύτρᾳ καέντων ἕως λευκὰ γένηται ∠ιβ', μάννης ∠ς', καδμείας ∠δ'. Ποιεῖ καὶ πρὸς νομάς. — Ἄλλο ἀπουλοῦν.] Λιθαργύρου, ψιμυθίου ἀνὰ ∠η', σκωρίας μολίϐδου, κηκῖδος, μυρσίνης ξηρᾶς ἀνὰ ∠δ'. Χρῶ· εἰ δὲ βούλῃ, μετὰ κηρωτῆς. — Πρὸς χειρώνεια καὶ ἐπὶ παντὸς ἑρπετοῦ δήγματος ἐπιτετευγμένον φάρμακον.] Λιθαργύρου λ α', ἐλαίου παλαιοῦ λ β', χαμαιλέοντος μέλανος ῥίζης, ἀρισ7ολοχίας, κηκῖδος ὀμφακίτιδος ἀνὰ Γο δ', χαλϐάνης, ἀμμωνιακοῦ θυμιάματος, λιϐανωτοῦ ἀνὰ Γο β'. Σκεύαζε κινῶν ῥίζαις χλωρῶν καλάμων. — Πρὸς τὰ δυσεπούλωτα Ἡρακλείδους.] Λεπίδος χαλκοῦ Γο δ', μάννης ἢ λιϐανωτοῦ Γο δ', σ7υπτηρίας σχισ7ῆς Γο β', μίσυος Γο β'. Λειοτριϐήσας μετὰ ὄξους ἐπὶ ἱκανὰς ἡμέρας πλάσσε εἰς τροχίσκους· ἐπὶ δὲ τῶν δυσεπουλώτων καὶ κακοήθων ἑλκῶν πρὸς Γο α' τοῦ φαρμάκου κηροῦ τριπλάσιον μίσγε Γο γ', καὶ τερεϐινθίνης Γο δ'. Εἰ δὲ Γο δ' τοῦ κηροῦ βάλοις καὶ ῥητίνης Γο α', ἔσ7αι πρὸς τὰ μὴ πάνυ κακοήθη χρησ7ὸν φάρμακον. Εἰ δὲ ἑξαπλάσιον ἔχοι κηροῦ, τουτέσ7ιν Γο ς', καὶ ῥητίνης Γο α's", ἔσ7αι ἁπλῶν ἑλκῶν κατουλωτικόν. — Πρὸς χειρώνεια καὶ κακοήθη φάρμακον ἐπιτετευγμένον.] Ἰοῦ ξυστοῦ Γο α', λεπίδος χαλκοῦ Γο α', κηροῦ Γο ς', ῥητίνης λάρικος, ἢ ἀντὶ αὐτῆς τερεϐινθίνης Γο α's". Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Χρῶ μαλάσσων ἐπιμελῶς καὶ πλατυσμάτιον ἐπιῤῥίπτων κατὰ μόνου τοῦ ἕλκους καὶ τῶν χειλῶν αὐτοῦ, τὰ δὲ πέριξ ἀφλεγμάντῳ ἐμπλάσ7ρῳ καταλαμϐάνων, σπόγγον τε ἄνωθεν ἐπιθεὶς ἐπίλυε διὰ τρίτης, καὶ ἀποπυριάσας τὸ ἕλκος τὸ αὐτὸ πλατυσμάτιον ἀποπλύνας ὕδατι μάλασσε καὶ πάλιν ἐπιτίθει ἕως ἂν ἄρξηται συνουλώσεως. Γενναῖον δέ ἐσ7ι τοῦτο τὸ φάρμακον

ἔχον τριπλάσιον κηρόν· τοῦτο τὰ μετρίως κακοήθη θεραπεύει. Γίνοιτο δὲ ἂν σύμμετρον εἰ λάβοι κηροῦ Γο η' καὶ ῥητίνης Γο β'. Ἔτι δὲ πρᾳότερον γίνεται τὸ φάρμακον εἰ πενταπλάσιον τῶν μεταλλικῶν βληθείη ὁ κηρὸς καὶ ῥητίνης Γο β'ς'' ἔχοι, καὶ ἔτι μᾶλλον εἰ ἑξαπλάσιον ὡς εἶναι τῶν μεταλλικῶν Γο β', κηροῦ Γο β', λάρικος ἢ τερεβινθίνης Γο γ'. Μὴ παρούσης δὲ ῥητίνης, μυρσινίνῳ ταῦτα μίγνυε, ἢ μηλίνῳ, ἢ σχινίνῳ. — Ἰκωτήριον.] Κηροῦ τυῤῥηνικοῦ, μολίβδου κεκαυμένου πεπλυμένου ἀνὰ ∠η', μυελοῦ ἐλαφείου ∠δ', τερεβινθίνης ∠δ', ῥοδίνου τὸ ἀρκοῦν ὡς ἁπαλὸν γενέσθαι. — Πρὸς χειρώνεια.] Σταφίδος ἐκγεγιγαρτισμένης Γο ς', λεπίδος χαλκοῦ Γο β'. Τὴν λεπίδα λειώσας οἴνῳ ἀναλάμβανε τῇ σΊαφίδι προλελειωμένῃ. — Πρὸς παλαιὰ καὶ δυσκατούλωτα ἕλκη.] Σεύτλου φύλλα ἐξινιάσας ἕψε μετὰ ὕδατος καὶ λεῖα ποιήσας κατάπλασσε. Ποιεῖ δὲ καὶ μαλάχη ὠμὴ καταπλασσομένη. — Πλάτυσμα.] Μολιβδαίνης Γο γ', ψιμυθίου Γο γ', κολοφωνίας Γο ιβ', κηροῦ Γο δ', μυρσινίνου ℥ α'. Ξηρὰ λειώσας τὰ μεταλλικὰ μίσγε τῇ κηρωτῇ ψυγείσῃ καὶ ἀναξυσθείσῃ.

ρ'. Οὐλὰς *ὁμοχρόους ποιῆσαι.*

Λιθαργύρου, ἡδυόσμου, λιβανωτοῦ, μέλιτος ἴσα.—Πρὸς οὐλὰς μελαίνας.] Κροκοδείλου κόπρου ∠ι', λιβάνου ∠β', ψιμυθίου ∠β'. Διὰ ὕδατος ἐπιχρίεται, ἢ κυπρίνῃ κηρωτῇ μιγέν. — Οὐλὰς λευκαῖνον.] Σάπωνος, κυνείας λευκῆς, κηροῦ, ἐλαίου λελευκασμένου ἴσα. — Ἄλλο.] Νίτρου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου ἴσα. Ὄξει λευκῷ ἢ οἴνῳ ἢ ὕδατι λειοτριβήσας ὀλίγον ἐπίχριε ἵνα μὴ ἑλκώσῃ. — Ἄλλο.] Λιθαργύρου, ψιμυθίου ἴσα. Πεπλυμένα ἐπίχριε σὺν τῷ λευκῷ τοῦ ᾠοῦ. Περισΐερᾶς ἀφόδευμα μετὰ ὕδατος ἐπίχριε, ταχέως ἀπονίπτων μὴ ἑλκωθῇ. — Ἄλλο.] Ἀμμωνιακοῦ θυμιάματος μετὰ χολῆς ὑείας ἐπίχριε. — Ἄλλο.] Χελιδόνος κόπρος μετὰ ὕδατος ἐπιχριόμενος οὐλὰς λευκαίνει.

ρα'. Περὶ *συρίγγων*. Schol. ad Orib. XLIV, 22, t. III, p. 687-688; Orib. XLIV, 22, 23, t. III, p. 611, 615-618.

ρβ'. Κολλύριον *συριγγιακόν*.]

Χαλκίτεως ὠμῆς, ἰοῦ, μίσυος ὠμοῦ, χαλκάνθου, κόμμεως ἴσα. Ἐν ἀντιγράφῳ ἀμμωνιακοῦ θυμιάματος ἴσα. — Πρὸς παλαιὰς σύριγγας.] Χαλκάνθου, μίσυος, σχιστῆς, ἀμμωνιακοῦ θυμιάματος ἴσα. Χαλκάνθου ∠β', μίσυος, χαλκίτεως, ἰοῦ ἀνὰ ∠α'. Ἀναλάμβανε κόμμει, ἢ ἀμμωνιακῷ· ὅταν δὲ ἐκτυλωθῇ, ἰῷ ἑφθῷ μετὰ μέλιτος ἀνακάθαιρε ποιῶν κολλύρια· ἔσΊω δὲ μέλιτος μέρη η', ἰοῦ μέρος α'. — Κολλύριον ὁ καλοκαιριανός.] Ἰοῦ ξυστοῦ, χαλκίτεως ὠμῆς, μίσυος ὠμοῦ, σχιστῆς σΊυπΊηρίας, χαλκάνθου, μίλτου σινωπικῆς, κόμμεως ἴσα. Ὄξει σκευασθὲν χωρὶς κόμμεως, προσλαβὸν δὲ λιβάνου τὰ τετυλωμένα τῶν κόλπων ἀνακαθαίρει μιγνύμενον δωδεκαπλασίονι

8. *ἐκγιγαρτισμένης* X, et sic semper.— Ch. 100, l. 14-15. *κροκοδειλίας* X.

μέλιτι παστιλλώσαντι. Εἰ δὲ πρὸς ἓν μέρος αὐτοῦ μιγείη μέλιτος μέρη κ', σαρκοῖ καὶ κατουλοῖ. — Πρὸς τὰ ἐπὶ τῆς κεφαλῆς καὶ γένυος συκώδη ἐξανθήματα.] Μίσυος, χαλκίτεως, λεπίδος ἀνὰ ∠β', σχιστῆς ∠α'. Λουσαμένῳ ἐπιτίθει ξηρὸν δαψιλὲς τὸ φάρμακον, λουσαμένῳ δὲ τῇ ἑξῆς σπόγγῳ ἀποσύρας τὴν ἐφελκίδα πάλιν ἐπιτίθει ἕως τὸ πᾶν ἀφαιρεθῇ. Ἐλαίῳ μὴ μολυνέσθω. — Ἄλλο συριγγιακόν.] Ἰοῦ ∠δ', ἀλόης ∠β', μέλιτος Γο ϛ'. Λεῖον τὰ ξηρὰ μετὰ ὄξους καὶ ἕψε σὺν τῷ μέλιτι μέχρι συστάσεως καὶ χρῶ ἐμμότῳ ὡς ἀγαθῷ. — Ἄλλο πρὸς σύριγγας καὶ μάλωπας ὃ ἔλαβον παρὰ Διονυσίου ἐν Ἱεραπόλει.] Τῆς μαίας τῆς βοτάνης τῆς καλουμένης λεπιδίου φύλλων ἐν σκιᾷ ξηρανθέντων καὶ τῆς παλαιᾶς κνήκου ἄνθους, μέλιτος στακτοῦ ἀπηφρισμένου, τερεβινθίνης ἴσα, ῥοδίνου ὀλίγον. Σκεύαζε λειώσας τὰ ξηρὰ ὄξει, εἶτα ἐπιβαλὼν μέλι καὶ τερεβινθίνην ὁμοῦ συλλειώσας ποίει ἐμπλαστρῶδες, εἶτα προανάτριβε τὸν τόπον προαποβάπτων τὸν δάκτυλον ὄξει καὶ ἐπίπασσε τῇ σύριγγι ξηρῶν τῶν φύλλων τοῦ λεπιδίου λελειωμένων ἐπάνωθεν τιθεὶς σπληνίον ἐκ τοῦ φαρμάκου, μετὰ δὲ τὸ καυθῆναι τὸ μέρος ποίησον τοῦτο καὶ θεράπευε· σμύρνης, λιβανωτοῦ, σιδίων, κνήκου ἄνθους, τερεβινθίνης, μέλιτος, ῥοδίνου ἴσα. — Πρὸς τὰ αὐτόματα. Λευκὴ πάρυγρος πρὸς τοὺς τρυφερόχρωτας.] Πιμελῆς ὑείας προσφάτου Γο ια', κηροῦ Γο ϛ', ψιμυθίου Γο α'ς'', λιθαργύρου Γο α'ς''. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. Ποιεῖ ἐπὶ γυναικείων σωμάτων καὶ πρὸς ἕρπητας· ἔστι δὲ καὶ δακτυλικὴ ἀνεθεῖσα καὶ πρὸς τὰ περὶ μήτραν, ἔτι δὲ πρὸς χιμέθλας κακοήθεις καὶ τὰ περὶ πρόσωπον ψυδράκια· ἐπὶ δὲ χιμέθλων μὴ ἀποδεδαρμένων καὶ ἐκβρασμάτων ὁμοίως μὴ ἀποδεδαρμένων μίσγε καὶ πίτυος φλοιοῦ Γο α'ς''. — Ἡ ἡμετέρα φησὶ διὰ μολιβδαίνης πρός τε τὰ θερμὰ ἐκβράσματα καὶ περιζωματίας ἕρπητας, ἀρχομένους δοθιῆνας· ποιεῖ δὲ καὶ πρὸς κατακαύματα.] Μολιβδαίνης Γο δ', λιθαργύρου Γο β', ψιμυθίου Γο β', κηροῦ Γο η', μυρσινίνου ℔ β'. Οἴνῳ λειοῦται τὰ ξηρά. — Ἡ διὰ ᾠῶν.] Κηροῦ, στέατος ὑείου, λιθαργύρου ἀνὰ ∠α', ᾠῶν ὀπτῶν λεκίθους δ', ῥοδίνου ἢ μυρσινίνου, ἢ λελευκασμένου ἐλαίου Γο ε'. — Πρὸς ἐξανθήματα, παρατρίμματα, κατακαύματα.] Σκωρίαν μολίβδου ὡς Γο γ' λείαν ἢ δ' ἀνάλαβε κηρωτῇ Γο δ', ὑείου στέατος Γο α', μυρσινίνου ℔ α'. Χρῶ καὶ πρὸς χιμέθλας μὴ ἀποδεδαρμένας καὶ τῶν ἐκβρασμάτων τὰ μηδέπω ἐστομωμένα, πρός τε ἀποσύρματα καὶ τὰ ἐπὶ τῶν ἀντικνημίων ἕλκη καὶ πρὸς παλαιὰ καὶ ἕρπητα τὸν ὑπὸ τὸ δέρμα. Πρὸς δὲ τὰ ἀπουλώσεως δεόμενα ἄνευ στέατος σκευαστέον. — Πρὸς ἐπινυκτίδας καὶ φλυκταίνας.] Λιθάργυρον, θεῖον ἄπυρον ἴσα μετὰ ὄξους καὶ οἴνου γλοιῶδες ἐπίχριε· ἐγὼ ἔλαιον οὐ μίγνυμι καὶ ἀντὶ ὄξους οἴνῳ αὐτὸ λειῶ. — Ἄλλο πρὸς ἐπινυκτίδας.] Θαλλία κατάπλασσε ἐν φακῷ ἑφθῷ· ὅταν δὲ ἀποδαρῇ, χρῶ τῇ τρυφερᾷ παρύγρῳ μετὰ μέλιτος. Σταφίδες ἀφῃρημένων τῶν γιγάρτων, ἢ χλωρὸν κόριον κατὰ αὐτό, ἢ μετὰ μάννης, ἢ σταφὶς μετὰ κορίου, ἢ προβάτου ἄφοδος κατὰ αὐτήν, ἢ ἀρνόγλωσσον μετὰ ὕδατος, ἢ ἀψίνθιον σὺν ὕδατι.

2. γενείου Aët. — 5. Ἐλαίῳ Aët.; Ἐλαίου X. — 12. ἐπίπασσε Aët.; ἐπίπλασσε X. — 17. κατά Aët.; μετά X. — 19. περι προσώπου X; ἐν προσώπῳ Aët.

ρỿ'. Ἄλλο πρὸς ἐξανθήματα.

Πηγάνου χλωροῦ, θείου ἀπύρου, λιθαργύρου. Ὄξει λείου καὶ μιγνὺς ῥόδινον ἐπίχριε. — Ἡ διὰ χυλοῦ λινοσπέρμου ἔμπλαστρος εὐπόριστος ποιοῦσα πρὸς φλεγμονὰς καὶ νεύρων τρώσεις καὶ τραύματα πρόσφατα καὶ χρόνια καὶ ἀντὶ μαλάγματος παραλαμβανομένη καὶ χαλαστικοῦ, καὶ τὸ ὅλον πρὸς πάσας τὰς διαθέσεις ἁρμόζει.] Κηροῦ ℔ α', πίσσης Γο ιη', κολοφωνίας Γο ιη', ἐλαίου κοινοῦ κο. α's", χυλοῦ λινοσπέρμου κο. γ'. Τήξας τὰ τηκτὰ καὶ ποσῶς ψύξας ἐπίβαλλε τὸν χυλὸν καὶ ἀνάκοπτε ἕως ἑνωθῇ.

ρδ'. Πρὸς ἐρυσιπέλατα· περὶ τούτων γέγραπται καὶ ἐν τῷ περὶ ποδάγρας χωρίῳ.

Τῶν ἐρυσιπελάτων ἐργωδέστερα τυγχάνει τὰ περὶ κεφαλήν· ὅθεν εἰ μὴ ἐμπράκτου τύχοι βοηθείας, ἐνίοτε καὶ πνίγει τοὺς πεπονθότας. Εὐθὺς τοίνυν κατὰ ἀρχὰς ἐπιφανέντων φλεβοτομεῖν δεῖ τέμνοντας ἐν τῷ ἀγκῶνι τὴν ὠμιαίαν καλουμένην φλέβα· εἰ δὲ μὴ φαίνοιτο αὕτη, τὴν εὑρισκομένην· ἐπαφαιρεῖν τε καὶ ἐν ἀσιτίᾳ τηρεῖν μέχρι πρώτης διατρίτου· εἰ δὲ μὴ φλεβοτομήσαιμεν, κενοῦν διὰ κλυστῆρος ἢ καθαίρειν, καταχρίειν τε τοῖς πρὸς ἐρυσιπέλατα ποιοῦσι τροχίσκοις τά τε κατεχόμενα τῶν μερῶν καὶ πολὺ τῶν παρακειμένων. Φυλασσέσθω δὲ ὑγρὰ τὰ ἐπικεχρισμένα, καὶ ἀλλασσέσθω τὰ πρῶτα τῶν φαρμάκων· ταχὺ γὰρ ἄπρακτα γίνεται διαπνεόμενα διὰ τὴν πύρωσιν, τὰ δὲ πρῶτα διὰ εὐαφοῦς σπόγγου ἀποθλιβομένου εἰς χλιαρὸν ὕδωρ ἀφαιρείσθω. — Τροχίσκος κάλλιστος ὁ τοιοῦτος.] Λιθαργύρου, ψιμυθίου, κρόκου, θείου ἀπύρου, ὀπίου ἴσα μετὰ γλυκέος ἢ στακτοῦ. Τὰ δὲ ἐπὶ τοῦ λοιποῦ σώματος καταχριστέον τοῖς ἁπλουστέροις ὡς ψιμυθίῳ μετὰ χυλοῦ στρύχνου, ἢ κορίῳ, ἢ ῥῷ βυρσοδεψικῷ λελεασμένῳ μετὰ ὄξους καὶ ῥοδίνου, ἢ ὀπῷ μήκωνος μετὰ ὄξους, ἢ λιθαργύρῳ μετὰ ναρδίνου μύρου, ἢ ψυλλίῳ μετὰ ψιμυθίου καὶ ὄξους καὶ ἐλαίου, ἢ λιθαργύρῳ μετὰ χυλοῦ πράσου καὶ σεύτλου, ἢ κιμωλίᾳ μετὰ χυλοῦ στρύχνου, ἢ χαλκίτιδι μετὰ ἐλαίου καὶ γλυκέος, ἢ ψιμυθίῳ μετὰ ὄξους καὶ λυκίου ὥστε χρῶσαι, ἢ κεραμικῇ γῇ μετὰ χυλοῦ στρύχνου, ἢ κωνείῳ καὶ λιθαργύρῳ μετὰ ὕδατος λελειωμένοις. Εἰ δὲ μὴ προκόπτοι, καταπλαστέον κορίῳ μετὰ ἄρτου, ἢ ἀρνογλώσσου φύλλοις, ἢ σελίνου, ἢ ῥάμνου, ἢ κολοκυνθίδι, ἢ ψυλλίῳ, ἢ ἀειζώῳ, ἢ λινοσπέρμῳ μετὰ χυλοῦ στρύχνου, ἢ ὠκίμῳ μετὰ ψιμυθίου καὶ ἐλαίου καὶ ὄξους. Γενομένης δὲ φλεγμονῆς ἐν τοῖς ἐρυσιπέλασι κατασχαστέον καὶ ἐξαντλητέον ἐπὶ πλεῖστον· κίνδυνος γάρ ἐστιν ἐπιμενόντων μεταβολῆς εἰς πύον ἢ σηπεδόνα. — Ἄλλο.] Θεῖον καὶ ἡδύοσμον συλλεάνας ὄξει ἐπίχριε, [ἢ] τῷ ἀνδρωνείῳ, ἢ φακῷ τῷ ἐπὶ τῶν τελμάτων. Ἐν ἄλλῳ ἔχει οὕτως· Λιθαργύρου, ψιμυθίου ἀνὰ Γο β', ὄξους, οἴνου, ἐλαίου τῶν γ' ἀνὰ Γο β'. Λειώσας ἐπίχριε πτερῷ, ἢ βρέχων ῥάκει ἐπιτίθει, καὶ συνεχῶς ἄλλασσε.

Ch. 104, l. 29. μεταβολήν X. Conf. Paul. — 30. [ἢ] om. X.

ρε'. Πρὸς ἕρπητας.

Τῶν ἑρπήτων οἱ μέν εἰσι φλυκταινώδεις καὶ ὑπέρυθροι, οἱ δὲ λευκοὶ καὶ ὠχροὶ, τὸ δὲ διάφορον ἐκ τῆς τῶν χυμῶν ποιότητος. Πρὸς μὲν οὖν τὸν φλυκταινώδη ἕρπητα σκωρίαν μολίβδου ἐν οἴνῳ αὐστηρῷ λεάνας καὶ καταχρίσας κατάπλασσε ἐπάνω φύλλα σεύτλου ἐν οἴνῳ ἑφθά. Σταθείσης δὲ τῆς νομῆς τῇ διὰ σκωρίας κηρωτῇ χρῶ. — Πρὸς τὸν ὑπὸ τὸ δέρμα ἕρπητα τοῦτο.] Σκωρίαν μολίβδου ἀναλαβὼν χυλῷ πηγάνου χρῶ· ἢ θαλλία ἐν οἴνῳ ἑφθὰ μετὰ ὀλίγου μέλιτος κατάπλασσε· ἢ κηρωτῇ μυρσινίνῃ ἀντὶ πηγάνου. — Ἄλλη πρὸς τοὺς ὀξέως νεμομένους.] Σιδίων γλυκείας ῥοᾶς ∠ϛ', λιθαργύρου ∠ϛ', ἐρίου ἀπλύτου μαλακοῦ περὶ δᾷδα κεκαυμένου ∠γ', κηροῦ ∠ιβ', μυρσινίνου Γο δ' ἢ ε'. — Πρὸς τοὺς ἐκδαρέντας ἕρπητας.] Λιθαργύρου ∠ιβ', ψιμυθίου, κηροῦ ἀνὰ ∠η', λιβάνου ∠β', σχιστῆς ∠α'· οἴνῳ καὶ μυρσινίνῳ.

ρϛ'. Περὶ ἀνθράκων.

Ἄνθρακες γίνονται ὡς ἐπίπαν ἐκ μελαγχολικοῦ χυμοῦ, θεραπευτέον δὲ τοῖς ἐπισπαστικοῖς φαρμάκοις· ἐξόχως δὲ ποιεῖ πρὸς τούτους ἡ διὰ νίτρου, ἔστι δὲ αὕτη. Νίτρον καὶ πήγανον ἴσα σὺν ὄξει λεάνας εἰς ῥάκος ἔμπλασσε. Ἢ σίλφιον μετὰ νίτρου καὶ πηγάνου καὶ μέλιτος. Κατάπλασσε φακῷ μετὰ ἄρτου καὶ ἀρνογλώσσου. — Ἐκ τῶν Ἡροδότου.] Οἱ ἄνθρακες ὑπαγόμενοι κατὰ γένος τοῖς ἐξανθήμασιν ἐμφερεῖς εἰσι ταῖς ὑπὸ καυτήρων γινομέναις ἐσχάραις σὺν τῷ προσέχεσθαι ταῖς βάσεσι καὶ τρόπον τινὰ προσηλῶσθαι· γίνονται δὲ μετὰ νομῆς. Ἀλλὰ οἱ μὲν περὶ τῇ σαρκὶ συστάντες συντόμως περιγράφονται, οἱ δὲ κατὰ τῶν νεύρων ἢ τῶν ὑμένων γινόμενοι μέχρι πολλοῦ φέρονται καὶ κατὰ συμπάθειαν τοῖς ὑποκειμένοις κοίλοις τόποις ἀποτίθενται, καὶ οἱ μὲν περὶ κεφαλὴν συστάντες τοῖς πρὸς τῷ τραχήλῳ μέρεσι σκληρίας ἐπιφέρουσιν, οἱ δὲ περὶ τὸν τράχηλον τῷ θώρακι, ἢ νώτῳ, ἢ χερσὶν, ἢ τοῖς περὶ μασχάλαις τόποις, οἱ δὲ περὶ αἰδοῖα καὶ σκέλεσι καὶ τοῖς περὶ τοὺς βουβῶνας. Οὐκ ὀλίγοι δὲ καὶ τὰ περικείμενα μέρη εἰς διαπύησιν ἄγουσιν, ἔνθα ἡ εὐρύτερα ἢ εὐπαθέστερα πέφυκε τὰ νεῦρα. Ἐπιγίνονται δὲ αὐτοῖς πόνοι μείζονες τοῦ γενομένου μεγέθους, τισὶ δὲ καὶ ἐρυσιπέλατα ἐπιμήκη, τοῖς δὲ πλείστοις καὶ πυρετοὶ, τὰ δὲ συμπαθήσαντα μέρη, εἰ μὴ καλῶς θεραπευθείη, διαπυΐσκει. Ἐν δὲ ταῖς ἀνακαθάρσεσι πολλάκις ἐκ βάθους ἀπολύονται ὑμένες ἢ νεῦρα ἐμφερῶς ταῖς ἐντεριώναις. Γίνονται δὲ καὶ κατά τινας ἐπιδήμους αἰτίας κατὰ τοὺς πλείστους καὶ ἀπὸ ἐθῶν εἰς ἔθη μεθίστανται. — Θεραπεία ἀνθράκων.] Θεραπεία μὲν κατὰ τὰς ἀρχὰς ἀρίστη συστολὴ καὶ ἡσυχία, καὶ εἰ πολλοὶ καὶ μεγάλοι συνίστανται, καὶ διὰ κλυστῆρος κένωσις καὶ τροφὴ μετὰ δευτέραν

Ch. 105, l. 5. *πηγάνου*] *πολυγόνου* Aët. — 8. *περὶ δᾷδα* Paul.; *περὰ δα δα* X.; *δαδίνῳ ξύλῳ περιελιχθέντος καί* Aët. — Ch. 106, l. 16. *προσέχεσθαι* Aët.; *προσερχεσθαι* X. — 17. *Ἀλλὰ οἱ* Aët.; *Ἄλλοι* X. — 18. *περιγράφονται*] *ἀπόλλυνται* Aët. — 19. *πολλοῦ*] *βάθους* Aët. — Ib. *φέρονται καί* ex em.; *φεροντε* X.; *φερόμενοι* Aët. — 23. *ἄγουσιν* Aët.; om. X. — 27. *νεῦρα* Aët.; *τὰ νεῦρα* X.

ἢ τρίτην ἡμέραν. Κατὰ τῶν ἀνθράκων ἐπιῤῥιπτέον κεφαλικὰς κηρωτὰς ἀνιεμένας, καλή τε ἥ τε διὰ βοτανῶν καὶ ἡ διὰ νίτρου καὶ τὰ πρὸς νομὰς ξηρὰ κατὰ ἰδίαν τε καὶ μετὰ ῥοδίνου, καὶ καταπλάσματα φακὸς μετὰ μέλιτος. Τὰ δὲ ἐρυσιπελατώδη τοῖς πρὸς ἐρυσιπέλατα ἐπιχριέσθω· τὰ δὲ πρὸς τὰς συμπαθείας ὕποπτα τῶν μερῶν οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου. Εἰ δὲ φθάσαιεν ἡμῶν τὴν προφυλακὴν αἱ φλεγμοναὶ, καταπλαστέον ἄρτῳ ἢ ὠμῇ λύσει· παρηγορηθείσης δὲ τῆς φλεγμονῆς καὶ τῆς σκληρίας ἐπιμενούσης, ἀφλεγμάντους δυνάμεις ἐπιῤῥίπτειν, ἀρίστη δὲ πασῶν ἡ λεγομένη Σαραπίωνος μηλίνη. Σπουδαστέον μέντοι ὡς ὅτι τάχιστα εἰς διαπύησιν ἄγειν τοὺς ἄνθρακας καὶ ἀποστῆσαι τῆς πρὸς τὰ παρακείμενα συναφείας, τοῦτο δὲ ἂν γίνοιτο, εἰ δὶς μὲν τῆς ἡμέρας, ἅπαξ δὲ τῆς νυκτὸς ἀλλάσσοιμεν τὰ φάρμακα καὶ τὰ καταπλάσματα, τὰς δὲ καταιονήσεις ὑπὲρ ἀπονίψεως παραληπτέον. Τὰ δὲ τοῖς συμπαθήσασι μέρεσιν ἐπιτιθέμενα ἅπαξ τῆς ἡμέρας ἐναλλασσέσθω. Τοὺς δὲ διαπυήσαντας τόπους διαιρετέον καὶ θεραπευτέον ἐμφερῶς ταῖς πολλαῖς ἀποστάσεσιν. Ἐπεὶ δὲ τὰ πλεῖστα τῶν πονηρῶν συμπτωμάτων ἐστὶν ὅτε πρὸς τὰς κοινὰς ὠφελείας ἀντιβαίνει, ἀφίστασθαι μὲν δεῖ τῆς συμφώνου θεραπείας, παραγίνεσθαι δὲ ἐπὶ τὴν κοινὴν τῶν ἑλκῶν ἐπιμέλειαν. Ἔσωσαν δὲ καὶ πολλαὶ καὶ συνεχεῖς διὰ θερμοῦ καταιονήσεις, ἀνιέμεναι δὲ τετραφάρμακοι βασιλικαὶ, καταπλάσματα καὶ ὠμὴ λύσις καὶ κηρωταί. Ἐπὶ πάντων δὲ μετὰ τὰς τῶν ἀνθράκων ἐκπτώσεις μηδὲν ἴδιον τῇ ἐπιμελείᾳ προσφερέσθω, ἀλλὰ ὡς κοιναὶ ἑλκώσεις θεραπευέσθωσαν, ὅτε καὶ βαλανεῖα καὶ οἶνοι ἐπιτρέπονται· [ἐπιτρεπόν]των δὲ τῶν πεπονθότων μερῶν καὶ περίπατοι καὶ αἰωραὶ καὶ τροφαὶ ποικίλαι λυσιτελεῖς· τὸ γὰρ τὴν ὅλην ἐξαλλάσσον θεραπείαν χωρισθὲν καταλέλοιπε τὸ σῶμα τῇ προτέρᾳ συνηθείᾳ. — Μηλίνη Σαραπίωνος.] Λιθαργύρου ∠ρ', κηροῦ ∠ν', κολοφωνίας ∠ν', ἀμμωνιακοῦ ∠κε', ἰοῦ ξυστοῦ ∠η', χαλβάνης ∠η'· ἐγὼ καὶ σμύρνης ∠η' ἔβαλον· ἐλαίου κοτύλ. α'ς". — Διὰ νίτρου.] Νίτρου ὀπτοῦ Γο γ', κηροῦ, ἐλαίου, κολοφωνίας ἀνὰ Γο α'ς", ὀποῦ κυρηναϊκοῦ ἢ μηδικοῦ Γο γ'. Ἐπιτίθεται ἔμμοτον ἄνωθεν καὶ ξηραίνει τὴν ὑγρότητα τοῦ ἄνθρακος. Μετὰ δὲ τοῦτο ἐχρησάμην ἀκολούθως τούτῳ καὶ περιγράφων ἐξεῤῥίζου ἀπολύων αὐτὸ τῆς πρὸς τὰ παρακείμενα συναφείας· ἔστι δὲ τοιοῦτον. Ῥοιὰς ὀξείας κατασχίσας ἕψε ἐν ὄξει καὶ τακερὰς γενομένας λειοτριβήσας ἔμπλασον εἰς ὀθόνιον καὶ ἐπιτίθει· ξηραινόμενον δὲ ὑγραινέσθω τῷ ὄξει. — Πρὸς ἄνθρακας.] Σάπωνος, μέλιτος, ὀξυγγίου ἀνὰ ἴσα, ἁλῶν καὶ τέφρας ἀνὰ ἥμισυ· ἔξωθεν δὲ ἄρτῳ κατάπλασσε. — Πρὸς τοὺς ἐν τοῖς βλεφάροις ἄνθρακας.] Ὀπίου· οἱ δὲ κυτίνων· μίσυος ὀπτοῦ, ἀκακίας, λεπίδος χαλκοῦ ἀνὰ ∠β', χαλκάνθου ∠α', ὑοσκυάμου σπέρματος ∠δ'. Λεάνας ὕδατι χρῶ. Ποιεῖ δὲ καὶ ἡ τετραφάρμακος καλῶς ἔχουσα τὸ πέμπτον μέρος λιβάνου, ὥστε τὰ πέντε ἰσόσταθμα εἶναι. — Πρὸς τοὺς ἐν αἰδοίοις ἄνθρακας.] Χαλκίτεως ∠η', χαλκάνθου ∠η', ἀφρονίτρου ∠α'. Μετὰ ὕδατος λεάνας χρῶ. — Ἄλλο.] Κόπρος προβατεία μετὰ μέλιτος ποιεῖ. — Ἄνθρακας ἐκπυΐσκον.] Ὑγρὰ πίσσα σὺν σταφίδι καὶ ὑείῳ στέατι, καρύου βασιλικοῦ παλαιοῦ τε καὶ τοῦ μὴ παλαιοῦ τὸ βιβρωσκόμενον,

20. [ἐπιτρεπόν]των ex em.; τῶν X. — 27. ἀκολ. τοῦτο καὶ περιγράφον ἐξερίζου ἀπὸ λυοναυτο X. — 38. παλαιοῦ τε ex em.; παλαῖ τε X. Conf. Paul.

ὀπὸς σιλφίου μετὰ πηγάνου καὶ μίσυος καὶ μέλιτος. — Πρὸς ἄνθρακας καὶ γαγγραίνας, παλαιά τε ἕλκη καὶ χειρώνεια.] Λιθαργύρου λ α', ἐλαίου παλαιοῦ λ α' s", ἀρσενικοῦ Γο α'. Ἕψε ἔλαιον, λιθάργυρον, ἀμόλυντον δὲ ἐπάρας ἐπίβαλλε αὐτὸ τὸ ἀρσενικὸν, καὶ πάλιν ἕψε ἕως μέλαν γένηται, εἶτα ἐπιβαλὼν αὐτὸ ἐν θυίᾳ διὰ δοίδυκος μάλασσε, χρῶ δὲ ἀνιεὶς διὰ ἐλαίου ἐμμότῳ ἐπὶ χοιράδων, παρωτίδων, ποδάγρας, ἀνθράκων· δαιμονίως γὰρ ποιεῖ ἐπὶ ἀνθράκων. — Πάγχρηστον.] Χαλκίτεως, μίσυος ὠμῶν ἀνὰ ∠ι', λεπίδος σιδήρου ∠η', κηκίδων ὀμφακιτίδων ∠δ'. — Τὸ διὰ ὀξυμέλιτος κοράκιον.] Ἐλαίου ὀμφακίνου ἢ μυρσινίνου Γο ι', ταυρείου στέατος Γο η', κηροῦ Γο δ', τερεβινθίνης Γο α', κηκῖδος Γο β', λεπίδος χαλκοῦ Γο α' s", χαλκίτεως Γο α', λιβανωτοῦ Γο α'. Τὰ μὲν ξηρὰ ὄξει λεάνας ἐπὶ πολλὰς ἡμέρας ὕστερον μῖξον μέλιτος κυάθους β' ἢ Γο ε', καὶ ἀναλάμβανε κηρωτῇ. Ποιεῖ πρὸς πάσας μὲν νομὰς, ἰδίως δὲ τὰς ξηροτέρας, καὶ ὅπου νεῦρα γυμνὰ φαίνεται, κεραννύμενον δὲ κηρωτῇ ἴσῃ μὲν καθαίρει, πλείονι δὲ κατουλοῖ. — Πρὸς νομὰς καὶ σηπεδόνας τροχίσκος ὁ Ἀσκληπιός.] Κηκῖδος ∠η', κυτίνων, ἀριστολοχίας στρογγύλης, χαλκίτεως, καδμείας ἀνὰ ∠ϛ', ἴρεως ∠δ', λεπίδος ∠δ', μίσυος, χαλκάνθου, σχιστῆς, λιβάνου, νίτρου ἀνὰ ∠γ'. Λείου ὄξει ἐπὶ ἱκανὰς ἡμέρας καὶ ποίει τροχίσκους κ', πρὸς δὲ τὴν χρείαν ἢ ὀξυμέλιτι, ἢ κηρῷ ἀνιείς. — Πρὸς τὰ νεμόμενα καὶ τὰ ἐν στόματι καὶ πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας· ἔστι δὲ καὶ σηπτόν.] Λεπίδος Γο β', σχιστῆς Γο α', χαλκίτεως, μίσυος ὠμοῦ ἀνὰ ∠δ'. Ξηρῷ ἐπίπασον.

ρζ'. Πρὸς κατακαύματα.

Κατακαύματα ὥστε μὴ φλυκταινοῦσθαι. Ἄλφιτον φυράσας οἴνῳ ἀπαραχύτῳ κατάπλασον, ἢ φακῷ ἑφθῷ ἐν οἴνῳ. — Προκαταληπτικόν.] Στυπτηρίας, λιβανωτοῦ ἴσα μετὰ ὄξους κατάχριε. Κιμωλίαν μετὰ οἴνου ἢ ὄξους κατάχριε. — Τὸ σφαιρίον, κατακαύμασιν, ἐρυσιπέλασιν.] Ἀσβέστου ζώσης, ψιμυθίου, λιθαργύρου ἀνὰ Γο γ', κηροῦ Γο δ', βερενικαρίου νίτρου Γο α', ῥοδίνου λ α'. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν, ἐπὶ δὲ τῆς χρείας τῆκε κηροῦ Γο β', ῥοδίνου Γο ϛ', ἀφελὼν δὲ τοῦ πυρὸς τὴν κηρωτὴν ἐπίβαλλε σφαιρίον ἄγον Γο α' πεπλατυσμένον, καὶ σπαθίζων διάλυσον, ψυγέντι δὲ ἐπίρραινε κατὰ ὀλίγον ὕδατος Γο θ' ἀνακόπτων εὐτόνως. — Κατακαύμασιν.] Κρίνου ῥίζαι λειωθεῖσαι ἀναλαμβάνονται κηρωτῇ ῥοδίνῃ ἢ μυρσινίνῃ.

ρη'. Σηπταὶ καυστικαί.

Σηπτὴ ἱκανῶς ἄδηκτος.] Λεπίδος χαλκοῦ ∠δ', σανδαράχης ∠δ', ἐλλεβόρου μέλανος ∠δ'· μετὰ ῥοδίνου χρῶ. Ἔνιοι ἐλλεβόρου ∠α' καὶ ἀρσενικοῦ ∠α', καὶ ἔστι κρεῖσσον· τινὲς ἀντὶ ἀρσενικοῦ σχιστῆς. — Σηπτὴ ἱκανῶς ἄδηκτος, καὶ κατὰ βάθος ἐσχαροῦσα.] Λεπίδος, σανδαράχης ἀνὰ ∠γ', ἐλλεβόρου μέλανος ∠α'. Ἐπὶ μὲν τῶν καθύ-

2. τε Aët.; om. X. — 4. διὰ δοίδυκος conj.; δίδυκος X. — 7. ὀμφακίδων X. — 12. ἀνακαθαίρει τὰ ῥυπαρά Aët. — Ch. 107, l. 24. νίτρου Γο α' Aët.; om. X, Paul.

γρων ἑλκῶν ξηρῷ χρῶ, ἐπὶ δὲ τῶν ἄλλων ῥοδίνῳ ἀναλαϐών. — Σηπτὴ χοιράδων.] Σχισῖῆς ∠δ', σανδαράκης ∠δ', λεπίδος χαλκοῦ ∠β', ἀρσενικοῦ ∠α'. Ὁ βούλῃ σῆψαι ξηρῷ κατάπασσε· εἰ δὲ χοιράδας ἀναιρεῖν ἢ καρκινώματα βούλῃ, ῥοδίνῳ φυράσας δὶς τῆς ἡμέρας θεράπευε.

ρθ'. Περὶ χιμέθλων.

Χιμέθλων κηρωτὴ ἐν ᾗ σκόροδα ἐφρύγη. — Ἄλλο.] Στυπτηρίαν λεάνας ἐν οἴνῳ καὶ ῥοδίνῳ ἐπίχριε. — Ἐπὶ τῶν ἡλκωμένων χιμέθλων.] Λιϐάνου, σχισῖῆς, μίλτου, ῥητίνης ἴσα. Στέατι ὑείῳ ἀνιεὶς χρῶ. — Ἄλλο.] Μυελῷ βοείῳ ὀλίγον πηγάνου μίξας χρῶ. — Πρὸς ἡλκωμένας.] Στυπτηρίας σχισῖῆς ∠ι', λιθαργύρου ∠δ', σμύρνης ∠α', ᾠῶν β' τὰ λευκά· οἴνῳ καὶ ἐλαίῳ συλλεάνας. — Παύλου τοῦ ἡμετέρου χιμέθλαις.] Ὑοσκυάμου χυλῷ ἐπίχριε συνεχῶς· αὐθήμερον ἀφλεγμάντους καὶ ἀπόνους ποιεῖ. Μάνναν, θεῖον ἄπυρον· σὺν μέλιτι ἑφθῷ χρῶ. — Πρὸς τὰς ἡλκωμένας ἐξαφάρμακον.] Ἐλαίου, ταυρείου σῖέατος, ὑοσκυάμου χυλοῦ, λιθαργύρου, μέλιτος ἴσα, κολοφωνίας δὲ τὸ ἥμισυ.

ρι'. Πρὸς παρωνυχίας.

Ἀρσενικὸν καὶ μάνναν ἴσα ἐπίπασσε, ἄνωθεν δὲ μότον καὶ σπόγγον διὰ οἴνου καὶ πανακίου. — Ἑρμογένους.] Φησὶ πρὸς πτερύγια καὶ τὰ ἐπὶ τῶν δακτύλων σηπόμενα καὶ πρὸς αἰδοίων ἕλκη. Λιϐανωτοῦ ∠δ', λεπίδος ∠β', ἰοῦ ξυστοῦ ∠α', μέλιτος κύαθος α'. Τρίϐε ἐν ἡλίῳ ἕως ὑπόξανθον γένηται, προκαταιονήσας δὲ τὸν τόπον οἴνῳ ἀπαραχύτῳ θερμῷ κατάχριε τὸ φάρμακον, ἄνωθεν δὲ σπληνίον ἐξ ὕδατος καὶ σπόγγον ἐπιτίθει. Τούτῳ χρησάμενος εὐηρέσῖησα. — Ἄλλο.] Στυπτηρία ὑγρὰ κεκαυμένη ἀναληφθεῖσα μέλιτι. — Ἄλλο.] Ἰοῦ, χαλκάνθου μετὰ ἴσου λιϐανωτοῦ.

ρια'. — Ἄλλο πρὸς πτερύγια.

Συντόμως ξηραῖνον καὶ θεραπεῦον.] Σώρεως, λιϐάνου ἀνὰ ∠β', ἰοῦ ∠α', μέλιτος ἴσον. Συλλεάνας ἐπὶ αὐτὸ τὸ πτερύγιον ἐπιτίθει. Ποιεῖ δὲ καὶ πρὸς τὰς λοιπὰς ἐπὶ τῶν τόπων τούτων κακοηθείας καὶ μελανίας καὶ σηπεδόνας. — Ἄλλο.] Περισῖερᾶς κόπρον μετὰ πάλης ἀλφίτου ἐν γλυκεῖ ἑψήσας καὶ συλλεάνας θερμὸν ἐπιτίθει. — Πρὸς παρωνυχίας.] Κατάχριε διὰ ὕδατος ἢ οἴνου τῷ Ἡρᾶ ἢ τῷ Μούσα, ἡ παρωνυχία δὲ ἀπόσῖημά ἐσῖι παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος. Κατάπλασσε αὐτὴν φοίνιξι λείοις μετὰ οἴνου.

ριβ'. Πρὸς λεπροὺς ὄνυχας.

Λεπροὺς ὄνυχας ἀφίσῖησι προπόλεως, κηροῦ, ἀσφάλτου ἀνὰ ∠β', θείου ἀπύρου ∠α'. Ἐλαίῳ μὴ μολυνέσθω, ἐν δὲ τῇ χρήσει θερμανθὲν ἐν ἡλίῳ ἢ χαλκῷ ἀγγείῳ ἐν ὕδατι θερμῷ περιπλάσσεται τοῖς ὄνυξιν. — Ἄλλο ἀφισῖῶν λεπροὺς ὄνυχας.] Ἀσφάλ-

Ch. 110, l. 14. *καί* après *οἴνου* Paul.; om. X

του ∠β', ἀρσενικοῦ, σανδαράκης, θείου ἀπύρου ἀνὰ ∠α'. Ἀναλαβὼν ῥητίνῃ χρῶ, καὶ ἐπίλυε διὰ ἑπτὰ ἡμερῶν· ὅταν δὲ ἐκπέσῃ ὁ ὄνυξ, κηρωτὴν μυρσινίνην ἐπιτίθει ὀλίγον ἔχουσαν τοῦ Φαρμάκου. — Πρὸς λεπροὺς ὄνυχας.] Ἀρσενικοῦ ∠β', σανδαράκης ∠α'. Τερεβινθίνῃ ἀναλαβὼν χρῶ. Σταφίδα ἀγρίαν μετὰ ὄξους λειώνας ἐπιτίθει.

ριγ'. Πρὸς ῥαγάδας πελμάτων καὶ πτερνῶν.

Ἡ ἀνθηρά.] Λιβάνου, ἀσβέστου ζώσης ἀνὰ ∠δ', ψιμυθίου ∠β', κηροῦ ∠γ', χοιρείας πιμελῆς προσφάτου ∠ζ', κολοφωνίας ∠θ', χυλοῦ λινοσπέρμου κυ. α' ἢ ∠ιβ', ἐλαίου γλυκέος ∠μ'. Λειώνας τὴν ἄσβεστον καὶ τὸ ψιμύθιον σὺν τῷ χυλῷ τοῦ λινοσπέρμου ἀναξύσας τὴν κηρωτὴν σὺν τῷ χυλῷ τοῦ λινοσπέρμου μίσγε. Ἁπαλὸν ἐργάζεται τὸ πέλμα ὡς οὐδὲν ἕτερον. — Ῥαγάσιν.] Λιθαργύρου, σλέατος ὑείου, κηροῦ ἀνὰ ∠α', ᾠῶν λεκίθους δ', ἐλαίου κυ. β'· τινὲς δὲ καὶ μυρσίνην. — Ῥαγάσιν.] Ἀμόργης, μέλιτος ἀπηφρισμένου ἀνὰ ∠β', σλυπτηρίας Φορίμης ∠α'. Τὰ αὐτὰ ποιεῖ, ἐκ περισσοῦ δὲ καὶ οὖλα καθαίρει καὶ κρατύνει ὀδόντας. — Ῥαγάσι ποιεῖ δὲ καὶ τοῦτο.] Κηροῦ, μέλιτος, ἐλαίου ἀνὰ Γο γ', λιθαργύρου Γο α'. Ἕψε τὴν λιθάργυρον μετὰ τοῦ ἐλαίου, εἶτα ἐπίβαλλε κηρόν· τακέντος δὲ τὸ μέλι, καὶ δὸς ζέματα ὡς κυκλεῦσαι τὸ σπαθίον ἑκατοντάκις· ἐπάρας χρῶ.

ριδ'. Πρὸς ἥλους ἐν πέλματι.

Προπεριξέσας καὶ περικαθάρας τὸν τόπον ὀπὸν κυρηναϊκὸν μάλισλα καὶ νίτρον σύκῳ ἀναλαβὼν ἐπίθες. — Ἄλλο.] Ὀρνιθείᾳ ἀφόδῳ μετὰ μέλιτος τοὺς ἥλους προπερικαθάραντες ἐπιτιθέναι μίαν τῶν σηπτῶν, ἰὸν ξυσλὸν, ἢ σανδαράκην, ἢ συριγγιακὸν κολλύριον ἀντὶ κόμμεως ἀμμωνιακῷ ἀναληφθέν. Ἀφαιροῦνται δὲ οἱ ἧλοι πλείονι χρόνῳ, κἂν τὸ ὑπερέχον τοῦ ἥλου συνεχῶς τις ἀποξύῃ σμιλίῳ. Καὶ κίσηρις δὲ παρατριβομένη ἀφαιρεῖ χρόνῳ τοὺς ἥλους· καὶ ἐπισπασλικαὶ δέ· χαλβάνη ἰξοῦ προσλαμβάνουσα ἥλους καὶ τύλους ἀφαιρεῖ προπερικαθαρθέντας, προσπερικειμένου τοῖς κύκλῳ τόποις σλέατος καὶ κηροῦ, ἢ ἐμπλάσλρου τινὸς ἐχεκόλλου, σμαρίδος ταριχηρᾶς κεφαλὴ κεκαυμένη, ἰτέας Φλοιὸς πρόσφατος καυθεὶς καὶ λεανθεὶς μετὰ ὄξους, λάδανον μετὰ ὀλίγου κασλορίου, μελάνθιον μετὰ οὔρου, σαύρας κεφαλὴ λεία, ἀμμωνιακὸν μαλαχθὲν, ἄλευρον κρίθινον μετὰ ὄξους. — Ἄλλο καὶ πρὸς λειχῆνας.] Ἀμμωνιακοῦ θυμιάματος, ὀροβίνου ἀλεύρου καὶ θερμίνου ἴσα.

ριε'. Πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας.

Τρυγὸς κεκαυμένης, ἀσβέστου ζώσης, ἰοῦ ξυσλοῦ ἴσα. Ἀφαιρεῖ παραχρῆμα· ὅταν δὲ ἐκπέσῃ, ὡς κοινὸν ἕλκος θεράπευε. — Ἄλλο.] Στυπτηρίας, μίσυος, χαλκίτεως, θείου ἀπύρου ἴσα λειώνας μετὰ ὄξους καὶ βραχὺ μέλιτος μίξας ἐπίχριε. — Ἄλλο.] Ὀπὸν κυρηναϊκὸν μαλάξας ἐπιτίθει. — Ἄλλο τὸ ἡλιοκαές.] Ἀσβέστου μέρη β', ἀρσενικοῦ μέρος α'· προγέγραπται. Ποιεῖ πρὸς θύμους, μυρμηκίας, ἀκροχορδόνας, πτερύγια, δακτύλων τύλους, νομὰς καὶ ἐπουλίδας. — Ἄλλο.] Βατράχιον ἐπὶ ὀλίγον μέρος

ὥρας, ἢ σαξίφραγον κατάπλασσε. — Πρὸς θύμους ἐν αἰδοίῳ.] Θερμῷ οἴνῳ ἀποκλύνας ἀλόην λείαν ἔμπλασσε, ἄνωθεν σπόγγον ἐπιτίθει. Ἄνευ ἑλκώσεως ἀποπίπτουσιν. — Μυρμηκίας.] Νίτρου ἀφρὸν μετὰ οὔρου ἀφθόρου ἐπίχριε· ταχέως δὲ ἀπόψα καὶ συνεχῶς κατάχριε. Βόλβιτα ἀγελαίας ἐν ὄξει ἑψήσας κατάπλασσε. — Θύμους, μυρμηκίας, ἀκροχορδόνας.] Ἐλατήριον μετὰ ἁλῶν ἐπιτεθὲν, λιβανωτὸς μετὰ ὄξους, ὄλυνθοι μετὰ ὄξους καὶ νίτρου καὶ ἀλεύρου, ὀπὸς συκῆς ἐπιχριόμενος, τιθυμάλλου ὀπὸς ὁμοίως, ὠκίμου φύλλα μετὰ χαλκάνθου, κληματίδων χλωρῶν καιομένων τὸ ἀποστάζον, ἡλιοτροπίου καρπὸς σὺν οἴνῳ καταπλασσόμενος, πήγανον σὺν νίτρῳ καὶ πεπέρει, δαύκου ῥίζα καταπλασσομένη. Ὁ δὲ Δουλκήτιός φησι φάβα ἠρειγμένον ῥασιθὲν καὶ ἐπιτεθέν.

ρις'. Πρὸς τὰ μετὰ κνησμοῦ ἐξανθήματα.

Διφρυγὲς μετὰ ὄξους καταχριόμενον, συκαμίνου ῥίζα μετὰ ὄξους, μολίβδαινα μετὰ ὄξους, μίσυ μετὰ ῥοδίνου, αἰγῶν ὄπλα κεκαυμένα μετὰ ὄξους, πήγανον μετὰ ἁλῶν καὶ ἐλαίου, ψιμύθιον σὺν λιθαργύρῳ καὶ ὄξει, δαφνίδων πίεσμα, μύρτα σὺν κηρωτῇ μυρσινίνῃ, κισσοῦ φύλλα ἐν οἴνῳ ἑφθὰ, νίτρον μετὰ θείου ἀπύρου καὶ τρυγὸς σμώμενον. — Ἄλλο.] Καταχριστέον αὐτοὺς ἔξωθεν ἐπιχρίστοις, σταφίδι ἀγρίᾳ μετὰ ὄξους καὶ μυρσινίνου ἢ σχινίνου ἢ ῥοδίνου ἢ μηλίνου, ἢ νίτρῳ, ἢ ἀλκυονίῳ, ἢ μάννῃ, ἢ θείῳ, ἢ ἐλλεβόρῳ, ἢ κιμωλίᾳ κεκαυμένῃ, ἢ στυπτηρίᾳ ὑγρᾷ, ἢ ἀλεύρῳ κυαμίνῳ, ἢ σησάμῳ. Ἢ δάφνης τοὺς ἁπαλωτάτους ἀκρέμονας λειοτριβήσας μετὰ ὀλίγου ὄξους ἐν ἡλίῳ μέχρι τοῦ ὑπερπαγῆναι. Πρὸς δὲ τὰς τῶν κνησμῶν ἐπείξεις πυριατέον ὁμολίνοις ἢ φακωτοῖς πυριατηρίοις ἐξ ὕδατος ζεστοῦ. Τούτοις δὲ πᾶσι χρηστέον κἂν μὴ ἐπὶ διαλειπόντων γένηται πυρετῶν τὰ ἐξανθήματα σὺν κνησμῷ. — Πρὸς τοὺς δίχα ἐξανθημάτων κνησμούς.] Γίνονται δὲ καὶ χωρὶς ἐξανθημάτων κνησμοὶ, ἐπὶ ὧν εἰ μὲν νέοι καὶ πολύαιμοι τυγχάνοιεν, φλεβοτομείσθωσαν μετὰ ἐπαφαιρέσεως, καὶ καθαρτικοῖς ὑπακτέον τὴν κοιλίαν· εἰ δὲ ἐπιμένοιεν, καὶ ἐκ δευτέρου καὶ τρίτου καθαρτέον. Τὸν δὲ λοιπὸν τῆς θεραπείας τρόπον διά τε αἰώρας καὶ γυμνασίων ἀφιδρώσεών τε καὶ βαλανείων προσακτέον· λούοντες δὲ χρησόμεθα τούτοις. Μέλιτος μέρη δύο, στυπτηρίας ὑγρᾶς μέρος ἕν. Ἕψε μέχρι ποσῆς μεταβολῆς καὶ χρῶ πρότερον ἐν ἡλίῳ, εἶτα ἐν βαλανείῳ, ἢ ἐν τῇ τοῦ βαλανείου προστάδι. Ἐνίκμους δὲ πρὸς ὀλίγον γενομένους ἐμπλαστέον θείῳ ἀπύρῳ μετὰ λιβανωτοῦ καὶ νίτρου καὶ κόμμεως. Πρὸς δὲ τὸ ὑποφέρειν τοὺς κνησμοὺς δραστικώτατον τοῦτο. Λαπάθου ἀγρίου ῥίζας κόψας λειοτρίβησον μετὰ ὄξους καὶ συνάλειφε ἐν ἡλίῳ μέχρι τοῦ φοινιχθῆναι, εἶτα λοῦε. Εἰ δὲ μὴ εἴη ἥλιος, ἐν τῇ τοῦ βαλανείου προστάδι συνάλειφε. Τοῦτο ἐπὶ τῶν ψωρωδῶν καὶ λεπρωδῶν εὐδοκιμεῖν ἐγνώκαμεν. — Κνησμονὰς ἀπαλλάσσον.] Κυπρίνου ℥ α', κηροῦ Γο α', θείου ἀπύρου Γο α'. Λεανθὲν τὸ θεῖον εὖ μάλα ἀναμίγνυται τῇ κηρωτῇ· ἐξ αὐτοῦ συμμέτρως ὡς ἄκοπον περιαλείφεται. Μετὰ δὲ τὸ λουτρὸν γλήχων μετὰ λιβανωτοῦ συλλειοῦται οἴνῳ καὶ ἐλαίῳ. Χλιαρὸν δὲ συγχρίεται, ἢ σανδαράκη ὀλίγη σὺν αὐτοῖς, ἢ σταφὶς ἀγρία μετὰ ἐλαίου, ἢ μολίβδαινα ἐν ὑποστάθμῃ ἰρίνου. Ἁρμόζει δὲ συνεχέστε-

Cʜ. 116, l. 16. μύρτα] πήγανον X. — 22. εἶτα ex em.; εἴτε X.

ρον, καὶ ὅτε μὴ ἐνοχλοίη ὁ κνησμὸς, κιμωλίᾳ οἴνῳ βεβρεγμένῃ ἀποσμήχεσθαι μετὰ ὀλίγης μυροβαλάνου λεανθείσης ἐν οἴνῳ καὶ προσλαβούσης ὀλίγον νίτρου. Μυρίκης δὲ φύλλων ἀφεψήματι ἢ ἐλελισφάκου, ἢ λινοζώστεως καταιονᾶν. Ὅτε δὲ ἐνεστήκοι ὁ κνησμὸς, πτισάνης χυλὸς χρησιμώτατος κατὰ αὐτόν τε καὶ ὀλίγον ὄξους προσλαβών· εἰ δὲ ἐπιτεταμένη εἴη ὄχλησις, καὶ σταφίδος ἀγρίας λείας. Ἡ δὲ κοιλία διὰ ἀλόης καταποτίων εὔλυτος ἔστω.

ριζʹ. Σμῆγμα ψωρικὸν ποιοῦν καὶ πρὸς ἱδρωτάρια.

Νίτρου κεκαυμένου ℥ αʹ, ἀφρονίτρου κεκαυμένου ℥ αʹ, φακοῦ ἀλεύρου Γο βʹ, ἐλλεβόρου μέλανος, σαμψύχου, δαφνίδων, πυρέθρου ἀνὰ Γο βʹ. Λείοις χρῶ μετὰ οἴνου ἀναληλιφὼς ἐν βαλανείῳ πρὶν εἰσελθεῖν.

ρηʹ. Περὶ λυσσοδήκτων.

Λυσσοδήκτοις ἔμπλαστρος.] Πίσσης ℥ αʹ, ὄξους δριμυτάτου κο. βʹ, ὀποπάνακος Γο γʹ. Ἕψεται ἡ πίσσα σὺν τῷ ὄξει, ἕως τὸ ὄξος ἀναλωθῇ, καὶ καταχεῖται ὁ ὀποπάναξ λειοτριβηθεὶς σὺν ὀλίγῳ ὄξει. Τοῦτο οὐκ ἐᾷ συνουλῶσαι τὸ ἕλκος τοῦ λυσσοδήκτου, ἐπιτήδειον δέ ἐστι καὶ τοῖς νεῦρα νενυγμένοις. Εἰ δὲ τρυφερόχρωτός ἐστιν ὁ πεπονθὼς, ἀνίεται τὸ φάρμακον ἰρίνῳ, ἢ κομμαγηνῷ, ἢ ἀμαρακίνῳ, ἢ ῥαφανίνῳ. Λυσσοδήκτων προπυριάσας τὰ ἕλκη σκορόδῳ κατάπλασσε· πεσούσης δὲ τῆς ἐσχάρας τῷ εἰρημένῳ φαρμάκῳ θεράπευε, οἷον καρύοις βασιλικοῖς κατάπλασσε λειοτριβήσας ἐπιμελῶς. Τῇ δὲ ἑξῆς ἐπιλύσας πάρθες βρῶσιν ἀλεκτορίδι, καὶ τὰ μὲν πρῶτα οὐχ ἅψεται· εἰ δὲ ὑπὸ λιμοῦ βίας φάγοι, τελευτήσει. Τῇ δὲ ἐπιούσῃ καὶ ταῖς ἑξῆς ἡμέραις ὡσαύτως ποίει. Ὅταν δὲ ἡ φαγοῦσα ὄρνις μὴ ἀποθάνῃ, τότε εἰς οὐλὴν ἄγε τὸ ἕλκος, ὡς ἀπαλλαγέντος τοῦ κινδύνου τοῦ πάσχοντος. Χρῶ δὲ καὶ εἰς διάγνωσιν τῷ αὐτῷ· εἰ γὰρ τὸ φαγὸν ὀρνύφιον ἐκ πρώτης μὴ ἀποθάνοι, γίνωσκε μὴ ὑπὸ λυσσῶντος δεδῆχθαι· εἰ δὲ θάνοι, τοὐναντίον. — Ξηρίον πρὸς τὰ λυσσόδηκτα.] Ἁλῶν ὀρυκτῶν ∠κʹ, χαλκίτεως ∠ιϛʹ, σκίλλης ∠ιϛʹ, πηγάνου χλωροῦ ∠δʹ, ἰοῦ ∠δʹ, πρασίου σπέρματος ∠αʹ. Ἀποτίθεται ἐν πυξίδι χαλκῇ. Χρῶ πρῶτον ξηρῷ ἵνα ἐκπυήσῃ καὶ ἐσχαρωθῇ, εἶτα μετὰ ῥοδίνου ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. Φυλασσέσθω δὲ ἀκατούλωτα τὰ ἕλκη ἐπὶ ἡμέρας μβʹ. — Λυσσοδήκτοις ποτόν.] Καρκίνων ποταμίων ἐπὶ κληματίδων λευκῆς ἀμπέλου καυθέντων ἡ σποδιὰ ἀποκείσθω· ἀποκείσθω δὲ καὶ γεντιανῆς λείας ἱκανόν· δίδου δὲ τῷ δηχθέντι, εἰ τέλειος εἴη τὴν ἡλικίαν, τῆς μὲν τῶν καρκίνων σποδοῦ μύστρον ἓν, δύο δὲ μύστρα τῆς γεντιανῆς μετὰ οἴνου ἀκράτου παλαιοῦ κυ. γʹ, καὶ οὕτως ἐπὶ ἡμέρας γʹ πότιζε. Εἰ δέ τις δηχθεὶς μὴ εὐθέως ποτισθείη, εἰ μὲν δευτεραῖος εἴη, λαμβανέτω διπλῆν τὴν πόσιν, τῶν μὲν καρκίνων μύστρα βʹ, τῆς δὲ γεντιανῆς δʹ. Εἰ δὲ τριταῖος ὢν μὴ πεπώκοι, πρότερον λαμβανέτω τῶν μὲν καρκίνων μύστρα τρία,

4. ὄξος X. — Ch. 117, l. 7. φακῆς X. — 9. ἀνηλιφώς X. — Ch. 118, l. 20. τὸν πάσχοντα X. — 28-29. μύστρον ἓν] κοχλιάρια βʹ marg.

γεντιανῆς δὲ μύσΊρα ϛ', καὶ οἶνον ἄκρατον ἀναλόγως. Πληρωθείσης δὲ τῆς ἐν ταῖς τρισὶν ἡμέραις ἐπιμελείας, ἄλλων γ' ἡμερῶν δοτέον ἑκάσΊῃ μύσΊρον μὲν τῆς τῶν καρκίνων σποδοῦ, ὡς προείρηται δὲ τῆς γεντιανῆς. — Ἄλλο.] Πέρδικος αἷμα μικτέον κοχλιάρια β' μετὰ τῆς προειρημένης σποδιᾶς καὶ ποτισΊέον· οἱ δὲ καρκίνοι λαμβανέσθωσαν αὐξανομένης σελήνης πρὶν ἥλιος ἀνίσχει. — Κοινὴ θεραπεία λυσσοδήκτων καὶ τῶν λοιπῶν θηριοδήκτων καὶ ἑρπετοδήκτων.] Σικυάζειν δεῖ τὰ δεδηγμένα μέρη σὺν πολλῇ Φλογὶ κατασχάζοντα καὶ τοὺς πλησίον τόπους· ἀντισπᾶται γὰρ ἅμα τῇ τοῦ πνεύματος ὁλκῇ σὺν τῷ αἵματι ὁ ἰός· ἐπιΦλέγειν τε καὶ ἐσχαροῦν τὰ ἡλκωμένα, εἶτα αἷμα διὰ Φλεϐοτομίας ἀΦελόντα διδόναι μετὰ τῶν σιτίων ἐσθίειν πέπερι, σκόροδον, οἶνόν τε πίνειν ἐπιτεταμένον τῇ κράσει νεαρὸν ἀτμῶν καὶ συμΦύτου θερμασίας πληροῦντα τὸ σύγκριμα. — Καταπλάσματα λυσσοδήκτων καὶ τῶν λοιπῶν θηριοδήκτων τηροῦντα ἐπὶ πολὺ τὸ δῆγμα ἀκατούλωτον.] Σκόροδα, κνίδης Φύλλα μετὰ ἁλῶν ἢ μέλιτος, κρόμμυον μετὰ ἁλῶν καὶ πηγάνου, τέΦρα κλημάτων μετὰ ἐλαίου, ἢ σκόρδιον, κοΦοξυλέας Φύλλα μετὰ ἁλῶν, ἡδύοσμον ὁμοίως, μυάκων σάρξ, πήγανον μετὰ ὄξους, ὀρόϐινον μετὰ μέλιτος, σικύου ἡμέρου Φύλλα μετὰ οἴνου, καὶ ἄλλα ὅσα οἶδε Φλεγμαίνειν. — Ποτὰ λυσσοδήκτοις.] Ἱππόκαμπος θαλάσσιος ποτιζόμενος κοχλιαρίου πλῆθος ἐν ὑδρομέλιτι ἐπιθυμίαν ποτοῦ ἀποτελεῖν πεπίσΊευται ἐπὶ τῶν λυσσοδήκτων. Ἁρμόζει δὲ αὐτοῖς μάλιστα καὶ ἡ διὰ δαΦνῶν ἀντίδοτος καὶ βάτραχοι ζωμευτοὶ ἐσθιόμενοι καὶ ἀρκεία χολὴ κοχλιάριον διὰ ὕδατος κυ. γ'. — Θηριακὴ ᾗ ἐχρήσατο Μάρκος ὁ καθηγητὴς λυσσοδήκτοις.] ΤριΦύλλου τῆς ἀσΦαλτώδους σπέρματος, πηγάνου ἀγρίου, ὀροϐίνου ἀλεύρου, ἀρισΊολοχίας σΊρογγύλης ἴσα. Πλάσσε τροχίσκους ἀνὰ ∠α', καὶ δίδου μετὰ οἰνελαίου ∠α'. — Ἁπλᾶ κοινὰ ποτιζόμενα.] Κοινῶς δὲ ποιεῖ ποτιζόμενα μετὰ κράματος κασΊορίου ∠α', ἢ λιϐανωτίδος ∠α', ἢ βρυωνίας ῥίζα, ἢ πρασίου χυλός, ἢ σμύρνα, ἢ κιννάμωμον, ἢ ἀρισΊολοχία, ἢ ἄγνου σπέρμα, ἢ κυπαρίσσου σΦαιρία, ἢ σέσελι, ἢ πέπερι, ἢ καρκίνοι ποτάμιοι ἑΦθοὶ ἢ ὀπτοί.

ριθ'. Πρὸς ἐχεοδήκτους.

Μελίας Φύλλα κόψας καὶ ἀποθλίψας δίδου τὸν χυλὸν πίνειν μετὰ οἴνου, καὶ τοῖς ἀποτεθλιμμένοις Φύλλοις κατάπλασσε τὸ δῆγμα. Ἀντικρότατον μὲν βοήθημα ἡ σκοροδοΦαγία καὶ ἀκρατοποσία ὥσΊε, εἰ ὑπομένοι τις πλείονα βρῶσιν καὶ πόσιν, ἄλλου μὴ χρήζειν βοηθήματος. Ποιεῖ δὲ καὶ ταῦτα, ἓν ἕκασΊον μετὰ οἴνου ποτιζόμενον. Χελώνης θαλασσίας αἷμα ξηρὸν μετὰ κυμίνου ἀγρίου, πυτία λαγωοῦ, ἐλάΦου αἰδοίου ἄῤῥενος ξηροῦ ∠α', ἀκάνθης λευκῆς ῥίζα, Φιλεταίριον, ἀΦάκης Φύλλα, ἀκόρου ῥίζα, χαμαίδρυς, ἀπαρίνης χυλός, βρυωνίας, καὶ τῆς λευκῆς καὶ τῆς μελαίνης, ἡ ῥίζα, ἀγαρικόν, ἄνισον, ἀσπαράγου ῥίζα, καὶ ταύτης ἀΦέψημα, γεντιανῆς ῥίζης ∠β', πεπέρεως, πηγάνου, ἴρεως ἀνὰ ∠β', ἐλενίου ἀπόζεμα, ἑρπύλλου ἀπόζεμα, τριΦύλλου σπέρμα, ἢ Φύλλων ∠α', ὀρίγανον συριακόν, ἠρυγγίου ῥίζα ∠α' μετὰ σΊαΦυλίνου

2. ἐνεκάσΊῃ X. — 3. τῆς δέ X. — 11. Aët.; Μελέας X. — 36. ἠρυγγίου] ἀΦθακαὶ λοιπῶν X. — Ch. 119, l. 27. Μελίας σΊος X marg.

σπέρματος, καρκίνοι ποτάμιοι γάλακτι διεθέντες, καὶ θαλάτλιοι· ἧτλον ἐνεργοῦσιν. κάσλρου φύλλων ∠β', κόσλου ∠β' μετὰ πεπέρεως ὀβολῶν β', ὀριγάνου ἡρακλεωτικῆς τὸ ἀπόζεμα, κράμβης χυλὸς, κύμινον, μάλισλα τὸ ἄγριον, πυτία λαγωοῦ ἢ νεβροῦ, μυρίκης ἀπόζεμα, μαράθου σπέρμα, ἀρισλολοχίας ῥίζα μετὰ σμύρνης καὶ γεντιανῆς καὶ δαφνίδων ἴσων μέλιτι ἀναληφθέντων, βάτραχοι ζωμευτοὶ ἐσθιόμενοι, ἀμπελόπρασα, βαλανοὶ δρυός. Ἐπιτίθει δὲ τῇ πληγῇ, καὶ ὠφελεῖ κἂν ἤδη ἀποθνήσκῃ, μηλέας φύλλα σὺν οἴνῳ λεῖα, ἢ τὸν χυλὸν αὐτῶν. — Ἐχεοδήκτων καταπλάσματα.] Μηλέας φύλλα, καλαμίνθη, αἰγεία ἄφοδος μετὰ ὄξους ἑφθὴ, ἀλεκτορίδες ζωαὶ ἀνασχισθεῖσαι καὶ θερμαὶ ἐπιτιθέμεναι καὶ συνεχῶς ἀλλασσόμεναι, τρὺξ οἴνου μετὰ πάλης ἀλφίτου καὶ ὄξους, ὀρόβινον σὺν οἴνῳ, πήγανον μετὰ ἁλῶν καὶ μέλιτος, πράσον καρτὸν, ῥαφάνου φλοιὸς μετὰ μέλιτος, σκόροδα μετὰ ὄξους, κεδρέα μετὰ ἅλατος, πίσσα ὑγρὰ ὁμοίως. — Ἀπάντλημα ἐχεοδήκτοις.] Τριφύλλου ἀφέψημα ἢ γλήχωνος, ἢ ὀξάλμη. — Ἐχεοδήκτοις ἀντίδοτος.] Ἀνίσου ὀξυβάφου πλῆθος τὸ ἥμισυ, πεπέρεως ∠δ', ἀρισλολοχίας φλοιοῦ, ὀπίου, κασλορίου, σμύρνης ἀνὰ ∠α'. Γλυκεῖ ἀνάπλασσε κυάμου ἑλληνικοῦ μεγέθη, καὶ δίδου πρὸς δύναμιν ἐν κράματι κυάθ. γ'. — Πρὸς ἔχεως καὶ τῶν ἄλλων δηγμάτων κατάπλασμα.] Σικύου ἀγρίου φύλλα κατάπλασσε μετὰ πάλης. Ὅταν δὲ ὕφαιμοι φλύκταιναι γένωνται, ἀποσχάζων ἔκχεε τὸ ὑγρόν. — Σκευασία αἵματος χελώνης θαλασσίας.] Χελώνης θαλασσίας αἷμα σκευασλέον οὕτως. Ἐπὶ ξυλίνου ἢ ὀσλρακίνου σκεύους ὑπτίαν κατακλίνας τὴν χελώνην ταχέως αὐτῆς τὴν κεφαλὴν ἀπότεμε καὶ παγὲν τὸ αἷμα εἰς πολλὰ αὐτὸ καλάμῳ καταδίελε, καὶ πώμασον αὐτὸ μετὰ κοσκίνου καὶ ἀπόθου εἰς ἥλιον· ὅταν δὲ ξηρανθῇ, ἀνελόμενος χρῶ ἐπὶ τῶν ἐχεοδήκτων διδοὺς ∠β' μετὰ ὀξυκράτου κυ. β'. Ἢ οὕτως, ἢ β' ἡμέραν ἐχεοδήκτῳ δίδου ∠δ' τοῦ ξηροῦ αἵματος μετὰ ὄξους κυ. β', τῇ δὲ τρίτῃ ∠η' τοῦ αἵματος μετὰ ὄξους κυ. γ'. — Ἐχεοδήκτοις ἀντίδοτος.] Ἀλεύρου σιτανίου, χελώνης θαλασσίας αἵματος ξηροῦ ἀνὰ ∠α', πυτίας νεβροῦ ∠β'· εἰ δὲ μὴ παρείη, ἐρίφου πυτίας ∠δ'· κυμίνου ἀγρίου ὀξύβαφον. Οἴνῳ βελτίσλῳ ἀναλαβὼν δίδου ἐλαίας μέγεθος μετὰ οἴνου κυ. γ'. Ἐὰν δὲ ἀπεμέσῃ, δίδου πάλιν τὸ ς'' τῆς δόσεως τῷ αὐτῷ οἴνῳ· ἐὰν δὲ πάλιν ἐμέσῃ, δίδου κυάμου αἰγυπτίου μέγεθος.

ρκ'. Σκορπίων καὶ φαλαγγίων καὶ σφηκῶν καὶ μελισσῶν πληξάντων.

Ἁρμόζει σὺν οἴνῳ πόματα ἀγαρικοῦ τριώβολον, ἀβρότονον, ἀείζωον, ἀλθαίας ῥίζα ∠α', χαμαίδρυος χυλὸς καὶ τὸ ἀφέψημα, γλήχωνος, ἴρεως ∠β', κυπαρίσσου σφαιρία μετὰ οἴνου, μαλάχης ἀφέψημα, καὶ αὐτὴ ἐσθιομένη, μελάνθιον καὶ ὁ χυλὸς αὐτοῦ, μύρτα, μυρίκης καρποῦ ∠α', πηγάνου σπέρμα, τερμίνθου καρπὸς, δαφνίδες λεῖαι, σκορπίουρον, καρδάμωμον, σκόροδα ἐσθιόμενα. — Καταπλάσματα πρὸς τὰ αὐτά.] Ἅλες λεῖοι μετὰ ὄξους, βόλβιτον, ἀλθαίας φύλλα ἑφθὰ προσλαβόντα ὀλίγον ἐλαίου, ἡλιοτρόπιον τὸ σκορπίουρον, κρίνου φύλλα, φλόμος μετὰ ὄξους, χαμαίδρυς σὺν ὄξει, δάφνης φύλλα σὺν ὀλίγῳ ἐλαίῳ, τυρὸς ἁλμυρὸς, κοχλίας λεῖος σὺν τῷ ὀσλράκῳ, θεῖον ἄπυρον

22. ἐχεοδήκτῳ conj.; ἔχει X.

σὺν τερεβινθίνῃ, γεντιανὴ σὺν τερεβινθίνῃ, ἄγρωσῖις. Παραχρῆμα παύει τὰς ὀδύνας αὐτὸς ὁ σκορπίος λεῖος, συκαμίνου ὀπὸς, ἢ συκῆς ὀπὸς ἐπισταζόμενος. — Ἀπάντλημα τοῖς δηγμοῖς.] Θάλασσα θερμὴ, κάθεσις τοῦ πεπονθότος τόπου εἰς ἔλαιον θερμόν.— Ποτόν.] Πότημα τῆς διὰ δαφνίδων καρύου ποντικοῦ μέγεθος μετὰ κράματος οἴνου.— Ἄλλο.] Θείου ἀπύρου ὅσον κυάμου αἰγυπτίου μέγεθος μετὰ πεπέρεως κόκκων η' ἐν οἴνου ἡμικοτυλίῳ. — Ἄλλο σκορπίων καὶ φαλαγγίων πληγαῖς.] Πυρέθρου, ἀρισῖολοχίας ἀνὰ ∠δ', πεπέρεως ∠β', ὀπῷ σιλφίου ∠α'. Ἡ δόσις κυάμου αἰγυπτίου τὸ μέγεθος.— Σκορπίων χαλεπῶν καὶ φαλαγγίων πληγαῖς.] Στύρακος, θείου ἀπύρου ∠ϛ', πυρέθρου ∠δ', πηγάνου ἀγρίου σπέρματος ∠γ', κασῖορίου ∠β', εὐζώμου σπέρματος ∠β'. Ἀναλαμβανέσθω αἵματι θαλασσίας χελώνης. Ἡ δόσις ὀβολοὶ δ' μετὰ οἴνου ἀκράτου κυ. γ'. Σκόροδα ἐσθιέτωσαν εἰς πλησμονήν. Σκορπίου πληγὴν παραχρῆμα ἀνοιδαίνειν ποιεῖ προβατεία κόπρος οἴνῳ ἑψηθεῖσα καὶ καταπλασθεῖσα. — Σκορπίου θαλασσίου πληγὴν ἰᾶται θεῖον ἄπυρον μετὰ ὄξους ἀνατριβόμενον, δαφνίδες τρεῖς πινόμεναι λεῖαι. — Ἀσκαλαβώτου δήγμασι σήσαμον λεῖον κατάπλασσε. — Θαλασσίου δράκοντος πληγὴν κατάπλασσε ἑρπύλλῳ ἢ φακῷ ἑφθῷ. Πότιζε ἀψινθίῳ μετὰ κράματος, ἢ ἐλελισφάκῳ, [ἢ συκῆς] κλάδων ἐν οἴνῳ γλυκεῖ ἀποβραχέντων.

ρκα'. Συγχρίσματα προφυλακτικά.

Ἀβλαβῆ ἀπὸ ἐχίδνης διαφυλάττει δρακοντίας χυλὸς συγχρισθεὶς ταῖς χερσίν· ὁμοίως καὶ ὀπὸς πευκεδάνου. — Συγχρίσματα κωλύοντα ἑρπετὰ προσιέναι.] Ἀλθαίας καρπὸς μετὰ ὀξελαίου· δαφνίδες ὁμοίως· χαλβάνη καὶ κεδρίδες σὺν ἐλαφείῳ μυελῷ ἢ σῖέατι, ὀποπάναξ σὺν ἐλαίῳ. — Πινόμενα προφυλακτικά.] Προπινόμενα δὲ ἐλάφου ἄῤῥενος αἰδοῖα ∠α' ξηρὰ λεῖα μετὰ οἴνου, ἐχίου ῥίζα, σῖαφυλίνου ἀγρίου σπέρμα μετὰ οἴνου πινόμενον. — Ὑποσῖρώματα προφυλακτικά.] Ὑποστρωννύμενα δὲ ταῖς κοίταις ἄγνος, ἀβρότονον, ἔχιον, καλαμίνθη, κόνυζα, ὀρίγανον, πόλιον, ἕρπυλλον, ἀσφόδελον. — Θυμιάματα προφυλακτικά.] Θυμιώμενα προφυλακτικὰ θηρία ἀποδιώκει ἄγνου φύλλα, ἄσφαλτος, βδέλλιον, ἐλάφου κέρας, καλαμίνθιον, καρδάμωμον, χαλβάνη, κασῖόριον, κόνυζα, κυπαρίσσου ἢ κέδρου πρίσματα, γαγάτης λίθος, μελάνθιον, πευκέδανον, σαγαπηνὸν, πόλιον. Ὑπὸ μελισσῶν καὶ σφηκῶν ἀδήκτους τηρεῖ μαλάχης φύλλα μετὰ ἐλαίου συγχριόμενα.

ρκβ'. Πρὸς κώνωπας.

Κώνωπας κωλύει προσιέναι συγχριόμενον ἀψίνθιον μετὰ ἐλαίου, θυμιώμενα δὲ βόλβιτα, κόνυζα, κυπαρίσσου σφαιρία καὶ κόμη καὶ πρίσμα, μελάνθιον, ἄγνου σπέρματος, ὀριγάνου ἴσα.

ρκγ'. Περὶ ἀράχνης.

Ἀράχνης δήγματι ἄγνου σπέρμα καὶ κύμινον ἴσα λειώσας σὺν ἐλαίῳ ἐπίθες.—Θη-

16. [*ἢ συκῆς*] Paul.; om. X.

ριακὴ διὰ βρυωνίας πρὸς τὰ ἰοβόλα καὶ τὰ δηλητήρια, ἐχεοδήκτοις, σκορπιοπλήκτοις· ἔχει δὲ οὕτως.] Βρυωνίας ῥίζης, ὀποπάνακος, ἴρεως, λιβανωτίδος, ὀπίου, ζιγγιβέρεως ἀνὰ ∠δ', ἀρισ7ολοχίας ∠ε', λιβάνου, πηγάνου ἀγρίου σπέρματος ἀνὰ ∠ς', κυμίνου ἀγρίου ∠γ', ὀροβίνου ἀλεύρου ∠ις'. Οἴνῳ πλάσσε τροχίσκους καὶ δίδου τριώβολον μετὰ οἴνου. — Ἔμπλασ7ρος ἐχεοδήκτοις.] Κηροῦ, πίσσης, ταυρείου σ7έατος, ῥητίνης, ἀμμωνιακοῦ θυμιάματος ἴσα, ἔξωθεν δὲ σπόγγον σὺν ὄξει ἐπιτίθει.

ρκδ'. Περὶ δηλητηρίων.

Ζῷα μέν ἐσ7ι Φθαρτικὰ κανθαρὶς, βούπρησ7ις, σαλάμανδρα, πιτυοκάμπη, Φρύνος, λαγωὸς θαλάσσιος, ἕλειος ἄφωνος βάτραχος, βδέλλαι· σπέρματα δὲ ὑοσκύαμος, κώνειον, κόριον, μελάνθιον, ψύλλιον· ὀπίσματα δὲ μηκώνειον, θαψίας χυλὸς, ὀποκάρπασον, ἐλατήριον, μανδραγόρας· ῥιζῶν θαψία, ἀκόνιτον, ἰξίας, ἐλλέβορος μέλας, ἀγαρικὸν, ἐφήμερον ὃ ἔνιοι κολχικὸν καλοῦσιν· λαχάνων σμῖλαξ, σ7ρύχνον μανικὸν ὃ καὶ δορύκνιον καλεῖται, ἥ τε σαρδώνιος, εἶδος οὖσα βατραχίου, μήκων κερατῖτις, πήγανον ἄγριον, μύκητες· ἀπὸ ζῴων αἷμα ταύρου ἔτι ἔνθερμον, γάλα ἐμπυτιασθὲν, τὸ ἐν Ἡρακλείᾳ μέλι· μεταλλικὰ δὲ γύψος, ψιμύθιον, τίτανος, ἀρσενικὸν, σανδαράκη, λιθάργυρος, ὑδράργυρος· τῶν δὲ συμΦύλων ἡμῖν οἶνος ἀθρόος ἢ πολὺς ἀπὸ βαλανείου ποθεὶς, οἶνος γλυκὺς ὁμοίως, ὕδωρ ψυχρὸν ἀθρόως ἀπὸ βαλανείου ποθέν. ΠροΦυλακτικὰ δέ ἐσ7ι ταῦτα ἅπερ οἱ προσενεγκάμενοι ἂν ἐπιπίωσι δηλητήριον οὐκ ἀδικοῦνται. Ἰσχάδες δύο μετὰ καρύων βασιλικῶν β' καὶ πηγάνου Φύλλων κ' καὶ χόνδρου ἁλὸς, κίτρια, βουνιάδος σπέρματος ∠α' μετὰ οἴνου, καλαμίνθης ∠α', ἰσχάδες μετὰ καρύων βασιλικῶν προεσθιόμεναι.

ρκε'. Βοηθήματα κοινὰ καθόλου ἐπὶ ὧν ἠγνόηται τὸ δηλητήριον.

Ἔλαιον πινόμενον καὶ ἐξεμούμενον, ὑδρέλαιον χλιαρὸν, ἢ βούτυρον σὺν ὕδατι θερμῷ, μαλάχης ἀφέψημα μετὰ ἐλαίου, ἢ τήλεως, ἢ λινοσπέρμου, [ἢ] τραγείου σ7αιτὸς, ἢ χόνδρου, ἢ κνίδης σπέρματος ἀφέψημα, μετὰ ἐλαίου ἕκασ7ον. — Ἕτερα κοινὰ βοηθήματα μετὰ τὸν διὰ τοῦ ἐλαίου ἔμετον ἐπὶ ὧν ἠγνοήθη τὸ δηλητήριον πινόμενα.] Λημνία σΦραγὶς, ἀγαρικὸν, ἀβρότονον, ἐρύσιμον, ἠρυγγίου ῥίζα, σ7αΦυλίνου σπέρμα, νάρδος κελτικὴ, κασ7όριον, νάρθηκος χλωροῦ ἐντεριώνη, πρασίου χυλὸς, σιλΦίου ὀπὸς, ἀρισ7ολοχία μακρὰ, πηγάνου ἀγρίου σπέρμα, κέσ7ρου Φύλλα· ἑκάσ7ου αὐτῶν δραχμῆς μιᾶς πλῆθος μετὰ οἴνου πινέσθω. Ποιεῖ δὲ καὶ πίσσα ὑγρὰ μετὰ μέλιτος ἐκλειχομένη· βοηθοῦσι δὲ καὶ ἀντίδοτοι ὥσπερ ἡ θηριακὴ καὶ ἡ ζωπύρειος καὶ αἱ πρὸς ταῦτα τὴν ἐπαγγελίαν ἔχουσαι. — Διαγνωσ7ικὰ τῶν δηλητηρίων.] Σημειούμεθα δὲ ἐξ ὀσμῆς τε καὶ πικρότητος μηκώνειον, ἐκ δὲ χροιᾶς ψιμύθιον, γύψον, ἀπὸ δὲ θρόμβων γάλα καὶ τὸ νεοσΦαγὲς αἷμα, ἀπὸ δὲ βρώμου καὶ ποιότητος Φρύνον καὶ λαγωὸν θαλάσσιον.

Ch. 124, l. 25. προσεσθιόμεναι X. — Ch. 125, l. 27. [ἢ] ex em.; om. X. — 27-28. σ7αιτός ex em.; σ7έατος X text.; αἵματος X marg.

ρκϛʹ. Περὶ τοξικοῦ Φαρμάκου διάγνωσις καὶ θεραπεία.

Τὸ τοξικὸν Φάρμακον καλούμενον δοκεῖ μὲν ὀνομάζεσθαι ἐκ τοῦ τὰ τοξεύματα ὑπὸ τῶν βαρϐάρων αὐτῷ χρίεσθαι, παρακολουθεῖ δὲ τοῖς πεπωκόσι γλώσσης καὶ χειλῶν Φλεγμονὴ, μανία τε ἀκατάσχετος ποικίλαις ἐπιϐάλλουσα Φαντασίαις, ὡς καὶ διὰ τοῦτο δυσιάτως αὐτοὺς ἔχειν, σπανίως δὲ σώζεσθαί τινα τῶν πεπωκότων. Δεῖ τοίνυν δεσμοῖς μὲν συνέχειν αὐτοὺς, ἀναγκάζειν τε γλυκὺν μετὰ ῥοδίνου πίνειν καὶ ἐμεῖν. Βοηθεῖ δὲ αὐτοῖς τὸ τῆς γογγυλίδος σπέρμα πινόμενον, ἰδιαίτερον δὲ ἡ τῆς πενταφύλλου ῥίζα, καὶ τράγου αἷμα ἢ αἰγὸς, δρυός τε Φλοιὸς, ἢ Φήγου ἢ πρίνου γάλακτι συλλεαυθεὶς, καὶ κυδώνια μῆλα ἐσθιόμενα, ἢ λεῖα μετὰ γλήχωνος ἐν ὕδατι πινόμενα, ἀμωμόν τε καὶ βαλσάμου καρπὸς σὺν οἴνῳ. Ἐὰν δέ τις διαφύγῃ τὸν κίνδυνον, κλινοπετὴς πολλῷ διαμένει χρόνῳ, ἐπΊοημένος τε τὸ λοιπὸν τοῦ χρόνου διατελεῖ.

ρκζʹ. Περὶ ἐμπυτιασθέντος γάλακτος.

Γάλα ἐμπυτιασθὲν ἢ ἀθρόον ποθὲν πνιγμὸν ἐμποιεῖ θρομϐούμενον· βοηθεῖ δὲ πινομένη πυτία πολλάκις μετὰ ὄξους, καλαμίνθης ξηρᾶς Φύλλα ἢ χλωρᾶς ὁ χυλὸς, ἢ σίλφιον, ἢ ὀπὸς σιλφίου μετὰ ὀξυκράτου, ἢ θύμον σὺν οἴνῳ, τόν τε ἔμετον παραιτεῖσθαι, καὶ ἀλυκὸν μηδὲν προσφέρειν ἢ ἅλας.

ρκηʹ. Περὶ ὑδραργύρου.

Ὑδράργυρος δὲ ποθεῖσα βάρος ἐπιφέρει σΊομάχου καὶ κοιλίας καὶ ἐντέρων μετὰ σΊρόφων ἐπιτεταμένων, ἐπέχει τε τὰ οὖρα μετὰ παροιδήσεως τοῦ σώματος μολιϐδώδους τε χρόας ἀπρεπῶς. Ἁρμόζει δὲ μετὰ τὸν ἔμετον ποτίζειν μετὰ οἴνου ὁρμίνου σπέρμα, ἢ σμύρνης ὀϐολοὺς δύο, ἢ ἀψίνθιον, ἢ ὕσσωπον, ἢ σελίνου σπέρμα, ἢ πέπερι, ἢ κύπρου ἄνθη, ἢ περισΊερῶν κόπρον μετὰ οἴνου καὶ ἐλαίου, ἢ πέπερι μετὰ οἰνομέλιτος. Εἰ δὲ ἐκταράσσοιντο τὴν κοιλίαν, λουτρὰ θερμὰ, κρέα ὕεια λιπαρὰ πάροπτα ἁρμόσει, οἶνος μέλας, ἱδρωτοποιεῖ δὲ ἔλαιον πινόμενον. Ταῦτα μὲν τῇ ὑδραργύρῳ καὶ τῇ λιθαργύρῳ κοινὰ, ἰδίως δὲ τῇ ὑδραργύρῳ ἁρμόζει γάλα πινόμενον καὶ ἐξεμούμενον.

ρκθʹ. Περὶ μυκήτων.

Μυκήτων οἱ μὲν τῷ γένει βλάπτουσιν, οἱ δὲ τῷ πλήθει, ἐπιφέρουσι δὲ πάντες ληφθέντες πνιγμὸν ἐοικότα ταῖς ἀγχόναις, οἷς εὐθέως βοηθεῖν δεῖ κοινῶς ἀναγκάζοντας ἐμεῖν διὰ τοῦ ἐλαίου. ΘαυμασΊῶς δὲ βοηθοῦνται κονίαν κληματίνην ἢ ἐξ ἀχράδος ξύλων πίνοντες μετὰ ὀξυκράτου. Καὶ συνεψόμεναι δὲ αἱ ἀχράδες, ἂν τὰ Φύλλα Φέρηται, ἀφαιροῦνται τὸ πνιγῶδες αὐτῶν, ἐκεσθιόμεναί τε βοηθοῦσιν. Ὠφελεῖ δὲ καὶ

Ch. 129, l. 25. εὐθέως Aët., Paul.; εὐθέτως X. — 28. ἀφαιροῦνται Aët., Paul.; ἤτοι X.

ἀλεκτορίδος ᾠὰ ἐν ὀξυκράτῳ ἑψηθέντα καὶ πινόμενα, ἀριστολοχίας τε ∠α' σὺν ἀψινθίῳ μετὰ οἴνου, μέλι τε ἐκλειχόμενον, ἢ σὺν ὕδατι πινόμενον, ἢ μελισσόφυλλον μετὰ νίτρου, ἢ πάναχος ῥίζα καὶ καρπὸς σὺν οἴνῳ, ἢ τρὺξ οἴνου κεκαυμένη μετὰ ὕδατος, ῥάφανός τε ἐσθιομένη, καὶ μάλιστα νᾶπυ, ἢ κάρδαμον. Βοηθεῖ δὲ κλυστὴρ οὐκ ἀπράκτως, καὶ ποτὸν χυλὸς ῥαφανῖδος, ἢ νίτρον μετὰ ὕδατος, ἢ ἀψίνθιον κατακορὲς, εἶτα ἔμετος ἐκ διαλείμματος καὶ πάλιν τῶν αὐτῶν πόσις, καὶ πήγανον μετὰ ὄξους, ἢ χάλκανθον λεῖον. Ἐπειδή τινες μύκητες ὑπὸ θηρίων βρωθέντες οὐ μόνον πνίγουσιν, ἀλλὰ καὶ ἑλκοῦσι τὰ ἔντερα, δοτέον ἀψίνθιον δαψιλὲς καὶ σύκων ἀφέψημα καὶ ὀριγάνου, καὶ μελίκρατον, ἐμετός τε καὶ ἔμβασις θερμὴ καὶ ὠμήλυσις κατὰ ὑποχονδρίων συνοίσει.

ρλ'. Περὶ βδελλῶν.

Βδέλλας καταποθείσας σὺν τῷ ὕδατι, προσφυομένας τε τῇ καταπόσει ἢ στόματι κοιλίας, ἕλκος ἐν τοῖς μέρεσι ποιούσας καὶ φαντασίαν ἐκμυζήσεως παρεχούσας, ὅπερ καὶ σημεῖόν ἐστι τοῦ βδέλλας καταπεπῶσθαι, ἀποβάλλει ἅλμη καταῤῥοφουμένη. Ἀναγαργαριζέσθωσαν δὲ νίτρῳ μετὰ ὕδατος, ἢ χαλκάνθῳ μετὰ ὄξους, ἢ νάπει, ἢ ὑσσώπῳ, ἢ ὀριγάνῳ· τὰς δὲ τῷ βρόγχῳ προσφυείσας ἐκβλητέον ἐμβιβάσαντας εἰς θερμὴν ἔμβασιν καὶ δόντας διακρατεῖν ἐν τῷ στόματι ψυχρὸν ὕδωρ· ἐξελεύσονται γὰρ τῇ ἐπὶ τὸ ψυχρὸν προθυμίᾳ.

ρλα'. Περὶ τῶν ἐπὶ ὠφελείᾳ διδομένων.

Τῶν δὲ ἐπὶ ὠφελείᾳ διδομένων καὶ κινδύνους ἐπιφερόντων, οἷον θαψίας, ἐλλεβόρου λευκοῦ τε καὶ μέλανος, ἐλατηρίου, ἀγαρικοῦ· καὶ ταῦτα γὰρ πνιγμὸν ἐπιφέρει ἢ ὑπερκάθαρσιν· τοὺς μὲν πνιγομένους ἐμβατέον ὡς ἐπὶ μυκήτων, τὰς δὲ ὑπερκαθάρσεις σταλτέον διὰ τῶν ἐπέχειν δυναμένων. Πηγάνου δὲ ἀγρίου ἢ ἡμέρου βλάβην ἐπάγοντος ἔμετος βοηθεῖ. Ὕδωρ δὲ ψυχρὸν ποθὲν, ἢ οἶνος ἄκρατος, ἢ γλυκὺς ἀπὸ βαλανείου ἢ δρόμου ἢ συντόνων γυμνασίων δηγμοὺς καὶ ἀλγήματα ἐπιφέρει. Ταχέως οὖν φλεβοτομεῖν καὶ διὰ κλυστῆρος κενοῦν.

ρλβ'. Τίνες ἀντίδοτοι πρὸς τὰ δηλητήρια ἐπιτήδειοι;

Ἀντίδοτοι δὲ πρὸς τὰ δηλητήρια ἐπιτήδειοι ἥ τε μιθριδάτειος καὶ ἡ διὰ αἱμάτων καὶ ἡ διὰ σκίγκων.

ρλγ'. Περὶ γυναικείων παθῶν. Μασθῶν ἀναβρώσεσι ταῖς μετὰ κακοηθείας Ἀρχιγένους.

Εἰς ἀδριανοῦ καλοῦ οἴνου ξ̅ κ' ῥοὸς βυρσοδεψικῆς Γο ιβ' βάλε καὶ κυπαρίσσου

2. μετοινομέλιτι ἐκλιχόμενον X. Conf. 20. ἐνστατέον Aët. — 21-22. ἐπαγόντων Paul. — Ch. 131, l. 18. κίνδυνον Paul. — X. — 23. πνιγμούς Paul.

σφαιρίων ⅋ α', κηκῖδος ὀμφακίνης μελαίνης ἡμίλιτρον, κασίας σπουδαίας ἡμίλιτρον. Ταῦτα θλασθέντα βρέχεται οἴνῳ ἡμερῶν γ', τῇ δὲ δ' ἕψεται σπαθιζόμενα κυπαρισσίνῃ σπάθῃ ἕως ζέσῃ πεντάκις ἢ ἑξάκις, καὶ τὰ μὲν βοτάνια ῥίπτεται, ὁ δὲ χυλὸς ἕψεται ἕως μέλιτος σχῇ πάχος, καὶ ἀποτίθεται ἐν ὑελῷ ἀγγείῳ. Χρῆσις δὲ τοῦ φαρμάκου ἀκράτου μὲν ἐπὶ τῶν νεμομένων· εἰ δὲ παχύτερον εἴη, οἴνῳ ὑγραινέσθω, μάλιστα εἰ ἐπὶ γυναικείου κόλπου τοιαύτη διάθεσις προσγένοιτο. — Ἐπιτετευγμένον φάρμακον ὡς ἀπιστηθῆναι εἰ ἦν τοιαύτη διάθεσις, ἔστι δὲ καὶ παρηγορικὸν ὀδυνῶν γάλακτι ἀνεθὲν γυναικείῳ ἢ τῷ παρατυχόντι. Καὶ τὰς ἄλλας φλεγμονὰς καὶ νομὰς ἰᾶται καὶ ὦτα πυοῤῥοοῦντα καὶ οὖλα μυδῶντα καὶ δυσεντερικούς. Ἰουνιάδος φάρμακον.] Ἐλαίου παλαιοῦ ⅋ γ', κηροῦ Γο κ', κολοφωνίας, στέατος χοιρείου ἀνὰ ⅋ α'ς'', λιθαργύρου ⅋ α', ψιμυθίου Γο ς', λινοσπέρμου Γο ς', γύρεως Γο ς', λιβάνου Γο γ'. — Ὡς ἄλλως τὸ Ἰουνιάδος φάρμακον.] Λιθαργύρου, ψιμυθίου ἀνὰ ∠ς', κολοφωνίας, κηροῦ ἀνὰ Γο ς', λιβάνου Γο α'ς'', ὀρνιθείου στέατος ⅋ α', ἐλαίου κοινοῦ Γο ι', κριθίνου ἀλεύρου ξ̄ ἰταλικοῦ δ', λινοσπέρμου χυλοῦ Γο ι'. Λείου ψιμύθιον, λίβανον, λιθάργυρον σὺν ὀλίγῳ χυλῷ, τὸ δὲ ὑπόλοιπον φυράσας τῷ κριθίνῳ ἔα δύο ἢ τρεῖς ὥρας, καὶ κοινῇ ἀναμαλάξας, ὕστερον ἀναξύσας μίσγε τὴν κηρωτήν. — Ἡ διὰ μέλιτος πρὸς τὰς μετὰ πλείονος ἐρυθήματος φλεγμονάς.] Κηροῦ, στέατος, λιθαργύρου, ψιμυθίου, βουτύρου, στέατος ὀρνιθείου ἀνὰ Γο ς', λιβάνου Γο β', ῥοδίνου τὸ ἀρκοῦν. Ἕψε λιθάργυρον, ψιμύθιον μετὰ ῥοδίνου ἐπὶ ὀλίγον, ἐπιβάλλων δὲ τὸ μέλι δὸς ζέμα ἐνσπαθίζων ἀδιαλείπτως, ἐπάρας δὲ εὐθέως ἐπίβαλλε προτετηκότα τὰ λοιπά. — Ἡ διονυσιὰς διαφορητικὴ πρὸς μασθούς· τό τε γὰρ ὑγρὸν διὰ τῶν ἀδήλων πόρων κομίζεται, καὶ τὰς σκληρίας διαλύει. Ποιεῖ καὶ πρὸς παρωτίδας, καὶ ἡ ἀνθηρὰ δὲ καὶ ἡ διὰ ὤχρας· προγέγραπται ἡ διονυσιὰς καὶ ἡ ἀνθηρά. — Πρὸς σκληρίας καὶ φλεγμονὰς κατάπλασμα.] Λινόσπερμον μετὰ ὀξυμέλιτος ἑφθόν, ἢ τῆλις ὁμοίως, ἢ σήσαμον ἄπλυτον φωχθὲν καὶ λειωθὲν μιγέν τε μέλιτι. — Φλεγμοναῖς διὰ ὑοσκυάμου.] Κηροῦ, στέατος χοιρείου, κολοφωνίας, ὑοσκυάμου φύλλων, ἐλαίου γλυκέος ἴσα. Τὰ τηκτὰ ἀναξύσας μίσγε τοῖς φύλλοις προλελειωμένοις.

ρλδ'. Περὶ χειρουργίας ἀποστάσεως ἐν μασθοῖς καὶ θεραπείας.

Εἰ δὲ ἀποστάσεως γενομένης δεήσοι χειρουργῆσαι μασθούς, τὰ μὲν πλαδαρὰ περιαίρει σώματα ὡς ἐπὶ τῶν λοιπῶν ἀποστημάτων, καὶ διαμότου ὡσαύτως· εἰ δέ τινας ἐπιδέχοιτο διαιρέσεις, καὶ διαμοτώσεσι θεράπευε, φυλασσόμενος ἐπὶ πάντων, μάλιστα μέντοι ἐπὶ μασθῶν, σφηνοῦν τοῖς μότοις· ἐκ τούτου γὰρ συριγγοῦνται· ἀλλὰ πράως παρατιθέναι. Χρῆσθαι μὲν οὖν ἀπὸ τῆς διατρίτου ἤτοι τῷ βασιλικῷ μετὰ οἴνου, ἢ τῷ πενταθέτῳ, ἢ τῷ μακεδονικῷ. Μετὰ δὲ ταῦτα ἀνακαθάρας χλωρῷ καὶ σαρκώσας θεράπευε κολλητικῶς χρώμενος τῇ γαληνείῳ φαιᾷ, καὶ ἐπάνω σπόγγῳ μετὰ οἴνου. Ποιεῖ δὲ καὶ ἡ διὰ αἰρῶν καλῶς.

2. γ'] ι' Paul. — 3. τρὶς ἢ τετράκις Aët. — 4. Χρίσις X. — 5. εἰ post μάλιστα Aët.; om. X. — 6. προσγένοιτο Aët.; προσάγοιτο X. — 15. ἡμέρας Aët. — 21. ὑγρόν Aët.; πάρυγρον X. — Cн. 134, l. 31. μέντοι ex em.; μέν X.

ρλε'. Μὴ αὔξεσθαι μασθούς.

Αὔξεσθαι κωλύει μασθοὺς παρθένων ἰὸς σιδήρου ἐπιχριόμενος διὰ ἐλαίου, κωνείου σπέρμα μετὰ ὕδατος καταπλασσόμενον.

ρλϛ'. Χονδριῶντας μασθοὺς παῦσαι.

Πίτυρα μετὰ ὄξεος καὶ πηγάνου ἑφθὰ καταπλασσόμενα, ἡδύοσμον μετὰ ἀλφίτου, κάρυα βασιλικὰ σὺν πηγάνῳ καὶ μέλιτι, κρόκος μετὰ γάλακτος, κύμινον κατὰ αὐτὸ ἢ μετὰ ἀλφίτου, κυδώνια ἑψημένα μετὰ μέλιτος, σέλινον χλωρόν· τοῦτο καὶ τὰς τοῦ γάλακτος θρομβώσεις διαλύει· ἅλμη πυριωμένη.

ρλζ'. Ἀτύρωτον τοῖς τιτθοῖς ἐνὸν τὸ γάλα φυλάσσει.

Κηροῦ λευκοῦ δέκα ὀροβιαῖα μεγέθη κατὰ ἑκάστην ἡμέραν καταπινόμενα. Τὰς δὲ ἐπὶ τῆς λοχείας βαρουμένας ὑπὸ πλήθους γάλακτος ἰᾶται φῦκος θαλάσσιον ὃ ἡμεῖς βρύον καλοῦμεν· λειοτριβηθὲν ἀναλαμβάνεται κηρωτῇ ἀπὸ τριῶν Γο κηροῦ καὶ μυρσινίνου Γο ι', ἔμπλασσε δὲ δὶς τῆς ἡμέρας· ἢ φακῷ ἐν θαλάσσῃ ἑφθῷ κατάπλασσε, ἢ βρύοις λείοις μετὰ ἁλῶν, ἢ ἀλφίτῳ μετὰ ἡδυόσμου. Θαλάσσῃ δὲ ἢ ἅλμῃ πυρία, ἢ μῆλα ἐαρινὰ καὶ κριθὰς ἰδίᾳ ἕκαστον καύσας τὴν τέφραν μετὰ ὄξους κατάπλασσε, κυμίνου βραχὺ προσμιγνύων, καὶ ἐμπλάσσων εἰς χάρτην ἅλμῃ βεβρεγμένον. Καταστᾷ καὶ προσκαλεῖται γάλα πτισάνη ἑφθὴ σὺν μαράθῳ ῥοφουμένη, καρδάμωμον μετὰ κράματος πινόμενον, ἄνισον μετὰ ῥοφήματος ἢ μετὰ οἴνου γλυκέος, τρίψεις τε μασθῶν μετὰ λίπους, γυμνασία τῶν χειρῶν, ὕδωρ ἀνιμώσης τῆς γυναικὸς, στρωννυούσης κλίνας, θερούσης, ἀγαθίδας εἰλούσης, πηνιζούσης ὃ δὴ λέγομεν πανουκλιζούσης.

ρλη'. Περὶ ἐμμήνου καθάρσεως.

Ταῖς πλείσταις ἡ κάθαρσις γίνεται περὶ τὸ ιδ' ἔτος, ὀλίγαις δὲ θᾶσσον περὶ τὸ ιγ' ἢ ιβ', οὐκ ὀλίγαις δὲ βράδιον τῶν ιδ' ἐτῶν. Μελλόντων δὲ ἐπιφαίνεσθαι τῶν καταμηνίων ταῖς πλείσταις ἐπαίρεται τὸ ἐπιγάστριον καὶ οἱ τιτθοὶ ἐποιδοῦσι, ποτὲ μὲν ἀμφότεροι, ποτὲ δὲ ὁ ἕτερος, καὶ τὸ ἰσχίον βαρύτερον γίνεται, καὶ ὁ στόμαχος ἐπὶ ποσὸν διεκλύεται, καὶ τὴν ὅλην σύγκρισιν ἀσώδης ἀλυσμὸς καταλαμβάνει· ἐνίαις δὲ καὶ ἡ κεφαλὴ καὶ τὸ βρέγμα ἀλγεῖ καὶ περὶ τὰς ῥίζας τῶν ὀφθαλμῶν αἴσθησις γίνεται καὶ περὶ τὰ ἄρθρα τῶν χειρῶν. Καταρξάσης δὲ τῆς ἐκκρίσεως μειοῦται κατὰ ὀλίγον τὰ ἀλγήματα καὶ παυσαμένης παύεται. Χρόνος δὲ ἑκάστῃ καθάρσει τεταγμένος οὐκ ἔστι, ταῖς δὲ πλείσταις ε' ἡμερῶν ἐκκρίνεται· τούτων δὲ ἐν μὲν ταῖς τρισὶ δαψιλῶς φέρεται τὸ αἷμα, ταῖς δὲ δυσὶν αὐτὸ μόνον μολύνει· πολλαὶ δὲ καὶ ἄχρις ἑπτὰ ἡμερῶν μολύνουσι, τεττάρων ἢ ε' ἱκανῶς καθαρθεῖσαι· τινὲς δὲ μίαν μόνην καθαίρονται, τινὲς ἐπὶ δύο ἢ τρεῖς, σπάνιαι δὲ καὶ μέχρι δωδεκάτης ἐκαθάρθησαν. Παύονται δὲ τῶν καθάρσεων

αἱ μὲν περὶ τὸ πεντηκοστὸν ἔτος, σπάνιαι δὲ μέχρι τῶν ξ' ἐκαθάρθησαν, ἔνιαι δὲ ἀπὸ λε', καὶ μάλιστα ταῖς καταπιμέλοις, ἤρξατο λήγειν τὰ καταμήνια. Στραγγευομένης δὲ τῆς καθάρσεως λούειν περὶ τὴν προθεσμίαν καὶ προποτίζειν σησάμῳ καὶ κεφαλωτῷ πράσῳ μετὰ πεπέρεως εἰς τὸ αὐτὸ καθηψημένοις· ἡ δὲ πόσις διὰ γλυκέος γινέσθω κρητικοῦ κο. α', πιοῦσα δὲ περιπατείτω, κινείτω τε ἔμμηνα· ἐσθιέτω δὲ τευθίδας, σηπίας, πολύποδας καὶ ὅσα τοῦ αὐτοῦ γένους· τοῦ γὰρ αἵματός ἐστιν ἰδίως ταρακτικά· διὸ καὶ αἱμορροΐδας ἀνακεκομμένας ἤνοιξεν. Ἐνίαις δὲ ἐρεθίζει τὴν κάθαρσιν σμύρνης κυαμιαῖον μέγεθος μελικράτῳ πινόμενον, ἢ εἰς κοκκία μερισθὲν καὶ καταπινόμενον, ἢ καστορίου ∠α' ἐν κυάθοις τρισὶ μελικράτου, ἢ ἀμμωνιακοῦ ὡσαύτως, ἢ σαγαπηνοῦ βραχύτατον· εἰ δέ τις εὔτονον ἔχοι τὸν στόμαχον, ὀποπάνακος βραχύ· τοῦτο δὲ σφαιρωθὲν εἰς κοκκία καταβάπτεται εἰς ἄπεφθον μέλι καὶ καταπίνεται, ἐπιπινομένου μελικράτου. Ταῖς δὲ καθαριωτέραις ἢ ἀσθενεστέραις τὸν στόμαχον δοτέον κασίαν, ἢ σχοίνου ἄνθους, ἢ ἴρεως ἰλλυρικῆς ἀφέψημα ἀποτριτωθὲν, ἢ σεσέλεως ῥίζαν ἢ σπέρμα, ἢ ἄμμι, ἢ πετροσέλινον· ἐσθίειν δὲ κεδρίδας. Καὶ προσθετὰ δέ ἐστιν αἱμαγωγὰ πηγάνου χυλὸς ἐν κροκύδι προσθετὸς, ἢ ἀμαράκινον ἐν πεσσῷ, ἢ βδέλλιον καὶ ὕσσωπος καὶ κηρὸς τυῤῥηνικὸς σὺν οἴνῳ συντακέντα, ἢ ἀψινθίου χυλὸς ἐν κροκύδι. Τούτων δὲ μᾶλλον ἐνεργεῖ ἤτοι στομοῖ, ἢ μέλας ἐλλέβορος, ἢ σκαμμωνία, ἢ κολοκυνθίδος ἐντεριώνη· σπανίως δὲ τούτοις ἐπιτολμητέον καὶ ἐπὶ τῶν ἰσχυρῶν γυναικῶν. Καὶ χαλβάνη τε ὑποθυμιαθεῖσα ἄγει ἔμμηνα, καὶ ἀρτεμισία λεία κατὰ τοῦ ἤτρου ἐπιπλασσομένη.

ρλθ'. Ἐκβάλλοντα ἔμβρυα.

Ταῦτα δὲ λέγω δὴ τὰ προειρημένα ποτὰ καὶ προσθετὰ ἐκβάλλει ἔμβρυα ἅπερ καὶ τὰ ἔμμηνα κινεῖν καὶ ἐκκρίνειν πέφυκεν, οἷς ἐπὶ ἐμβρύων ἐκβολῆς ἡμεῖς κεχρήμεθα.

ρμ'. Περὶ κίσσης.

Ἡ κίσσα ταῖς γυναιξὶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνει περὶ τεσσαρακοστὴν ἡμέραν, τουτέστιν ἐν τῷ δευτέρῳ μηνί· ἔστι δὲ πλάδος στομάχου καὶ ναυτία καὶ ἀπορία καὶ ἀλυσμὸς καὶ ἔμετος σιτίων καὶ χολῆς.

ρμα'. Περὶ χορίου ἐκλήψεως.

Τὸ χορίον καὶ δεύτερον καλεῖται, ἐπὶ δὲ τοῦ κατεσχημένου χορίου ποτὲ μὲν εὑρίσκεται μεμυκὸς τὸ στόμιον τῆς ὑστέρας, ποτὲ δὲ διεστηκὸς, καὶ ποτὲ μὲν φλεγμαῖνον, ποτὲ δὲ ἀφλέγμαντον. Αὐτὸ δὲ τὸ χορίον ποτὲ μὲν ἀπολέλυται τῆς πρὸς τὸν πυθμένα συνεχείας, ποτὲ δὲ συμπεφυκὸς αὐτῷ καταλαμβάνεται. Διεστῶτος μὲν οὖν τοῦ στομίου τῆς ὑστέρας καὶ τοῦ χορίου ἀπολελυμένου καὶ παρά τι μέρος τῆς

εἰς τὸ αὐτό Paul.; αὐτό X. — 17. στόμα X. — Ch. 141, l. 30. περί Aët.

μήτρας σφαιροειδῶς συνεσΊραμμένου, ῥάσΊη ἐσΊὶν ἡ κομιδή· τὴν γὰρ χεῖρα τὴν ἀρισΊερὰν θερμὴν καὶ λελιπασμένην εἰς βάθος δεῖ καθιέναι καὶ ὑποπεσόντα τὸ δεύτερον ἐκβαλεῖν. Εἰ δὲ προσπεφυκὸς εἴη τῷ τῆς ὑσΊέρας πυθμένι, καθιέναι μὲν ὁμοίως τὴν χεῖρα θερμὴν καὶ λελιπασμένην, συλλαβόντα δὲ τὸ χορίον τείνειν μὴ ἐπὶ εὐθείας διὰ τὸν τῆς προπτώσεως φόβον, ἀλλὰ μηδὲ μετὰ βίας ἰσχυρᾶς, πειθηνίως δὲ, καὶ τὸ μὲν πρῶτον ἀνειμένως μετάγειν εἰς τὰ πλάγια τῇ καὶ τῇ παραφέροντα, εἶτα καὶ εὐτονώτερον κατάσπασον· ὑπακούει γὰρ οὕτω καὶ ἀπολύεται τῆς προσφύσεως. Εἰ δὲ μεμυκὸς εὑρεθείη τὸ σΊόμα τῆς ὑσΊέρας, ἐγχυματισμῷ χρῆσθαι προσθέντα τοὺς δακτύλους τῆς ἀρισΊερᾶς χειρὸς καὶ ἐπάνω.....

ρμβʹ. [Περὶ ἐμμήνων ἐποχῆς.]

....

.... [Φλεβοτομίᾳ χρησΊέον μὴ πρὸ τῆς τῶν ἐμμήνων προθεσμίας· ἀφαιρείσθωσαν δὲ μή]τε πλεῖον τριῶν λιτρῶν, μήτε ἔλαττον μιᾶς. Εἴτε δὲ φλεβοτομήσαιμεν, εἴτε μὴ φλεβοτομήσαιμεν, τῇ διὰ κολοκυνθίδος ἱερᾷ καθαίρειν διδόντας δύο δραχμῶν πλῆθος· σχεδὸν γὰρ ἐπὶ τῶν πλείσΊων συμμέτρως δίδραχμον ποθὲν καλῶς καθαίρει. ΠροσφερέσΘω δὲ ἐν μελικράτου κο. αʹ. Πυρετοῦ δὲ παρόντος, τῇ μὲν ἱερᾷ χρῆσθαι οὐκ ἐγχωρεῖ, εὔκαιρος δὲ ἡ φλεβοτομία ἐν ταῖς πρώταις τοῦ πυρέσσειν ἡμέραις· ἐν δὲ ταῖς ἑξῆς ἕωθεν περιπατείτωσαν, εἶτα αἰωρείσθωσαν διὰ ζευκτοῦ, εἶτα τριβεῖσαι ἰσχία καὶ ἦτρον καὶ σκέλη ἄνωθεν εἰς τὰ κάτω παραγενομένων τῶν χειρῶν λουέσθωσαν. Τροφαὶ δὲ ἁρμόζουσιν ὑγραὶ καὶ εὐδιοίκητοι, λάχανα τὰ γλυκέα πάντα, ἰχθύων οἱ πετραῖοι, πτηνῶν τὰ ἁπαλώτερα, κρεῶν δὲ σπανία ἔσΊω χρῆσις, οἶνος σύμμετρος μὴ ἄγαν παλαιὸς, αὐτενίαυτος· πο......... γὰρ οὗτος πο......... γαλακτοποσία τε..... μελιττώματα ἁρμόζει· ἄθετα δὲ πάντα τὰ ὄσπρια πλὴν τῆς πτισάνης. Πλησίον δὲ τῆς προθεσμίας γινομένης διδόναι τῶν θαλασσίων τὰ σελάχια, οἷον νάρκας, γαλεοὺς, ἰουλίδας.. χηνοὺς, πελωριάδας, μύακας, τευθίδας, σηπίας, πολύποδας· ταράσσει γὰρ τὸ σύγκριμα καὶ συνεργεῖ τῇ τῶν ἀγγείων ἀνασΊομώσει. Τότε δὲ καὶ ταινίαις καταληπτέον τὰ σκέλη ἀπὸ βουβώνων ἄχρι σφυρῶν ἐσφιγμέναις συμμέτρως ἐπὶ τρεῖς ἢ τέσσαρας ἡμέρας, ἀνιεμένης παρὰ ὥρας τινὰς τῆς σφίγξεως. Ἐνστάσης δὲ τῆς προθεσμίας περιαιρείσθω μὲν ἡ σφίγξις, προποτιζέσθωσαν δὲ σμύρνης ὀβολὸν ἢ κυάμου αἰγυπτίου τὸ μέγεθος μετὰ μελικράτου ἢ γλυκέος, ἢ καστορίου, ἢ ἀρτεμισίας, ἢ κοινῇ καθηψημένων πηγάνου καὶ πεπέρεως καὶ κεφαλωτοῦ πράσου καὶ ἐλελισφάκου ἀφέψημα μετὰ λουτρὸν διὰ γλυκέος ἢ ἀψινθίτου οἴνου. Ἀψινθίτης δὲ οἶνος παρὰ ὅλην τὴν θεραπείαν προπινέσθω διὰ ἀφεψήματος ἀρτεμισίας κεραννύμενος· μὴ παρόντος δὲ οἴνου ἀψινθίτου, ἀρτεμισίας σὺν ἀψινθίῳ ἀφεψηθείσης ἁπλοῦς οἶνος τῷ ἀφεψήματι κεραννύσθω. Παρελθούσης δὲ τῆς κατὰ τὴν κάθαρσιν προθεσμίας καὶ

2. ὑποπεσόντα conj.; ὑπὸ πεσῶν X.; ὑποπεσὸν Paul.; ἐπὶ πosὸν Aët. — 9. ἐπάνω] ici manque un feuillet dans le manuscrit. — Ch. 142, tit. e Paul.; om. X. — 11-12 [Φλεβοτομίᾳ....... μή] Paul.; om. X. — 12. λιτρῶν Paul.; om. X.— 16. εὔκαιρος Paul.; εὐχερῆς X. — 30. καθηψημένων conj.; κ...... ένων X.

